Digitized by Google

NAZIONALE
R. BIBLIOTECA CENTRALE V. E. II
1
33 D
10
ROMA

Digitized by Google

Digitized by Google

1. 33. D. 10

ΤΖΕΤΖΗΣ. ΨΕΛΛΟΣ.

# TZETZES. PSELLVS.

39 ½ Bg

Digitized by Google

LUTETIÆ. — EX TYPIS J.-B. GROS,
RUE DU FOIN-SAINT-JACQUES, 18.

Digitized by Google

ΤΖΕΤΖΗΣ. ΨΕΛΛΟΣ.

---

TZETZÆ

# ALLEGORIÆ ILIADIS

ACCEDVNT

## PSELLI ALLEGORIÆ

QVARVM VNA INEDITA

CVRANTE JO. FR. BOISSONADE

LUTETIÆ

APVD DUMONT, BIBLIOPOLAM

A L'INSTITUT

MDCCCLI

Digitized by Google

Digitized by Google

# EDITORIS PRÆFATIO.

Editionem Tzetzæ Allegoriarum Iliadis a me institutam typographus ad librum Ω deduxerat, quum communicavit mecum Em. Millerus doctissimus vir et humanissimus Matrangæ Anecdota Græca recens Romæ in lucem emissa, quibus inter alia opuscula insunt Tzetzicæ Allegoriæ, non Iliadis tantum, sed et Odysseæ; qua altera parte carent codices quibus sum usus Parisini.

De augendo copiis Romanis meo volumine, et sic ex facili nova Tzetzæ recensione lectoribus eruditis exponenda, ne per somnium quidem cogitavi. Injusta hæc alienæ industriæ occupatio, et improvisa rei non suæ rapina, immane quantum a mea discrepant indole vix viventis nisi viverem in litteris, illisque cum assidue utentis, tum humaniter. Edi-

Digitized by Google

tionem id genus æqui judices probroso παρατυπώσεως nomine notavissent, ac fortasse offecissem Matrangæ commodis docti hominis atque laboriosissimi, quique paria meis exercet studia. Adjiciam, quod verum est, non verisimile, ex Tzetzæ Matrangiani Allegoriis nil fere me legisse præter ultimam Iliadem. Immensi enim memor tædii quod, in describendo illustrando isto poetastro, devoraveram, refugiebam a movenda denuo graveolente Camarina, ἀκίνητος γὰρ ἀμείνων, ut est in proverbio. Cetera opuscula raptim inspexi, paucula excerpere satis habens in Addendis obiter tangenda, quum nominibus non valde invitarer, et ipse editor se modestius intra describendi officium ac præfandi continuisset.

Matranga igitur me prævertit; quod ipsi felix faustumque sit. In venatione codicum ineditorum alii sunt aliis feliciores; ac plus vice simplici ego fui aliis infelicior. Sed non queror, nunquam sum questus, quum solitum ludat Fortuna ludum, ne de peregrino quidem homine quodam, qui, triginta ferme abhinc annis, me summa cum comitate invisit. Quum, inter fabulandum, ut fieri amat, de nostris utriusque studiis, narravissem de scriptore Græco eoque inedito, cujus codicem mihi transcribere inceperam, ad editionem videlicet, et ipse de rebus suis ac consiliis jam nescio quid reposuisset, me re-

Digitized by Google

licto, perrexit ad Bibliothecam Regiam, codicem descripsit ocyus, quem meum fere dicebam propter usum diuturnum, et editionem occupavit. « Hoccine est humanum factum ? » imo inhumanissimum! nam meum illi apographum lubens dono dedissem, si de suo me consilio monuisset. In vivis ne sit adhuc, an abierit ad plures ignoro; at vita si supersit, quod spero, et opto lætam illam illi fluere ac felicem, in hæcce verba mea inscius incidet, Νεμέσεως συνεργούσης, ac se agnoscet invitus, nec sine pudore ac pœnitentia.

Tzetzæ Allegoriis comites adjunxi, propter argumenti similitudinem, Pselli Allegorias de Tantalo, Sphinge et Circe, olim a Conr. Gesnero post Heraclidem Ponticum evulgatas, quas Jacobsius, Tzetzæ Homerica illustraturus, in divite librorum Germania non repererat. Quartam addidi, nondum editam, de Antro Nympharum. Quintam additurum de Aurea Catena corripuit me subita sinistri oculi imbecillitas, quæ me deterruit a legendo ac transcribendo codice pessima manu exarato, bibulo, quem facit incommodissimum proceritas, gravitas molestissimum.

Allegoriarum Psellianarum raritas atque novitas, et quod est notis inspersum criticæ materiæ et observationum miscellanearum, meo erunt volumini pro tabula, qua naufragium utinam evadere queat.

Sed emersum quis sumet in manus, quis evolvet, quis leget? Nam ea Galliæ nostræ impendere videtur conditio temporum, quibus litteræ liberales jacebunt omnes, et eruditæ ante alias, resque vix ulla supererit, quæ possit bonis ad humanitatem disciplinis excultum hominem delectare. Omen hoc detestabile Deus obruat.

Lutetiæ, xij cal. julii MDCCCLI

# ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΟΜΗΡΟΥ

## ΑΛΛΗΓΟΡΗΘΕΙΣΑ

## ΠΑΡΑ ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ

### ΤΗ͂Ι ΚΡΑΤΑΙΟΤΑΤΗ͂Ι ΒΑΣΙΛΙΣΣΗ͂Ι ΚΑΙ ΟΜΗΡΙΚΩΤΑΤΗ͂Ι

### ΚΥΡΑ͂Ι ΕΙΡΗΝΗ͂Ι ΤΗ͂Ι ΕΞ ΑΛΑΜΑΝΩΝ (*).

*Ἐπεὶ φαιδρὰ, πανσέληνε, σελήνη σελασφόρε,*
*οὐκ ἐκ ῥοῶν ὠκεανοῦ φαίνουσα λελουμένη,*

(*) Lemma exhibeo codicis Parisini **2644**, deinceps notandi littera C. Bis illud descripsit librarius. Priore loco usus est forma insolente, ἀλθμανῶν. Bene Ἀλαμανῶν in codice Scorialensis Bibliothecæ, teste Millero viro doctissimo qui in erudito catalogo ac laborioso lemma ac versus quadraginta primos inseruit. In Parisino **2705**, quem litera B designabo deinceps, lemma desinit in nomine Τζέτζου. Diversa est lemmatis recensio in codice Parisino **2707**, quem brevitatis causa litera A indicabo, scilicet : Ἀλληγορίαι πονηθεῖσαι τῷ Τζέτζῃ εἰς τὴν Ἰλιάδα Ὁμήρου. Vide Millerum et de his monentem. De codice **2705**, qui membraneus est manuque exaratus nitida et diligentissima, non omittam pertinuisse olim ad Andronicum Cantacuzenum, quod didici ex notula ista, scripta ab ipso fortasse Cantacuzeno, in margine superiore folii versi **116** : τοῦτο τὸ βιβλίον ὑπάρχει Ἀνδρωνίκου (sic) Καντακουζηνοῦ τοῦ Μεγάλου Δομεστίκου. Cogitavi de Καντακουζηνῷ Ἀνδρονίκῳ quem anno **1189** Isaacus imperator ad Fredericum misit legatum, teste Niceta Hist. **2**, c. **3**. Burgessius Initiis Homericis inseruit longa ex Tzetzicarum Allegoriarum Prolegomenis excerpta, a se diligenter descripta e codicibus Oxoniensibus et accurate, excepto quod accentus neglexerit ; qui fuit viri mos ceterum doctissimi. Βασίλισσα κυρὰ Εἰρήνη fuit uxor Manuelis Comneni, gentilitio nomine Bertha, filia Berengarii comitis in Sultzbachio Bavariæ oppido, et ex affinitate soror Conradi III Alemannorum regis. Vide Cangium Familiis Byzantinis, p. **186** Nicetas Manuele **1**, **2**, p. **37**, C. : ἠγάγετο δὲ γυναῖκα ὁ βασιλεὺς οὗτος ἐξ Ἀλαμανῶν. De illo suo opere Tzetzes Chil. **9**, **281** : γράφων ἐξήγησιν Ὁμήρου τῇ Αὐγούστῃ, Ἔχουσαν καὶ μετάφρασιν ἡμαξευμένοις στίχοις.....

(1) Scholium ad marginem C. : τὸ προοίμιον πρὸς τὸ κελεῦσαν πρόσωπον ἅψασθαι τὸν Τζέτζην ταύτης τῆς συγγραφῆς. Quæ verba in codice Scorial. lemmati sunt inserta, et codice A; in hoc sine τὸν Τζέτζην. Cramerus Anecd. Oxon. t. 3, p. 376, id scholium protulit cum lectionibus variis τὸ κέλευσαν, κέλασεν, et, ex Parisiensi 2644, κέ-

ἀλλ' ἐκ πορφύρας τῆς κλεινῆς, ὡς ἔπεισιν εἰκάσαι,
ἀνασκιρτῶσα φεραυγὴς καὶ πλέον τοῦ φωσφόρου,
χρήζεις ἐλαύνειν πόρρω ποι σαῖς ψυχικαῖς ἀκτῖσι
τὸ σκοτεινὸν τῶν λέξεων καὶ βίβλων τὴν ἑσπέραν,
οὐ κατὰ Κλεοπάτραν δὲ βασίλισσαν τὴν πάλαι,
ᾧ Ἐφεσίῳ ἰατρῷ τῷ Σωρανῷ χρωμένην,
μετέρχῃ τὰ καλλύνοντα μορφὰς τὰς τῶν προσώπων·
οὔτε χερσοῦν τι πέλαγος βραχύτατον ἐθέλεις,
ὥσπερ ἐκείνη πρότερον ἐν τῇ Ἀλεξανδρείᾳ,
τῷ Δεξιφάνει τῷ σοφῷ μηχανικῷ Κνιδίῳ
χερσώσασα τὴν θάλασσαν μέχρι τετρασταδίου·

λευσε; sed in quo κέλευσε non exstat. Adjutus nitida codicis A scriptura, ex vestigiis fere evanidis, et adhuc paululum visibili syllabæ finalis αν compendio, putavi ibi quidem nunc non esse, sed fuisse olim κελεῦσαν. — Codex Scorial. sic dividit versum: Ἐπεὶ φαιδρὰ, πανσέληνε σελήνη, σελασφόρε. Pariss. divisione carent. Quam feci divisionem melior mihi visa est, quum hemistichia sic non misceantur. Lunæ comparatur Augusta ob pulchritudinem, quod solenne est. Conf. v. 377, et, si modo sit tanti, quæ apposui ad Joannis Eugenici Ecphrasin in Anecdotis Novis, p. 341. Cleopatra Ægyptia de qua mox, v. 7, Σελήνην esse se et Ἶσιν dicebat, narrante Dione Cassio 50, c. 5, et Tzetza Chiliade, 2, 25.

(3) Ex B citavit κλεινης vir d. Sed oculi eum fefellerunt. Burg., ἀλλ' επι π., hemistichio longiore.

(4) A, φεραυγεῖς.

(5) C, ἀκτίσι. Sic passim peccatur: quod deinceps notare supersedebo.

(6) B, βίβλον. Et talia pleromque negligam.

(7) Schol. in C: κατασκευὴ τοῦ προοιμίου. — AC, δε, Malui δὲ, quum conjunctioni vis sua sit, nec habenda pro enclitica, qua Tzetzes toties abutitur in hac versus sede.

(8) Tzetzes Chil., 6, 299, de Cleopatra: Τῷ Δεξιφάνει τούτῳ μὲν εἰς μηχανὰς ἐχρῆτο, Τοῖς Ἐφεσίοις δ' ἰατροῖς τῷ Σωρανῷ καὶ Ῥούφῳ, Εἰς πάντα τὰ καλλύνοντα μορφὰς τὰς τῶν προσώπων, Εἰς πᾶν τε πάθος γυναικῶν [Cod. 2644, γυναικός] καὶ ἰατρείας ἄλλας. Vide Fabricium Bibl. Gr. t. 11, p. 685, ubi de variis Soranis.

(10) A et Burg., χρυσοῦν. Scorial. B, C, χερσοῦν.

(12) C. Δεξιφάνη. B. Κνηδίῳ. Tzetzes, quem jam videndum monstraverat Millerus, Chil. 4, 502: Κλεοπάτρα δὲ χερσώσασα τὴν Φάρον, Τῷ Δεξιφάνει τῷ σοφῷ Κνιδόθεν ὡρμημένῳ. Rursus Chil 6, 294, de eadem: Καὶ Δεξιφάνης δὲ αὐτός, μηχανικὸς ἐκ Κνίδου, Μεθ' οὗ πολλὰς λυσιτελεῖς τὰς μηχανὰς ἐποίει, Καὶ θάλασσαν ἐχέρσωσε μέχρι τετρασταδίου. Et Chil. 2, 27, de eadem: τὴν θάλασσαν χερσώσασα τὴν τῆς Ἀλεξανδρίας. Ibi lemma in codice 2644: Κλεοπάτρας χέρσωσις θαλάσσης Ἀλεξανδρίας.

(13) C, μέχρι, superscripto ἄχρι. Burg., αχρι. B, τετρασουδίω sic. A, τετρασταδίοις. Tzetzes Chil. 2, 28, de Cleopatra: Αὕτη, σὺν ἀρχιτέκτονι Κυπρίῳ Δεξιφάνει, Τὴν θάλασσαν χερσώσασα τὴν τῆς Ἀλεξανδρείας ὅσον πρὸς τετραστάδιον, εἴτε μικρόν τι πλέον, τὸν πύργον ἐξειργάσατο τὸν μέγιστον τῆς Φάρου. Multa forent disserenda, si per temporis angustias liceret. Monebo tantum Tzetzam, qui modo

ἐπεὶ τοιοῦτον οὐδαμῶς βούλεταί σου τὸ Κράτος,
οὔτε τὴν Ἄθω θάλασσαν ὄρος ποιῆσαι μέγα,
ἢ τὴν Ἀβύδου θάλασσαν ὁλκάσι γεφυρῶσαι,
ὥσπερ ὁ Ξέρξης ἔδρασεν ὁ Πέρσης πρὶν ἐκεῖνος,
ἐκ τῆς Περσίδος στράτευμα κινῶν πρὸς τὴν Ἑλλάδα·
ἀλλ' ὡς ἀθέατος θεὰ τῇ θέσει, κἂν οὐ φύσει,
ἐπεντρυφῶσα ταῖς μορφαῖς καὶ κάλλεσι τῶν λόγων,
διὰ βροντῆς καὶ λαίλαπος, ὁμοῦ καὶ τῆς νεφέλης,
θείαν φωνὴν προπέμπουσα, γέμουσαν ὅλην φρίκης,
χειροτονεῖς τὸν δοῦλον σου, τὸν τίνα, τὸν ὁποῖον,
γενέσθαι τύπον ἀκραιφνῆ τοῦ πάλαι Μωυσέως,
οὐχὶ φυγάδα σώζοντα λαὸν Ἰσραηλίτην,
τὸ Ἐρυθραῖον πέλαγος τεμόντα βακτηρίᾳ·
οὐδὲ Περσίδος θάλασσαν, οὐδὲ τὴν Ὑρκανίαν,

Dexiphanem Cnidium esse dixit, dicere nunc eamdem esse Cyprium, nec sibi contradicere. Nam Cnidum Cypriam dicit Chil. 1, 83: Ὁ δὲ Κτησίας... Ἐξωρμημένος πόλεως ἐκ Κνίδου τῆς Κυπρίας. Sed ipsi contradicendum esse putavit Larcherus Geographia Herodotea; et Bæhrius ad Ctesiam, usus Tzetzæ loco, voci Κυπρίας signum apposuit dubitationis. Opportune adponam scholium Tzetzæ ipsius e bono Chiliadum codice 2644: περὶ Κῶν ἢ Κνίδος, τὸ παλαιὸν δὲ μέχρι καὶ περαιτέρω ἦν ἡ τῆς Κύπρου ἀρχή.

(14) B, Βουλετέ σου. C, βούλεται σοῦ.

(15) Scor. C, τὸν ἄθων. B, τὸν ἄθω θάλασσα. Burg., τον Αθωνα θαλασσαν. A, τὴν ἄθω θάλασσαν. Tzetzes Chil. 1, 911: τὸν Ἄθω δ' ἐθαλάττωσε διώρυγι βαθείᾳ. Bonus codex 2644, ἄθων. Prætuli, lectionem A, ut Ἄθω sit genitinus: « e magno monte mare Athonis facere ». Statim, τὴν Ἀβύδου θάλασσαν. Et in nota ad v. 12, est ἡ θάλασσα τῆς Ἀλεξανδρίας. cf. n. 17.

(17) B, ὅπερ. Burg., πέρσην. De Xerxe Abydum inter et Sestum litora ponte jungente, ac per montem Atho maris fluctus immittente satis nunc erit Herodotum allegare 7, 24, 33, et Tzetzæ Chiliadem 1, 888: Πέμπει καὶ οὗτος γεφυροῦν τὸ πέλαγος Ἀβύδου· et ibid. v. 911, modo allegatum.

(19) A B, θεός. In C vox θεὸς est obscurata correctione ut θ et accentus ultimæ syllabæ sint nunc tantum nitida. Fortasse librarius voluit θεὰ rescribere pro θεός. Est θεὰ in Burg.

(20) A C, ἐπεντρυφῶσι.

(21) B, λέλαπος.

(22) Ex B, προπέμπουσαν affertur. Ipse inveni προπέμπουσα. A,... σαν.

(23) Scor. B C, τὸν τίνα. Burg., τον τινα. A, δεῖνα. Utraque lectio eodem effertur sono. Prætuli priorem, cui major est auctoritas.

(24) B, τόπον. C, πάλαι, superscripto πάνυ. Scor. C, Μωυσέος.

(25) B, Ἰσραιλίτην.

(27) Ex A adlatum vidi στράτευμα θάλασσαν. Ipse reperi πέρσιδος στράτευμα. B, ἀρκανιαν. Significatur Caspium mare.

*ἀλλὰ τὸν μέγαν τὸν βαθὺν ὠκεανὸν Ὁμήρου,*
*τὸν πᾶσαν περισφίγγοντα κύκλῳ τὴν οἰκουμένην,*
*βατὸν κελεύεις ἅπασι καὶ πορευτὸν ποιῆσαι,*
*ὡς Μωϋσῆς τὴν Ἐρυθρὰν Ἰσραηλίταις πάλαι·*
*ἤδη χωρῶ πρὸς τὸν εἱρμὸν, καὶ γλώττης βακτηρίᾳ*
*πλήξας αὐτὸν τοῖς σύμπασι πορεύσιμον ποιήσω,*
*καὶ βάθη τὰ ἀθέατα τούτου φανεῖται πᾶσιν.*
*Ἀλλ' ἀναχαιτιζέσθωσαν αἱ μωμοσκόποι γλῶσσαι,*
*ἐξυλακτεῖν τι καθ' ἡμῶν οἰστρούμεναι τῷ φθόνῳ.*
*Ὡς γὰρ αἱ πάλαι γράφουσι τὸν Δία μυθουργίαι*
*μεταβαλεῖν εἰς μόρφωμα πιθήκων τοὺς Τιτᾶνας,*
*οὕτω κἀγὼ νῦν βούλομαι τρόποις οἰκονομίας*
*μεταβάλλειν τοὺς ἥρωας συγγράμμασι πιθήκων.*
*Καὶ δὴ λοιπὸν πετάσασα τὰς θείας ἀκοάς σου,*
*πρὸ πάντων πρῶτον μάνθανε τοῦ ποιητοῦ τὸ γένος,*

(28) B, μέγα.
(31) B, ὃς Μωυσῆς, A, ὥσπερ Μωσῆς. Burg., ερυθραιαν.
(32) Schol. in C, et in Anecd. Oxon. t. 3, p. 376 : ἀπόδοσις, ἣν ψευδῶς τινες καὶ ἀξίωσιν καλοῦσιν. Ἀξίωσις. B, ἑρμὴν καὶ γλ. A, εἱρμὸν τῇ γλ. C et Scor., ὁρμὸν καὶ γλ. Prætuli εἱρμὸν, quod mihi visus sum paulo melius intelligere, « seriem operis Homerici ».
(33) B, πορ. τ. σύμπασι.
(34) B, τούτοις.
(35) Vocabulo μωμοσκόπος non semel usus est Tzetzes. Chiliade 10, Hist. 298, agens de nomine φάλαινα, quod a se alicubi usurpatum criticastro cuidam non placuerat, τοῦτο δέ, ait, βουβαλόπαπας τὶς σύρειν οὐκ ἀνῆκε (sic melius distinguit hemistichia codex, quam editio quæ fert, βουβαλόπαπάς τις), Πρὸς ὃν τὸ ἐπιστόλιον ἐγράφη μωμοσκόπον. Transcribam id epistolium e codice 2644, quod est laconicum et ænigmaticum : τινὶ μωμοσκόπῳ. Σὺ μὲν τὰς ἐμὰς φαλλαίνας (sic) ἐμέμψω, σοὺς δὲ σοφοὺς Τηλέφους νενόμικας. Ac vicinum hominis ejusdem et argumenti causa, idque laconicum apponam : τινὶ διαβολεῖ. Ὁ Μῶμος πάνθ' ὁρῶν ἑαυτὸν οὐχ ὁρᾷ. Quod in Τηλέφους latet patebit legenti Chil. 10, Hist. 299.
(37) Sch. in B, θέσις. B, μυθεργία.
(38) Bg., μεταβαλλειν. A B, Scor., τιτάνας. C, τιτᾶνας.
(39) B, οὕτως ἐγὼ νυνί.
(40) A B C, μεταβαλεῖν.
(41) Schol. in C. ἡ κατὰ ῥήτορας προέκθεσις τῶν κεφαλαίων, ἡ προκατάστασις λεγομένη καὶ ὑπόσχεσις, κατὰ δὲ ποιητὰς προθεωρία καὶ προϋφήγησις, ἤτοι προδιήγησις, κἂν οἱ ῥήτορες ἄλλως φασὶ τὴν προδιήγησιν. Exstat et in Crameri Anecd. Oxon. t. 3, p. 376, ac sine ἡ ante προκατάστασις. In C quidem ἡ nunc abest, sed manifestum est locum inspicienti, literulam unam olim adfuisse, quam bibliopegi cultrum resecuit. In Thesauro Græco sub προϋφήγησις Cramerianum scholium adlatum fuit, sed amanuensis calamo properantiore corruptum.

πατρίδα, καὶ γεννήτορας, μετὰ τῶν διδασκάλων,
καὶ χρόνους οἷς ἐτύγχανε, καὶ πόσας γράφει βίβλους,
καὶ ποῦ καὶ πῶς ἐξέλειψε τὸν βίον τελευτήσας.
Καὶ δὴ καὶ τὴν ὑπόθεσιν μάθε τῆς Ἰλιάδος
κατὰ λεπτὸν τὴν σύμπασαν, καὶ τὰς μορφὰς Ἑλλήνων.
Εἶτα δ', εἰ θέλεις, μετ' αὐτὰ καὶ πᾶσαν Ἰλιάδα,
ὥσπερ κελεύει θέλημα τὸ σὸν, μεταποιήσω.
Τέως πρὸ πάντων μάνθανε τοῦ ποιητοῦ τὸ γένος.
Ὁ Ὅμηρος ὁ πάνσοφος, ἡ θάλασσα τῶν λόγων,
πλὴν γέμουσα τοῦ νέκταρος, οὐχ ἀλμυρῶν ὑδάτων,
ἑπτὰ πατρίδων λέγεται τυγχάνειν ἀμφιβόλων,
ἑπτὰ πατέρων γέννημα, καὶ τούτων ἀμφιβόλων.
Λέγεται γὰρ ἐκ τῶν Θηβῶν ὑπάρχειν τῆς Αἰγύπτου·
ἑτέροις Βαβυλώνιος, Χῖος δοκεῖ τοῖς ἄλλοις,

(43) B C, πατρίδα. A, πατρίδας. Mox ἑπτὰ πατρίδων λέγεται τυγχάνειν.

(44) A, πόσους βίβλους γράφει.

(45) C, Burg., ἐξέλειψε. A B, ἐξέλιπε. Prætuli aoristum primum meliori aoristi alterius formæ. Nam prior Tzetzæ ætate fuit usitatissimus. Quum scripsisset Lycophron λιποῦσα v. 16, Tzetzes sic commentatur, λιποῦσα καὶ καταλείψασα, vocabulum rarius et exquisitius vulgatiore interpretatus. Lobeckius ad Phrynichum ea de re agens eruditissime, p. 714, allegat ex Tzetzicis Chiliadibus, 5, 428, participium λεῖψαν, quod nonnihil movet dubii quum sit neutra significatione usurpatum pro λειφθὲν « quod est relictum », idque emendare conatus sum non sine probabilitate ad Theophylactum Simoc., p. 180; sed nuper λεῖψαν reperi in bono codice 2644. Dixit et ἐξέλειψε τὸν βίον Chil. 4, 34; παρέλειψας Chil. 9, 355, ubi præstat codicis scriptura παρέλειψα. Est κατέλειψε inferius, v. 359. Libanius scriptor castigatior, non corrigendus tamen sine codice, aoristum primum exhibet in descriptione Polyxenæ morientis, t. 4, p. 1089: εὖ δέ μοι καὶ τόδε τοῦ δημιουργοῦ ἔδοξεν... μήτε τὸν χιτῶνα διαῤῥῆξαι πρὸς ἅπαν, μήτε τοῦ χιτῶνος χωρὶς καταλεῖψαι τῇ κόρῃ. Legendum saltem τὴν κόρην. Addesis notata ad Eunapium, pag. 582, ad Choricium, pag. 342.

(48) B, δὲ θέλεις.

(51) B, sine priore ὁ, quod rubricandum, ac neglectum, ni evanuerit. Plerumque non monebo. Versus 51, 52, 53, 54, reperiuntur et in Chil. 13, 626-629; conf. Allatius De patria Homeri, c. 12, Dixit et infra Π, 116, Υ, 35, Φ, 107, atque in iambis, v. 249: Ὅμηρος αὐτὸς ἡ θάλασσα τῶν λόγων. Manasses Constantinum Monomachum, Annal. 6254, fuisse ait, φιλοδωρίας θάλασσαν, λίμνην ποτιμωτάτην. Ita Nicetæ Manueli Comnenus dictus est, p. 40 B, θάλασσα φιλοδωρίας. Theophylactus Simoc. Dial. p., 27: Θεόφραστον τὴν τῆς γλώττης θάλασσαν. Ibi nota. Ac secum conferendus Tzetzes, cui, Ω, 44, dictus fuit Homerus ἡ βρύσις τῶν χαρίτων.

(55) Hoc verso usus est Allatius De patria Homeri, c. 4, quem vide.

(56) B, Χίου. A, δοκεῖ τοῖς ἄλλοις Χῖος. B C, habent meam scripturam, quam noverat Allatius versum recitans, ibid. cc. 3, 12; quem vide.

Ἰήτης, Κολοφώνιος, Σμυρναῖος, Ἀθηναῖος.
Σὺ δὲ Σμυρναῖον γίνωσκε τὸν Ὅμηρον ὑπάρχειν.
Ἑπτὰ πατέρας λέγουσι πάλιν ὑπάρχειν τούτου.
Οἱ μὲν γὰρ τούτου λέγουσι πατέρα Μενεμάχην
Αἰγύπτιον τυγχάνοντα ἱερογραμματέα·
οἱ δὲ πάλιν Δαήμονα, τινὲς δὲ Μασσαγόραν,
ἀνθρώπους ἄμφω ζήσαντας ἐμπορικὸν τὸν βίον·
Τηλέμαχον καὶ Θάμυριν ἄλλοι ληροῦσι πάλιν·
ἄλλοις δὲ Μαίονος υἱὸς καὶ Ὀρνιθοῦς καλεῖται·
οἱ πλείονες δὲ Μέλητος φασὶ καὶ Κρηθηΐδος.
Διδάσκαλος δὲ γίνεται Ὁμήρου Προναπίδης.

(58) Schol. in B C, et in Anecd. Oxon. t. 3, p. 316: ὅτι παρὰ μόνῃ τῇ Σμύρνῃ καλεῖται Μέλης ποταμος, ὃν οἱ πλείους φασὶν εἶναι Ὁμήρου πατέρα. Αὕτη κυρίως Ὁμήρου πατρίς. Pro καλεῖται Cramerus conjicit κεῖται. — Hic versus reperitur et in Chiliadibus 13, 630, hincque sumtus, Tzetza ipso declarante.

(59) C, ὡς ἔφην scriptum super ὑπάρχειν.

(60) A, μενελάχην. B C, Burg., μενεμάχην. Certamen Homeri Μενέμαχον.

(61) Burg. ἱστορογραμματέα.

(62) Notus Δαήμων e Certamine Homeri. A, μασαγόραν. B C, μασσαγόραν. Burg., Μεσσαγόραν. Fortasse Δμασαγόραν legendum ex Certamine Homeri.

(64) Sch. in C et in Anecd. Oxon. t. 3, p. 376: ληροῦσιν εἶπον, ὅτι ὁ Ὀδυσσέως Τηλέμαχος ὕστερος ἦν Ὁμήρου, ὡς δῆλον ἐκ τοῦ χρόνου Προναπίδου τοῦ Ὁμήρου διδασκάλου, ὃς ἦν τρίτος ἀπὸ Κάδμου, Ὅμηρος δὲ τέταρτος. Ὁ Θάμυρις δὲ πάλιν παλαιὸς ἦν, ἰσόχρονος Κάδμου, πάππος Ὀρφέως· Ὀρφεὺς δὲ Μενίππης υἱὸς ἦν τῆς Θαμύριδος θυγατρός, κἂν ἀλληγορικῶς τῆς Καλλιόπης υἱὸς λέγηται. Cramerus non habet ἦν ante τῆς Θ., nec τῆς ante Καλλιόπης. Ex verbo εἶπον manifestum est Tzetzam ipsum esse scholiorum auctorem; quod et diserte declarat scholium ad v. 216.

(65) B, Μαίωνος. B C, Burgess., Ὑρνηθοῦς. Est Εὐγνηθὼ in Certamine Homeri, § 1.

(66) B, οἱ πλεῖοι δέ. A, Κριθηΐδος. Melius Κρηθηΐδος in B C. Allatius, qui De patria Homeri c. 12, versus adfert 56, 57, 58, Κριθ. habet. Atque alibi sic peccavit Tzetzes vel ejus librarius: Chiliade 13, 631: Υἱὸν δὲ δὴ τοῦ Μέλητος ὄντα καὶ Κριθηΐδος. Confer. Thesaurus Gr. V. Allatius ibid. affert ex Certamine Homerico locum de Smyrnæis Homerum prædicantibus Μέλητος ὄντα τοῦ παρ' αὐτοῖς ποταμοῦ καὶ Κριθηΐδος νύμφης. Mea editio, quæ nunc sola est ad manum, recte, Κρηθηΐδος. In C scholium ad nomen Μέλητος, puto, referendum: ὁ παρὰ πλειόνων ἐπικρινόμενος εἶναι πατὴρ Ὁμήρου. Est εἶναι obscuratum compendio quod videre non memini, at sententiæ obsequutus sim, non scripturæ.

(67) B, διδ. Ὁμήρου τε γίν. προν. C et Bg., διδ. ὁμ. δὲ γίν. προν. A, πριναπίδης, et sic inferius. At Chil. 13, 633: Διδάσκαλον Ὁμήρου δὲ τὸν Πορναπίδην νόει. Codex 2644, προν. Ac Προναπίδης non paucis Exegeseos locis, et mox Scholio ad v. 105.

Ὁ Κάδμος ἐξ Αἰγύπτου γὰρ ἐλθὼν εἰς τὴν Ἑλλάδα
τὸν Λῖνον ἐξεπαίδευσεν ἐν γράμμασι Φοινίκων·
ὁ Λῖνος δ' ἐξεπαίδευσεν, ὁ μαθητὴς τοῦ Κάδμου,
Ὀρφέα Ἡρακλέα τε, καὶ γε τὸν Προναπίδην·
τὸν Λῖνον τὸν διδάσκαλον ὁ Ἡρακλῆς φονεύει,
ὁ δὲ Ὀρφεὺς διδάσκαλος γίνεται τοῦ Μουσαίου·
ὁ Προναπίδης οὗτος δὲ τὸν Ὅμηρον διδάσκει.
Καὶ δὴ μαθὼν ὁ Ὅμηρος πάντα τὰ Προναπίδου,
χρῄζων καὶ πλείονα μαθεῖν, εἰς Αἴγυπτον ἀπῆλθε,
κἀκεῖ λοιπὸν ἐτρύγησε πάσης σοφίας ἄνθος·
σοφὸς δ' ἄκρως γενόμενος ὑπὲρ ἀνθρώπου φύσιν
τρία καὶ δέκα γέγραφε μνημόσυνον βιβλία,
Μαργίτην καὶ τὴν Αἶγα τε, καὶ τῶν μυῶν τὴν Μάχην,
τὴν Ἐπιγόνων Μάχην τε· γράφει καὶ Θηβαΐδα,
τὴν Οἰχαλίαν, Κέρκωπας, εἰς τοὺς θεοὺς τε Ὕμνους,
καὶ τοὺς Ἑπτὰ ἐπάκτιον, καὶ τὰς Ἐπικιγκλίδας,
καὶ Ἐπιγράμματα πολλὰ σὺν Νυμφικοῖς τοῖς Ὕμνοις,
καὶ τὴν Ὀδύσσειαν αὐτὴν μετὰ τῆς Ἰλιάδος.
Ἀλλὰ καὶ χρόνον μάθε μοι τὸν τοῦ Ὁμήρου πρῶτον,
καὶ τὴν ἐκείνου τελευτήν· εἶτα σαφῶς ἀκούσεις
τὸν νοῦν καὶ τὴν ὑπόθεσιν πάσης τῆς Ἰλιάδος.
Οἱ μάτην γράφειν θέλοντες ἱστορικὰ βιβλία

(70) A sine δε.
(71) Burg., sine τε. Idem, καὶ δέ.
(73) A, γίνεται Προναπίδου. Burg., γιν. διδ. τ. Μ.
(75) C, τοῦ Πρ. superscripto τά.
(78) A B C, ἄκρος.
(79) B, τρις καὶ. Burg., μνημοσυνων.
(79-85) Hos sex versus attulit Bentleius Epistola ad Millium, p. 54. De variis quorum hic mentio poematibus vide Fabricii Bibliothecam Harlesianam libro 1, c. 2. — Burg., μάχην γράφει. A, κέκροπα. B, κέκρωπας. C, Burg., Κέρκωπας. B, τοὺς εἰς θεούς. A, τὴν εἰς θ. C, Burg. et Bentl., εἰς τοὺς θ. — A B C, et Burg., consentiunt in τοὺς ἑπτὰ ἐπακτιον, quod et invenit Bentleius, cum varietate τὴν. Fabricio et Bentleio de hoc loco corrupto adde Gaisfordum ad Procli Chrestomathiam, p. 70, et Thesaurum novum V. Ἑπταπάκτιος. A, ἐπιγκικλίδας. B C, et Burg., ἐπικιγκλίδας.
(87) Burg., τελευτην εκεινου, pravo ordine.
(89) In A duo prima vocabula ferme evanuerunt

ἐμόχρονον τὸν Ὅμηρον λέγουσιν Ἡσιόδου,
ἐπὶ τῷ Ἀμφιδάμαντος τάφῳ δοκιμασθέντας.
Ἀλλ' οὗτοι μὲν ἠγνόησαν εἶναι πολλοὺς Ὁμήρους,
Ὅμηρον τὸν Βυζάντιον, υἱὸν τὸν Ἀνδρομάχου,
καὶ τὸν τοῦ Εὔφρονος υἱὸν Ὅμηρον τὸν Φωκέα.
Κἄν περ τι παρεσφάλησαν, οὕτω συμπαθητέον,
ὡς καὶ οἱ ὕστερον αὐτὸν εἰπόντες Ἡσιόδου.
Ἐπὶ τῆς βασιλείας γὰρ λέγουσι τῆς Ἀρξίππου
Ἡσίοδον καὶ Ὅμηρον ὑπάρχειν ἀμφοτέρους·
ἀλλὰ τὸν μὲν Ἡσίοδον ἀρχῇ τῆς βασιλείας,
τὸν Ὅμηρον πρὸς τέλος δὲ τοῦ κράτους τοῦ Ἀρξίππου
χρόνοις ὁμοῦ τριάκοντα κρατήσαντος καὶ πέντε
τῆς βασιλείας Ἀθηνῶν. Ἀλλ' ἀγνοοῦσιν οὗτοι
ποῖος ὑπῆρχεν Ὅμηρος τοῖς χρόνοις τοῦ Ἀρξίππου.
Κατὰ δ' ἡμᾶς ὁ Ὅμηρος χρόνοις τετρακοσίοις
τοῦ Ἡσιόδου πρότερος. Καὶ σκόπει μοι, καὶ μάθε.
Ἐπὶ τῶν δύο στρατειῶν ὁ Ὅμηρος ὑπῆρχε,
Θηβαϊκῆς καὶ Τρωϊκῆς· οἶδας ἐκ Προναπίδου,

(90) Schol. in C, ὁ δοκῶν χρόνος ὅτε ἦν Ὅμηρος ἐξ ἀπάτης τῆς τῶν Ὁμήρων ὁμωνυμίας· καὶ πόσοι Ὅμηροι ποιηταί.

(91) A, τὸν ἀ. τάφον. Bg., δοκιμασθέντες De illo Homeri et Hesiodi certamine antiqua superest narratio, quam modo allegavi non semel.

(92) Bg., π. τους Ὁμ., hemistichio longiore.

(93) Disputat erudite de Homeri ætate et Hesiodi Prolegomenis in Hesiodum, p. 15. Vide et de variis Homeris Biblioth. Gr., t. 1, p. 566.

(95) A B, οὕτω συμπ. C, Bg., τούτῳ συμπαθητέοι.

(96) Sch. in C: ἕτερος χρόνος ὅτε ἦν Ὅμηρος, ἐξ ἀπάτης καὶ οὗτος τῆς τῶν Ὁμήρων ὁμωνυμίας.

(97) Vide Tzetzæ Prolegomena Hesiodea, p. 14. Arxippus, aliis Archippus, Atheniensium fuit Archon perpetuus.

(99) A, ἀρχήν.

(100) B, πρὸ τέλους δέ. Bg., κρατους Αρξιππου.

(101) A, Bg., χρόνους.

(102) A, ἀγνοουσιν ἔτι.

(105-107) A B, πρότερον. Scholia in C et partim in Anecd. Oxon., t. 3, p. 376: ἀληθὴς χρόνος ὅτε ἦν Ὅμηρος. — Τουτέστιν ἀπὸ τοῦ χρόνου τοῦ Προναπίδου τοῦ Ὁμήρου διδασκάλου· τρίτος γὰρ ἦν ἀπὸ Κάδμου Προναπίδης, Ὅμηρος δὲ τέταρτος, ἤγουν ἐπὶ Λαΐου καὶ Οἰδίποδος ἐξαρκέσας μέχρι τῶν Τρωϊκῶν καὶ κατωτέρω.—Τὸ ὅτι ἐπὶ τῶν δύο ἦν στρατειῶν· τὸ γὰρ περὶ Προναπίδου ὁ Σικελὸς Διόδωρος ἱστορεῖ. Vide Diodorum Sic. 3, 66. — A B, στρατιῶν. B, στρατειῶν, et sic Tzetzes Chil. 12, 185, loco conferendo, et 13, 645.

καὶ Διονύσιος φησὶν ὁ κυκλογράφος τοῦτο.
Μάθε καὶ ἄλλοθε καλῶς ἀκριβεστέρως τοῦτο.
Ὁ ποιητὴς Στησίχορος υἱὸς ἦν Ἡσιόδου,
ἐν χρόνοις τοῦ Φαλάριδος ὢν καὶ τοῦ Πυθαγόρου·
οὗτοι δ' Ὁμήρου ὕστεροι χρόνοις τετρακοσίοις.
Ἐπεὶ γοῦν ἔγνωκας καλῶς καὶ χρόνον τοῦ Ὁμήρου,
τὴν τούτου μάθε τελευτὴν ποίῳ συνέβη τρόπῳ.
Πένης ὑπάρχων, καὶ τυφλὸς γενόμενος ἐκ γήρως,
ἁπανταχοῦ διήρχετο τὰς χώρας τῆς Ἑλλάδος,
λέγων αὐτοῦ ποιήματα, δεχόμενος ἐντίμως.
Ὡς δ' ἦλθε παρερχόμενος περὶ τὴν Ἀρκαδίαν,
ξενίζεται παρά τινι κἀκεῖσε Κρεωφύλῳ,
ἐν ᾧπερ μένων φιλικῶς ἡμέρας ἐπὶ πλείστας,
περιπατήσων ἔρχεται παρὰ τὴν παραλίαν.
Ἦσαν δ' ἐκεῖσε ἁλιεῖς ἄγραν οὐκ ἠγρευκότες,
μόνον δὲ φθειριζόμενοι καὶ κτείνοντες τοὺς φθεῖρας·

(108) A, φησί. De Dionysio Cyclographo vide Thesaurum Græc. V. Κυκλογράφος. Conferatur ipse Tzetzes Chil., 12, 184. Jam facillima restitutio Tzetzæ ad Exegesin p. 150, hocce scilicet modo: Διονύσιος ὁ κυκλογράφος τὸν Ὅμηρον ἐπ' ἀμφοτέρων φησὶν εἶναι τῶν στρατειῶν, Θηβαϊκῆς καὶ Τρωϊκῆς.

(109) C, ἄλλοθε, et sic Burg. Vide n. ad librum A, 8. Hunc Stesichori Phalaridis Pythagoræ synchronismum tradit et Proclus ad Hesiodum, p. 7. Sed talia nunc vitanda.

(111) A, πιθαγόρου.

(112) B, οὗτος δ' ὁμ. ὕστερος.

(114) B, τὴν τελευτήν.

(115) Cf. de morte Homeri narrationem Tzetzæ Chil. 13,654, cujus plurimi versus hinc desumti sunt.

(119) A B C, παρά τινι κἀκεῖσε παραμένων, περιπατήσων ἔρχ. περὶ τ. παραλ. Et περὶ Chil. 13,659 in codice, quum sit ἐπὶ in editione. In C. super τινὶ scriptum est pro scholio τῷ Κρεωφύλῳ. Sequutus sum Burgessianam uno versu ampliorem. Ad ἐν ᾧ conjicerem ἐν οὗ, scilicet οἴκῳ, nisi libro O, 62 legeretur ἐν αἷς pro παρ' αἷς, ἐν ὧν οἴκοις. Glycera Alciphronis 2, 43, Menandro: ὡς διεπέμψω μοι τοῦ βασιλέως τὰς ἐπιστολάς, εὐθὺς ἀνέγνων· μὰ τὴν Καλλιγένειαν, ἐν ᾗς νῦν εἰμί, κατέχαιρον. Codices quos vidi duo: ἃς διεπ. μοι τ. βασιλέως ἐπιστολάς... ἐν ᾗ νῦν... Est ἐν ᾗς conjectura Bergleri, recepta calidius fortasse a Wagnero. — Ad Tzetzam redeo. Burg., παρὰ τὴν παρ. quod sumsi. Sæpius περὶ παρὰ permutatas videbimus. Ac modo malim fere, παρὰ τὴν Ἀρκαδίαν, et παρὰ restituendum in loco Chiliados 13.

(123) A, τοὺς φθεῖρας, quod prætuli ob vv. 127 128. B C, Bg., τὰς φθεῖρας. Psellus Encomio pediculi p. 85: ἀλλ' ἡ φθεὶρ ἴσως τῇ ψύλλῃ τῆς εὐφημίας ἐπιβασκήνειεν. Sed variatur et ibi, ὁ φθείρ. Scriptum reperi masculino genere οἱ φθεῖρες in Alexandri Aphrod. Problematis 2, 30; in Apollonii Dyscoli Historia Comm. c. 27, et in vita Homeri Herodo-

ὧν ἁλιέων Ὅμηρος ἀκούσας συλλαλούντων,
« Ὦ ἄνδρες » εἶπεν, « ἁλιεῖς Ἀρκάδες, ἔχομέν τι; »
Οἱ δ' ἀπεκρίναντο αὐτῷ περὶ φθειρῶν λαλοῦντες·
« Τοὺς οὓς μὲν ἐκρατήσαμεν οὐκ ἔχομεν εἰσέτι,
« οὕσπερ δ' οὐκ ἐκρατήσαμεν ἔχομεν μᾶλλον τούτους. »
Ὁ μὴ νοήσας Ὅμηρος, λυπούμενος ἀμέτρως,
πρὸς ἣν τότε κατέμενεν ὑπέστρεφεν οἰκίαν,
πηλοῦ δ' ὄντος ὠλίσθησε, καί, κεκρουκὼς εἰς πέτραν,
κλᾶται πλευρὰν τὴν δεξιάν, καὶ τελευτᾷ τριταῖος.
Ἐπεὶ λοιπὸν μεμάθηκας καὶ θάνατον Ὁμήρου,
μάνθανε τὴν ὑπόθεσιν τῆς ὅλης Ἰλιάδος.
Οἱ μὲν ἀγροικικώτερον γράφοντες καὶ χυδαίως
γάμους Πηλέως λέγουσι καὶ Θέτιδος γενέσθαι,
καὶ συμπαρεῖναι τοὺς θεοὺς τοῖς γάμοις ἐν Πηλίῳ,
καὶ σὺν αὐτοῖς καὶ τὰς θεάς, κατ' ἐξοχὴν δὲ ταύτας,
Ἥραν ὁμοῦ καὶ Ἀθηνᾶν, καί γε τὴν Ἀφροδίτην·
τὴν δ' Ἔριν οὖσαν μάχιμον καὶ φιλονεικοτάτην

tea 35, ubi de piscatoribus illis pediculosis narratur: ὅσους μὲν ἔλαβον τῶν φθειρῶν. Vide mox n. 128. Addam in transcursu, quod minimi, nullius imo momenti est, notatis ad Psellianum opusculum, J. H. Ursinum scripsisse Pægnion de laude pediculi.

(125) C, ὦ ἄνδρες ἦσαν ἁλ. Homeri ipsa verba, inter ejus fragmenta: Ἄνδρες ἀπ' Ἀρκαδίης ἁλιήτορες, ἦ ῥ' ἔχομέν τι;

(128) A, τούτων. Ex ultima pagina codicis Odysseæ in Vindobonensi bibliotheca asservati excerpsit similem de piscatoribus Arcadibus cum Homero colloquentibus historiolam Nœhdenius, quam Classico-Diario inseruit t. 23, p 63. Ibi recitata Homeri quæstione, sic pergit narrator: ὁ νοῦς τῆς ἐρωτήσεως οὗτος· « ὦ ἄνδρες Ἀρκάδες, ἁλιεῖς τὴν τέχνην, ἆρ' ἐθηρεύσαμέν τι; » οἱ δὲ ἁλιεῖς ἀπεκρίναντο τοῦτο τὸ ἔπος· « Οὓς ἕλομεν λιπόμεσθ', οὓς δ' οὐχ ἕλομεν, φέρομεν. » Ὁ δὲ νοῦς τοῦδε τοῦ ἔπους τοιοῦτος· οὓς φθεῖρας ἐθηρεύσαμεν ἀπεκτείναμεν ἐνταῦθα, οὓς δ' οὐκ ἰσχύσαμεν θηρεῦσαι, φέρομεν ἐν τοῖς εἵμασιν..... Ad οὓς ἕλομεν conjecit Nœhdenus legendum εἵλομεν Sed qui sic mutatum incedet τοῦτο τὸ ἔπος? Debuisset potius proponere mutandum φέρομεν in φερόμεσθα, quod legitur in editis Homeri fragmentis. Statim pro χρησμὸν τὸν χρησμῳδηθέντα proponit N. χρησμοδοτηθέντα. Cui bono?

(129) B. ὁ μή.

(130) Sic codices.

(132) Bg., κλα την πλ. A B C et Chil. 13,665 κλᾶται πλ.,

(135) Schol. in C., ἰδιωτικώτερον, ad ἀγροικικώτερον, puto. — C. χυδέως.

(140) Bg., την Εριν δ' ουσαν. A. φιλονεικωτάτην. Melius idem v. 268,

τούτων ἀπεῖναι λέγουσι τῶν γάμων μὴ κληθεῖσαν.
Αὕτη δὲ, ζέσασα θυμῷ καὶ λύπῃ βεβλημένη,
μῆλον ἐσκεύασε χρυσοῦν, ἔγραψε δὲ τῷ μήλῳ·
« Λάβε, καλὴ τῶν θεαινῶν, λάβε, καλὴ, τὸ μῆλον·
« Σοὶ τῇ καλῇ τῶν θεαινῶν ἔστω τὸ μῆλον δῶρον. »
Οὕτως ἡ Ἔρις, ὥς φασι, ποιήσασα τὸ μῆλον,
ἀπὸ τοῦ στέγους ἔρριψε μέσον τοῦ γάμου τοῦτο.
Εὐθὺς δὲ Ἥρα, Ἀθηνᾶ, μετὰ τῆς Ἀφροδίτης,
τὴν γαμικὴν τὴν τράπεζαν ἀφεῖσαι καὶ τὸν πότον,
περὶ τοῦ μήλου μάλιστα τὴν μάχην συνεκρότουν,
ἑκάστη τούτων λέγουσα κάλλει νικᾶν τὰς ἄλλας.
Τέλος λαβόντα τὸν Ἑρμῆν ταύτας ὁ Ζεὺς κελεύει
πρὸς τὸν Ἀλέξανδρον αὐτὸν ἀπαγαγεῖν εἰς Ἴδην·
ἣν δ' ἂν αὐτῶν Ἀλέξανδρος ὡραιοτέραν κρίνῃ,
ταύτην τὸ μῆλον ἔπαθλον λαμβάνειν εὐμορφίας.
Ὡς δὲ ταχέως πρὸς αὐτὴν ἐγένοντο τὴν Ἴδην,
Ἥρα μὲν πρὸς Ἀλέξανδρον τάδε φησὶ κρυφίως·
« Εἰ κρινεῖς ἐμὲ κρείττονα καὶ δώῃς μοι τὸ μῆλον,
« ἄρχειν ἐγὼ ποιήσω σε δύσεως καὶ τῆς ἕω. »
Ἡ δ' Ἀθηνᾶ κατάρχοντι Φρυγῶν τῆς στρατηγίας
Ἑλλάδα πᾶσαν ἔλεγε δούλην αὐτῷ ποιῆσαι.
Ἡ δ' Ἀφροδίτη πρὸς αὐτὸν Ἀλέξανδρον εἰποῦσα,
« Εἰ κρίνεις τούτων κρείττονα, δώσω σοι τὴν Ἑλένην, »
λαμβάνει νικητήριον καὶ ἔπαθλον τὸ μῆλον.

Ἔριδος τῆς φιλονεικοτάτης. Bg., φιλονεικοτατον, violata lege accentus.
(142) A, αὔτη. BC, Bg., αὐτή.
(145) A, ἡ τῇ κ... ἔσται. B, σοὶ τῇ... ἔσται. C. ἡ... ἔστω. Bg., και τη... εστω.
(146) Bg., οὕτως Ερις.
(147) Bg., στεγους... τουτου. A, μέσον τὸ μῆλον κάτω.
(158) A B, εἰ κρίνεις... καὶ δώῃς. C, κρίνῃς.... δώῃς. Bg., κρινεις.... δωης. Scripto κρινεῖς δώῃς, visum est tempora non male sibi convenire, quum aoristi δώῃς futura possit esse significatio.
(160) Codices κατάρχοντα. Referendum ad αὐτῷ scripsi κατάρχοντι.
(163) C, κρίνῃς e correctione.

Ἀλέξανδρος, Φερέκλου δὲ πλοῖα πεποιηκότος,
εἰς τὴν Ἑλλάδα κατελθὼν, ἁρπάζει τὴν Ἑλένην·
ὅθεν ὁ μέγας πόλεμος ἐκεῖνος ἀνερράγη,
καὶ πόλις ἡ περίβλεπτος ἡ Τροία κατεσκάφη,
καὶ πάντες παρανάλωμα γεγόνασι τοῦ ξίφους.
Ταῦτα φασὶν οἱ ἀμαθῶς λαλοῦντες καὶ νηπίως·
τὸ δ' ἀληθὲς νῦν μάνθανε λεπτῶς ἠκριβωμένως.
Ὁ Λαομέδοντος υἱὸς Πρίαμος καὶ Λευκίππης,
εἴτε Ῥοιοῦς κατά τινας, Στρυμοῦς δὲ καθ' ἑτέρους,
γήμας Ἑκάβην Δύμαντος, κατά τινας Κισσέως,
υἱοὺς ἐγέννησε πολλοὺς, ναὶ μὴν καὶ θυγατέρας.
Ἐπεὶ δὲ καὶ Ἀλέξανδρον ἔγκυος ἦν Ἑκάβη,
γεννῆσαι φλέγοντα δαλὸν ἐδόκησεν ὀνείροις,
ὃς πάσας ἐπυρπόλησε τὰς Τρώων περιχώρους.
Οἱ τῶν ὀνείρων δὲ κριταὶ τοῦτο μαθόντες εἶπον·
« Τὸ βρέφος ὅπερ ἔνδοθι φέρεις ἐν τῇ γαστρί σου
« τῇ περιχώρῳ γίνεται πάσῃ τῶν Τρώων βλάβη. »

(165) Ex Iliade 5, 62, de Phereclo : Ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐΐσας Ἀρχεκάκους, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο, Οἷ τ' αὐτῷ. Adde Tzetzam Chil. 8, H. 168 : τὸν Φέρεκλον ὁ Ὅμηρος ὡς τέκτονα τὴν τέχνην, Καὶ πλοῖα συναρμόττοντα καὶ θρόνους καὶ πᾶν ἄλλο. Codex 2644, θρήνους. Propono legendum θράνους. Est θρᾶνος in nave nomen proprium sedilis τοῦ θρανίτου.

(169) Redibit nomen παρανάλωμα v. 329. Gregorius Cyprius in meis Anecdotis Gr. t. 1, p. 345 de capta Urbe : γίνεται χειρῶν βαρβαρικῶν παρανάλωμα. Vita Barlaami ibid. t. 4, p. 236 : τὰ σώματα ὑμῶν θηρίοις δώσω παρανάλωμα. Eumathius Hysm. 8, p. 282 : ὅσοι δ' ὑπερβεβήκασι τούτοις, βαβαὶ τῆς τῶν βαρβάρων ἀμειλίκτου ψυχῆς! ξίφους γεγόνασι παρανάλωμα. Scribendum τούτους e codice, et sine codice, scilicet νεανίσκους, de quibus modo. Scholiastes Ajacis ad v. 12 παρανάλωμα interpretatur πάρεργον ἀνάλωμα.

(171) A B, καλῶς ἠκρ. Vide v. 109.

(173) A, Burg., Στρυμνους. B C, στρυμοῦς. Vide Thesaurum gr. V. Στρυμώ; et Muellerum ad scholia Tzetzæ in Lyc. v. 18.

(174) Burg., Δριμαντος.

(175) B, καὶ μὴν καί. Formulæ ναὶ μὴν καὶ bonitatem asserui ad Choricium, p. 342. Adde n. ad Nicetam Eugen. p. 387.

(176) C, ἐπειδή. Bg., Ἀλεξανδρου contra rhythmum. A, ἔγγυος. Exemplum vocis ἔγκυος cum accusativo videsis libro T, 60 ; alia excitavit ex Tzetza Lud. Dindorf. in Thesauro Græco.

(177) Burg., γεννησαι.

(180) C, et Bg. ἔνδοθι. Exempla Tzetzica ibidem apposuit L. Dindorf. A B, ἔνδοθεν.

Οὕτω μὲν εἶπον οἱ κριταὶ τότε τῶν ὀνειράτων·
γεννήσασα τὸ βρέφος δὲ, Πάριν κατονομάζει.
Ὁ δὲ πατὴρ ὁ Πρίαμος τῷ φόβῳ τῶν ὀνείρων
μετὰ τὴν βρέφους γέννησιν ἦλθεν εἰς τὸ μαντεῖον,
ἀνερωτήσων ποταπὸν ἐκβήσεται τὸ βρέφος.
Ἐδόθη τούτῳ δὲ χρησμὸς τοιουτοτρόπως λέγων.
« Πρίαμε Τρώων βασιλεῦ, σύζυγε τῆς Ἑκάβης,
« δύσπαρις Πάρις σοι υἱὸς ἄρτι κακῶς ἐτέχθη,
« ὃν μὴ γεννῆσαι κρεῖττον ἦν ἢ συμφορὰν γεννῆσαι.
« Ὁ παῖς γὰρ οὗτος, γεγονὼς τριάκοντα τῶν χρόνων,
« ὀλέσει τὰ βασίλεια τῶν Τρώων καὶ τὰς πόλεις. »
Ὅπερ μαθὼν ὁ Πρίαμος τρόμῳ πολλῷ καὶ φρίκῃ
τὸν Πάριν μετεκάλεσεν Ἀλέξανδρον εὐθέως,
καὶ Ἀρχελάῳ δέδωκεν οἰκέτῃ τὸ παιδίον,
ὡς ἂν εἰς ὄρος που ῥιφὲν καταβρωθῇ θηρίοις.
Καὶ δὴ λαβὼν Ἀρχέλαος ἀπέρριψεν εἰς Ἴδην·
ἄρκτος δ' ἐθήλαζεν αὐτὸν ξένως ἡμέρας πέντε.
Ἐν μέσῳ τούτων τελευτᾷ τὸ βρέφος Ἀρχελάου·
ὁ δὲ τὸ πᾶν τῇ γυναικὶ συμβουλευθεὶς ἐμφρόνως,

(186) B C, Bg., ποδαπόν. Recepi ex A ποταπόν.

(189) Hector tertia Iliade Parim verbis probrosis compellans : Δύσπαρι, εἶδος ἄριστε. Similia collegit Potterus ad Lycophr. 1174. Olim ad Anecd. Gr. t. 3, comparabam compositum Κακοαλέξιος, quo usus est auctor Ἐπιδημίας Μάζαρι, non semel, scilicet pp. 130, 149, 166. —A, καθώς. B, κακός. C, Bg., κακῶς.

(190) A, κρείττων. Et sic C prius ; sed correctio facta fuit.

(191) γεγονὼς τριάκοντα τῶν χρόνων) id est ἐτῶν, ἐνιαυτῶν, quæ nominis χρόνος significatio apud recentiores præsertim est passim obvia. Conf. v. 336, 360, 369, 391, 394, 419, etc. Malalas de hac ipsa re ante Tzetzam, Chron. 5, p. 116 : τοῦ δοθέντος χρησμοῦ περὶ τοῦ Πάριδος τῶν λ' ἐνιαυτῶν. Apud Eumathium 4, p. 226, duodecim mensibus allegorice pictis hæc est superimposita inscriptio : Τοὺς ἄνδρας ἀθρῶν τὸν χρόνον βλέπεις ὅλον, id est « annum totum », monente Ph. Basso. Gaulmini interpretatio « omne tempus » a sententia est aliena. Vide Bernard. ad Nonnum medicastrum c. 213 ; Mo er. ad Nonnum poetam p. 172 ; Bach. ad Critiam p. 63 ; meam ipsius notam ad Chumni epistolas p. 185.

(193) C, Bg., τρόμῳ π. A B, φόβῳ πολλῷ.

(194) A B, τὸν πάριν. in C, τὸν πάριν, superscripto τὸ βρέφος. Bg., τὸ βρ.

(198) Burg., C. ἡμέραις.

(200) A, συμβουλευθεὶς τῇ γυναικί. Burg., ἡ γυν. συμβ.

τὸν μὲν νεκρὸν ἀπέρριψεν εἰς Ἴδην ἀντ' ἐκείνου,
τὸ βρέφος δὲ βασιλικὸν αὐτὸς ἀναλαμβάνει,
καὶ ἀνατρέφει πατρικῶς ποιμαίνειν τε διδάσκει,
ὥσπερ τινὲς ἱστορικοὶ γράφουσι περὶ τούτου.
Ἕτεροι πάλιν λέγουσι πιθανωτέρως τάχα,
Πρίαμον τὸν Ἀλέξανδρον μὴ δοῦναι Ἀρχελάῳ
εἰς βρῶσιν ῥῖψαι τοῖς θηρσίν· ἀλλ' ἐλεῶν τὸ βρέφος,
νομίζων οὕτω τε φυγεῖν καὶ τοῦ χρησμοῦ τοὺς λόγους
τῷ Ἀρχελάῳ δέδωκεν τρέφειν ἐν τοῖς χωρίοις
βασιλικαῖς ἀνατροφαῖς παιδεύσει τε παντοίᾳ.
Ὁ δὲ λαβὼν εἰς Ἄμανδρον ἀπήγαγε χωρίον·
ὅπερ χωρίον Πρίαμος πόλιν ποιήσας τότε
Πάριον μετωνόμασεν εἰς ὄνομα τοῦ βρέφους.
Ἐκεῖ γοῦν ἐκτρεφόμενος Ἀλέξανδρος, ὡς ἔφην,
λέγεται κρῖναι τὰς θεὰς ἐν γάμῳ τοῦ Πηλέως,
καὶ δοῦναι νικητήριον τὸ μῆλον Ἀφροδίτῃ.
Τοῦτο δ' ὅτι ψευδές ἐστι δῆλον ἐκ τῶν πραγμάτων.
Τοῦ Ἀχιλέως γὰρ πατὴρ ἦν ὁ Πηλεύς, ὡς οἶδας,

(201) C. ἀνέρριψεν.

(202) A B C, τὸ δὲ βασιλ. βρέφος, contra rhythmum.

(205) Burg., πειθανωτέρως.

(211) Et v. 292 Ἄμανδρόν τι χωρίον, quod Malalæ, Chron. 5, p. 114, Ἀμάνδρα nuncupatur. Narrationis Tzetzicæ de Paride Malalas fons est, omninoque conferendus; ipseque Tzetzes bona fide ac diligentiæ causa eum allegabit v. 246. Burg., κατωνόμασεν.

(217) Schol. in C. ψευδὲς τοῦτο μόνον ἐστὶν ὅτι Ἀλέξανδρος ἐν τοῖς Ἀχιλέως πατρὸς γάμοις Πηλέως ἔκρινε τὰς θεάς. Τὸ Ἀχιλεὺς δι' ἑνὸς λάμβδα ἐγὼ γράφω.

(218) B, Burg., Ἀχιλλέως. Et sic passim codices cum duobus lambda. Sed, quum ipse auctor modo significaverit se uno tantum lambda uti, parendum est. Cujus scripturæ rationes declarat ad Lycophronem 798: ὁ Τζέτζης τὸ Ἀχιλεὺς δι' ἑνὸς λ γράφει. Φησὶ γὰρ ὅτι ἢ ἀπὸ τοῦ ἄχος ἐμποιεῖν τοῖς Ἰλιεῦσιν ἐτυμολογεῖται, ἢ παρὰ τὸ ἄχη λύειν (ἰατρὸς γὰρ ἦν), ἢ παρὰ τὸ χείλεος ἄμοιρος εἶναι, ἢ παρὰ τὸ ἄγειν τὸν λαόν, ὡς στρατηγός· καὶ πάντα δι' ἑνὸς λ γράφεται. Εἰ δέ τις διὰ δύο λλ τοῦτο γράφει, κελεύει μὴ κτηνωδῶς οὕτω γράφειν, χωρὶς ἐπιστήμης καὶ εἰδήσεως, λέγειν δὲ τοῦτο ὅτι αἰολικόν ἐστιν. Οἱ γὰρ Αἰολεῖς διπλασιοῦσι τὰ σύμφωνα. Idem scholio fortasse non integro ad Chil. 6, 664, ubi Ἀχιλλεὺς editum, at Ἀχιλεὺς in cod. 2644: Ἀχιλλεὺς μόνον αἰολικῶς διὰ δύο λάμβδα γράφε. Adde eum et Exegesi p. 61, 3, atque inferius schol. ad v. 425. In allegandis etiam aliorum locis hanc scripturam adhibet. Ad Chiliadem 2, 78: Ἀδριανὸς δ' Ἀδριανοῦ τοῦ Ἄφρου

*ὁ δ' Ἀχιλεὺς γεραίτερος ὑπῆρχεν Ἀλεξάνδρου.*
*Καὶ γὰρ ὁ Νεοπτόλεμος υἱὸς τοῦ Ἀχιλέως*
*πολεμιστὴς ἦν τέλειος τῷ Τρωϊκῷ πολέμῳ,*
*αὐτῷ σχεδὸν ἰσόχρονος ὑπάρχων Ἀλεξάνδρῳ.*
*Καὶ πῶς οὐκ ἔστιν ἄλογον Ἀλέξανδρον δικάζειν*
*γάμοις τινὸς τοῖς ἑαυτοῦ πάπποις ἰσοχρονοῦντος;*
*τοῦτο μὲν λῆρος καὶ ψευδές, τὰ δ' ἀληθὲς τοιοῦτον.*
*Ὡς ἀπελθὼν ὁ Πρίαμος ἤκουσεν ἐκ μαντείου*
*τριάκοντα γενόμενον Ἀλέξανδρον τῶν χρόνων*
*ὀλέσαι τὰ βασίλεια τῶν Τρώων καὶ τὰ πέριξ,*
*ἅμα τὸ βρέφος ἐλεῶν μηδ' ἀποκτεῖναι θέλων,*
*καί γε τὴν ἄφυκτον φυγεῖν ἐλπίζων εἱμαρμένην,*
*εἰ τὸ τριακοντάχρονον Ἀλέξανδρος ἐκδράμοι,*
*τῷ Ἀρχελάῳ δέδωκεν ἐν τοῖς ἀγροῖς ἐκτρέφειν,*
*εἴς τι χωρίον Ἄμανδρον καλούμενον τὴν κλῆσιν,*
*ὃ νῦν καλεῖται Πάριον, πόλις ἀντὶ χωρίου,*
*εἰς κλῆσιν τὴν τοῦ Πάριδος κτισθὲν ἐκ τοῦ Πριάμου.*

παῖς ὑπάρχων, id apposuit scholium, quod describam ex Anecd. Oxon. t. 3, p. 354 collato bono codice 2644: πολλὰς βίβλους Ἀδριανὸς (cod. ὁ) αὐτοκράτωρ συνεγράψατο ὧν τί (potius τι vel τὶ) λέγειν ἐατεόν · ῥητεὸν δὲ δι' ἐπῶν αὐτοῦ εἰς τὸν Ἕκτορα ἐπιτάφιον. « Ἕκτορ, ἀρήϊον (sic cod.) αἷμα, κατὰ χθονὸς, εἴπου ἀκούεις, Στῆθι, καὶ ἄμπνευσον βαιὸν ὑπὲρ πατρίδος. Ἴλιον οἰκεῖται κλεινὴ πόλις, ἄνδρας ἔχουσα Σοῦ μὲν ἀφανωτέρους (cod. ἀφαυροτέρους optime, ac fateor me suspicari Oxoniensem lectorem somniculose legisse), ἀλλ' ἔτι (cod. ἔτ') ἀρηϊφίλους, Μυρμιδόνες δ' ἀπόλοντο. Παρίστασο, καὶ λέγ' Ἀχιλλεῖ (cod. Ἀχιλεῖ, quod est ex usu Tzetzæ) · Φαρσάλος (potius Φάρσ.) κεῖται χερσὶν ἐπ' Αἰνεάδῃ. Hic ultimus versus periit in codice, lacera charta; supersunt tamen pauculæ literæ, κεῖται π' αἰ. Id epigramma reperitur et in Anth. 9, 387, cum lectione χαῖρε, multo, me quidem judice, præferenda varietati Oxoniensi, στῆθι. Ac valde discrepat in Anthologia ultimus versus ita scriptus: Θεσσαλίην κεῖσθαι πᾶσαν ὑπ' Αἰνεάδαις. Varietas Oxoniensis sic reformari potest: χερσὶν ὑπ' Αἰνεάδου, vel Αἰνεαδῶν. Obiter moneho Chardonem in Miscellaneis t. 1, p. 277 id epigramma illustravisse appositione versionum quatuor metricarum, quibus potuisset addere quam fecit Morus: « Gradivi genus, Hector, ave... », aliamque Pauli Stephani, Henrici filii: « Si sonus it terris, Hector fortissime gaude... »

(222) A B, Bg., αὐτοσχεδόν. Ad rem cf. Tzetzam Exegesi p. 41.

(230) A, ἄφικτον. A, ἐκδραμεῖ. B, ἐκδράμῃ.

(233) A, τῇ κλήσει.

(234) Tzetzes Antehom. 59: Δείματο δ' αὖ Πάριον τιμῇ Πάριδος ἑο παιδός. Ibi de Pario Jacobsius.

Ὁ Πάρις οὖν Ἀλέξανδρος ἐκεῖσε διατρίβων,
μέχρι τῆς παρελεύσεως τῆς τριακοντουτίας,
πάσας ἐξεπαιδεύετο βασιλικὰς παιδεύσεις,
ἱππεύειν, ἀκοντίζειν τε, τοξεύειν, σφαῖραν παίζειν,
καὶ πᾶσαν ἄλλην παίδευσιν πρέπουσαν βασιλεῦσι.
Καὶ ῥήτωρ μὲν γενόμενος γράφει πολλὰ μὲν ἄλλα,
εἰς ἓν δὲ τούτου σύγγραμμα τὰς τρεῖς θεὰς συγκρίνει,
τὴν Ἀθηνᾶν, τὴν φρόνησιν, τὴν Ἥραν, τὴν ἀνδρείαν,
καὶ τὴν ἐπιθυμίαν δε, φημὶ, τὴν Ἀφροδίτην,
ᾗ καὶ τὸ μῆλον δέδωκε, τὴν νίκην, τὰ πρωτεῖα,
ὡς Ἰωάννης χρονικὸς Ἀντιοχεὺς που γράφει,
αὐτὸ μόνον ἀλληγορῶν, τἄλλα παραλιμπάνων,
γάμον Πηλέως Θέτιδος, Ἑρμῆν τε καὶ τὸν Δία,
τὴν Ἴδην, οὗπερ ἔκρινε θεὰς τὰς θρυλλουμένας·
ὁ Τζέτζης δ' ἅπαντα λεπτῶς ἀλληγορεῖ. Καὶ πρόσχες.

(236) Bg., γουν. Rem narrat Tzetzes Exegesi p. 40 : οὓς δήπερ ἀγροὺς Ἀλέξανδρος ἐκτρεφόμενος. Fortasse, καθ' οὕς.

(237) B, τριακονταετίας. Et 250 B, τριακονταετίαν, utroque versu longiore, quum sint in hemistichio posteriore octo syllabæ, quod debeat constare septenis. Modo incidi in hosce iambicos politicos grammaticastri nescio cujus : Ὦ Τριὰς τρίφωτε, τρισαΐδιον φάος, Τρία πάρεσχε τῷ σχεδογράφῳ νέῳ, Γνῶσιν, μάθησιν καὶ λόγων εὐκοσμίαν. In primo tollendum ὦ.

(238) Burg., ἐξεπαιδεύσατο.

(240) Bg., βασιλευσιν.

(241) Bg., ὡς ῥητωρ δε. C, καὶ ῥ. δέ. A, πολλὰ καὶ ἄλλα.

(242) A, τούτοις. BC, Bg. τούτου, quod est pro αὐτοῦ. Magna est in usu pronominum negligentia recentiorum. Monere memini ad Pachymerem. Tzetzes de Paride Exegesi p. 41 : καὶ ῥήτορα τέχνην μεμαθηκὼς πολλὰ μὲν ἕτερα συγγεγράφηκεν, ἐνὶ (imo ἑνὶ) δὲ τῶν αὐτοῦ συγγραμμάτων φρονήσεως ἐπιθυμίας τε καὶ ἀνδρείας σύγκρισιν ἐποιήσατο.

(243) A, φησί. Tzetzes Antehom. 63 : Εἶν ἑνὶ δ' αὖτε θεάν, ἐπιθυμίαν, Ἀφροδίτην Κρίνων.

(246) Ἰωάννης] Schol. in C : τοῦ ἐπίκλην ὁ Μαλέλης. Est in Anecd. Oxon. 3, p. 376 cum lectione ἐπίκλησιν. Vide n. 211.

(247) A B C, τἄλλα. C, τάλλα v. 267. Præferunt τἄλλα Wolfius Præf. Hom. p. 55, Friedemann. De media Syll. p. 332, Schæfero auctore ad Æsopum p. 132; Reitz. ad Luciani Phal.; Erfurdt. et Hermann. in Sophocle; Miller. Catalogo Scoral. p. 35, qui et mei meminit, ut est vir diligentissimus ac capacis memoriæ. Jacobitzio tamen viro d. magis placuit τἄλλα ad Toxarim. Omnino legendus est Wolf. in Litterariis Analectis t. 1, p. 431, ad quem et olim lectorem amandabam, quum erudite rationes cur τἄλλα præferat exposuerit. Ceterum in ista re minima minime peccabitur.

(248) C, Bg., ἑρμῆ.

Μέχρι τοῦ παρελθεῖν, φησί, τὴν τριακοντουτίαν
Ἀλέξανδρος, ὡς ἔμαθε διάγων ἐν Παρίῳ,
πάσας καλὰς βασιλικὰς μετήρχετο παιδεύσεις·
καὶ δὴ καὶ λόγιος ἀνὴρ γενόμενος συγγράφει
βίβλον, τοῦ κόσμου γένεσιν αἱρέσει τῇ Ἑλλήνων·
πῶς ἐν ἀρχῇ τὸ Ἔρεβος ὑπῆρχε καὶ τὸ χάος,
καὶ σκότωσις καὶ σύγχυσις τὰ σύμπαντα κατεῖχε·
ῥαγέντος τοῦ Ἐρέβους δὲ καὶ βαθυτάτου σκότους,
ἐφάνη γῆ καὶ θάλασσα, ῥυθμῷ διηρθρωμένα,
ὅπερ φασὶ τῆς Θέτιδος γάμους καὶ τοῦ Πηλέως·
χαύνη πηλώδη γὰρ ἡ γῆ τὸ πρῶτον ἀνεφάνη,
ὡς ἐν τοῖς φυσικοῖς αὐτοῦ φησὶν Ἀναξαγόρας.
Ἐν τῷ Πηλίῳ δέ φασι τὸν γάμον γεγονέναι,
ἐν κόσμῳ, οὗ τὸ πήλινον ἀνθρώπων ἐσμὲν γένος.
Τοῖς γάμοις τοῦ Πηλέως δὲ καὶ Θέτιδος τῷ τότε,
ἤγουν ταῖς διαρθρώσεσι τῆς γῆς καὶ τῆς θαλάσσης,
παρῆσαν πάντες οἱ θεοί, ἤγουν στοιχεῖα τἆλλα,
χωρὶς μόνης τῆς Ἔριδος τῆς φιλονεικοτάτης·
διαρθρωθείσης γὰρ τῆς γῆς ὁμοῦ καὶ τῆς θαλάσσης,
καὶ τὰ λοιπὰ συνέδραμε πάντα καλῶς στοιχεῖα·
ἡ Ἀθηνᾶ, ὁ πρόσγειος ἀὴρ καὶ ὑδατώδης,
ἡ Ἥρα τὸ λεπτότερον κατάστημα αἰθέρος,

252) διάγων ἐν Παρίῳ]. A, Παρείῳ. Sequitur Malalam Chron. 5, p. 115 : ἐν αὐτῷ διάγων, scilicet τῷ Παρίῳ. In hoc versu Burgessius interrumpit descriptionem sui codicis, repetendam v. 334.

(253) C, καλῶς βασιλικῶς. Nec male; cf. v. 171. Sunt tria adverbia v. 505.

(255) A, βιβλίον... αἱρέσει τῶν.

(256) Post hunc versum A addit hunce, qui abest ab B C : Σελήνην ἥλιον ὁμοῦ καὶ τοὺς λοιποὺς ἀστέρας. Et ipse illum omitto, rectius adfuturum inferius post v. 275.

(259) διηρθρωμένα, duali numero.

(264) A, πήλιον. Tzetzes Exegesi p. 42 : ἐν τῷ Πηλίῳ δὲ τῷ κόσμῳ, καθ' ὃν οἱ πήλινοι καὶ γεώδεις ἀναστρεφόμεθα.

(269) B, διαρθρωσάσης. A C, ὁμοῦ τῆς γῆς.

(270) A, συνέδραμον. B, καλὰ, superscripto ῶς.

(271) Tzetzes Exegesi, p. 55, 9 : τὸ Ἀθηνᾶ πάλιν ὁμοίως ἐπὶ τῶν στοιχειακῶν ὁ πρόγειος καὶ παχυμερὴς νοεῖται ἀήρ. Legendum, πρόσγειος.

ἡ τοῦ πυρὸς οὐσία τε, ταύτης ἡ λεπτοτέρα,
ἣν λέγουσιν υἱὸν αὐτῆς, Ἥφαιστον παντεργάτην.
Ἐκ τῆς οὐσίας τοῦ πυρὸς φασὶ γὰρ γεγονέναι
σελήνην, ἥλιον, ὁμοῦ καὶ τοὺς λοιποὺς ἀστέρας.
Οὕτω τὰ πάντα γαμικῶς ἐν τῇ κοσμογενείᾳ
εὐρύθμως παρυπέστησαν φαιδρῶς ὡραϊσμένα.
Ἡ Ἀφροδίτη γὰρ παρῆν τούτοις ἑστιωμένη,
ἡ εὐκρασία τοῦ παντὸς συνδέσμου τῶν στοιχείων.
Μόνη δ' ἡ Ἔρις οὐ παρῆν, ἡ σύγχυσις καὶ ζάλη·
πᾶσα φαιδρότης γάρ, ὁμοῦ πᾶσα συναρμοστία
κατεῖχε τὸν περίγειον τοῦτον ὑλαῖον κόσμον·
τοῦ πρωτογόνου ζοφεροῦ, χαοῦς, εἰς γῆν ῥαγέντος,
ὁ Κρόνον λέγουσι σοφοὶ Διῒ ταρταρωθέντα·
ἀέρος φάναντος λαμπροῦ, τὸ σκότος γὰρ ἐκρύβη.
Τὸ μῆλον τὸ τῆς Ἔριδος ὅπερ ἐστὶ νῦν μάθε.
Μετὰ τὴν κοσμογένειαν καὶ τὴν εὐαρμοστίαν,
ἥνπερ καὶ γάμους εἴπομεν Θέτιδος καὶ Πηλέως,
ὡς ἔγραψεν Ἀλέξανδρος ἐν τῷ αὐτοῦ βιβλίῳ,
ζάλη δεινὴ καὶ σύγχυσις γέγονε τῶν στοιχείων,
ὡς καὶ ὁ φυσικὸς φησὶν Ἐμπεδοκλῆς ἐκεῖνος·
ποτὲ μὲν γὰρ ὁ κάθυγρος ἀὴρ ὑπερενίκα,
ὁ ζοφερός, ὁ πρόσγειος, ὁ συντεθολωμένος,

(274) Schol. in C, et in Anecd. Oxon. t. 3, p. 376 : ὡς Τριφιόδωρος ἐν τῇ Ἀλώσει φησίν · « Μήτηρ ἀθανάτοιο πυρὸς φαεσίμβροτος Ἥρη. » Versus est Tryphiodori 234, ad quem Wernickius citat opportune Tzetzam Exeg. p. 52. Scripsi Τριφιόδωρος pro reperto Τρυφιόδωρος. Nam demonstravit Letronnius, Sylloge inscriptionum t. 1, p. 232, nomen, quod passim scriptum est, Τρυφιόδωρος, deducendum esse non a τρυφῇ, sed a dea Ægyptia, quæ in saxis litteratis Τρῖφις et Θρῖφις nuncupatur. Vide etiam viri doct. Dissertationem eruditissimam de nominibus propriis pp. 40, 41.

(279) C, τούτοις ἑστιωμένη, superscripto ἐκείνοις συνημμένη. B, ἐσθιωμένη. Tzetzes Exegesi p. 39 : γάμων δὲ τελουμένων συνειστιῶντο οἱ θεοί.

(285) Fort. ταρταρωθέντος. In C ad verba Κρόνον Διῒ longissimum adscriptum est scholium, quod ad calcem libr rejicio.

(290) Alexander, Paris scilicet, conf. v. 310.

ὃν Ἀθηνᾶν εἰρήκειμεν, ὁτὲ δὲ ὁ πυρώδης
ὑπερνικῶν τὰ σύμπαντα καὶ μέλλων καταφλέγειν,
ὅνπερ καὶ Ἥραν εἴπαμεν μητέρα τοῦ Ἡφαίστου·
ποτὲ δὲ εὔκρατος ἀὴρ ὑπέλαμπε βραχύ τι.
Ἐν οὖν τοιούτῳ κλύδωνι καὶ ζάλῃ τῶν στοιχείων,
ὁ κόσμος οὗτος, τὸ χρυσοῦν τὸ μῆλον, τὸ ὡραῖον,
ἔπαθλον τοῦ κρατήσαντος ὑπέκειτο στοιχείου.
Εἰ γὰρ ὁ πρόσγειος ἀὴρ ἐνίκησε τελέως,
σκότος ἂν τοῦτον τὸν λαμπρὸν πάλιν κατέσχε κόσμον·
εἰ δὲ λεπτομερέστερος ἐκράτησε πυρώδης,
πῦρ ἂν τὸν κόσμον ἅπαντα κατέσχε καταφλέγον.
Ἐπεὶ δ' ὑπερενίκησε σύγκρασις Ἀφροδίτης,
ἔπαθλον νίκης ἔσχηκε, καὶ νῦν ἔτι κατέχει
τὸν κόσμον τοῦτον τὸ χρυσοῦν τὸ μῆλον, τὸ ὡραῖον,
συγκεκραμένον εὔρυθμον θεοῦ τῇ κυβερνήσει.
Τοιαῦτα μὲν Ἀλέξανδρος περὶ κοσμογενείας
ἐκεῖσε συνεγράψατο τελῶν ἐν τῷ Παρίῳ·
ὅπερ ἐστὶ τῶν θεαινῶν ἡ κρίσις ἡ μυθώδης
ἐκ τῆς κελεύσεως Διὸς Ἑρμῇ προστεταγμένη
παρ' Ἀλεξάνδρου Πάριδος ἐν Ἴδῃ γεγονέναι.
Ὁ Ζεὺς γάρ, νοῦς ἐκέλευσε τοῦ Ἀλεξάνδρου πάντως
Ἑρμῇ, λόγῳ προφορικῷ, καὶ γέγονεν ἡ κρίσις·
οἷον, ἵνα σαφέστερον πᾶν σοι διαρθρώσω,
πεισθεὶς οἰκείοις λογισμοῖς Ἀλέξανδρος ὁ Πάρις

(295) εἰρήκειμεν] v. 271. A, εἰρήκαμεν. Sæpe utitur tempore εἰρήκειν. Vide ad II, 124.

(297) B, ἥνπερ. Cf. v. 272.

(299) A, γοῦν.

(301) A, κρατήσοντος.

(302) A. ἀνήρ.

(309) A B, προαιρέσει. C, κυβερνήσει. Cf. v. 333.

(310) Tzetzes Exegesi p. 43, 6: Τοιαῦτα, οἶμαι, περὶ τῆς ἀρχαιογονίας Ἀλέξανδρος συνεγράψατο, τοῦ Διός, ἤτοι νοός, Ἑρμῇ κελεύσαντος, τουτέστι τῷ προφορικῷ λόγῳ...

(313) In B hic versus cum genitivo συντεταγμένης interpositus est inter versus Ἐκεῖσε... et Ὅπερ..., et in sequente exhibet γενομένη.

λόγοις γραπτοῖς καὶ συλλαβαῖς, καὶ λέξει μετρουμένῃ,
ἐν Ἴδῃ ταύτας ἔκρινε τὰς τρεῖς θεὰς ἃς ἔφην,
τουτέστι συνεγράψατο, δηλοποιῶν βιβλίοις
τοῖς φανεροῦσι σύμπαντα τὰ παλαιὰ καὶ νέα,
ὅπως, μετὰ διάρθρωσιν γῆς ἅμα καὶ θαλάσσης,
καὶ εὐκρασίας τῶν λοιπῶν, ὡς ἔφημεν, στοιχείων,
παλιντροπία γέγονε καὶ σύγχυσις ἐκείνων,
ποτὲ μὲν λάβρων ὄμβρων τε καὶ σκότους γενομένων,
ποτὲ δ' ἀτάκτων κεραυνῶν καὶ χύσεως πυρώδους,
ὑφ' ὧν ἐκλυδωνίζετο πάλιν δεινῶς ὁ κόσμος,
ἢ σκότους παρανάλωμα γενέσθαι καὶ τῶν ὄμβρων,
εἴτε πυρὸς ἐκχύσεσι σφοδραῖς πυροπληθῆναι,
εἰ μή που τοῦτον ἔπαθλον ἔλαβεν Ἀφροδίτη,
τουτέστι κατεκράτησεν ἡ νῦν εὐαρμοστία,
καλῶς αὐτὸν κατέχουσα θεοῦ τῇ κυβερνήσει.
Τοιαῦτα μὲν Ἀλέξανδρος ἔπραττεν ἐν Παρίῳ
μέχρι τῆς παρελεύσεως τῆς τριακονταετίας·
ὡς δὲ μετὰ τριάκοντα δύο παρῆλθον χρόνοι,
νομίσαν τὸ γερόντιον, ὁ Πρίαμος ἐκεῖνος,
ὡς ὁ χρησμὸς παρέδραμεν, ὁ χρόνος παρερρύη,
βλάβη λοιπὸν οὐ γίνεται Τρωσὶ παρ' Ἀλεξάνδρου,
τὴν γερουσίαν, τὸ κοινὸν ἅπαν λαβὼν τῶν Τρώων,
μετὰ θυμέλης καὶ χορῶν καὶ μουσικῶν ὀργάνων

(320) C, ἃς ἔφην. A B, ὡς ἔφην.

(321) A C, δηλοποιεῖ, quod cum συνεγράψατο male convenit. B, δηλοτυπῶν, unde scripsi participium δηλοποιῶν. Ab hoc versu in B fit saltus ad versum 361, folio uno absente, quod fuit numero 9 signatum, quum præcedat folium 8, sequatur folium 10. Aliud enim ergo fuit post appositos foliis rectis numeros, quorum non vetus atramentum ac forma recens.

(324) Confer. v. 280.

(326) C, ὄμβρων λάβρων τε κ. σκ. γινομένου.

(327) A, ἀτάκτως.

(334) Iterum Burgessius describit codicem Oxoniensem hinc ad v. 340, tum saltum facit ad v. 347, itaque deinceps selectos versus apponit. Bg., τοιοῦτο.

(336) Tzetzes Exegesi p. 43 : τριάκοντα δὲ χρόνων παραδραμόντων τῆς γεννήσεως Πάριδος, et reliqua, quæ sunt conferenda. Fortasse excidit ἐκ vel ἀπὸ ante τῆς γεννήσεως.

τὴν Τρωϊκὴν τὴν συμφορὰν ἐπὶ τὴν Τροίαν φέρει,
τοῦ ἀπριλλίου τοῦ μηνὸς ἐν εἰκοστῇ δευτέρᾳ.
Τότε θυσίαι πανταχοῦ θεῶν τῶν ἐγχωρίων,
ἁπανταχοῦ δὲ τράπεζαι, θέαι καὶ πανηγύρεις.
Τῇ ἐκτωκαιδεκάτῃ δὲ μηνὸς τοῦ ἰουνίου
κελεύει τοῦτον ὁ πατὴρ πλεῦσαι πρὸς τὴν Ἑλλάδα,
καὶ θῦσαι λύσιν συμφορῶν Ἀπόλλωνι Δαφναίῳ,
δοὺς ἄνδρας Φρύγας ἑκατόν, καὶ γράμματα καὶ δῶρα
πρὸς τοὺς Ἑλλάδος βασιλεῖς καὶ πρὸς τοὺς τοπαρχοῦντας,
ἅπερ λαβὼν Ἀλέξανδρος ἔπλει πρὸς τὴν Ἑλλάδα,
διδοὺς ταῦτα πρὸς ἅπαντας χωρῶν τοὺς τοπαρχοῦντας.
Ὡς δὲ καὶ πρὸς Μενέλαον κατέπλευσεν εἰς Σπάρτην,
εὕρηκε τοῦτον μέλλοντα πρὸς Κρήτην ἀποπλέειν·
θῦσαι γὰρ ἔμελλεν ἐκεῖ τῷ πάππῳ τῷ Κατρεῖ,

(342) συμφοράν) Schol. in C. ἤγουν τὸν Ἀλέξανδρον ἀπὸ Παρίου. Displicet duplex quidem articulus; sed ita v. 357: τὰ δύσδωρα τὰ δῶρα. Cf. v. 300.

(343) Sch. in C: ὁπότε εἰσήχθη Ἀλέξανδρος ἀπὸ Παρίου ἐν τῇ Τροίᾳ. A, δευτέρῃ. In Exegesi loco laudato non minus indubitanter mensis et dies significantur a Tzetza homine diligentissimo, accuratissimo, memorata etiam synonymia τοῦ ξανθικοῦ ἀπριλλίου μηνὸς, ac δεστίου ὃς νῦν ἐπιχωρίως ἰούνιος λέγεται. Burgessius qui dierum notationem non descripsit, sed cum admiratione memorat, lapsu, puto, calami aprilis die 21 ait Paridem rediisse Trojam. Et Hodius Appendice ad Malalæ pag. 16, unde tantam eruditionem hausit Tzetzes, quem ipse in codice Oxoniensi legebat, stupet ad incredibem illam in diebus notandis diligentiam et exclamat: « Præcise! si superis placet ».

(345) C, χοροί. A, θεοί. Scripsi θέαι.

(346) Schol. in C: μεθ' ὁπόσον καιρὸν τῆς αὐτοῦ εἰσελεύσεως ἀπεστάλη παρὰ τοῦ πατρὸς εἰς Ἑλλάδα, θῦσαι μέλλων Δαφναίῳ Ἀπόλλωνι. Tzetzes Exegesi l. l.: ὀγδόῃ δὲ πρὸς ταῖς δέκα τοῦ δεστίου μηνὸς, ὃς νῦν ἐπιχωρίως ἰούνιος λέγεται καὶ ἐς Ἑλλάδα. Corrigendum videtur δεσίου vel δαισίου.

(65) Schol. in C et in Anecd. Oxon. t. 3, p. 379 : ἀποτροπιασμοῖς καὶ ἐπῳδαῖς ἠδύναντο οἱ μάγοι καὶ λοιμικὰ καὶ ἕτερα μετατρέπειν νοσήματα, ὡς Ὀρφεὺς γράφων παραδεικνύει. Πυθαγόρας τε καὶ Ἐμπεδοκλῆς πολλὰ τοιαῦτα μετατρέψαντες καὶ αὐτοί (cod. αὐτή). Ὥσπερ καὶ ἐν τοῖς (cod. τῆς) Ἀντιόχου χρόνοις ἐν Ἀντιοχείᾳ (C et Cram. ἀντιοχία) ὁ Λαΐϊος νόσημα λοιμικὸν ἐξελάσας· οὗ καὶ αὐτὸς ἐγὼ ἐν Ἐπιταφίῳ ἐμνήσθην εἰπών. « Οὐκ « ἦν σοφιστὴς ἱκανός τις ἐν λόγοις, « Οὐκ ἦν τελεσθεὶς μυστικῶν τελε« σμάτων, Ὡς ἄκος εὑρεῖν μυστικωτά« ταις τέχναις Εἰς ἐξέλασιν λοιμικῶν « τοξευμάτων, Ὡς πρὶν Λαΐϊος ἐν χρό« νοις Ἀντιόχου, Χαρώνιον πρόσωπον « ἐγγλύψας πέτραις. » Τοιαῦτα πολλὰ καὶ Ἀπολλώνιος ὁ Τυανεὺς ἐν ἐπῳδαῖς ἀνέπαυσεν ἐν τοῖς Δομιτιανοῦ χρόνοις ὑπάρχων. Orphei locum ipse Tzetzes recitat Exegesi p. 92, sumtum e Lithicis v. 48-53. De Laïo vide L. Dindorfium, in Thesauro Græco. Codex πέτρας, pro quo scripsi πέτραις, sequutus Tzetzam ipsum, tres ultimos Epitaphii versiculos prosæ suæ immiscens Exegesi p. 93. De Apollonii Tyanensis incantamentis ac telesmatis multa refert Malalas p. 342, multa Tzetzes chil. 2, Hist. 60 ; et inferius libro Ἰῶτα, 89.

(72) B C, παντός σου.

Ὁ δὲ φησὶ καὶ πρὸς αὐτὸν οὕτω τὸν Ἀχιλέα·
« Ἐγὼ μὲν ἕτοιμος εἰμὶ τὴν Χρυσηίδα πέμπειν,
« τὴν Βρισηίδα δὲ τὴν σὴν αἰχμάλωτον λαμβάνω. »
Τούτων ἀκούσας Ἀχιλεὺς τῶν λόγων ἐθυμώθη,
διπλᾶ δὲ λογιζόμενος ὑπῆρχε τῇ καρδίᾳ,
ἢ ξίφος ἑλκυσάμενος κτεῖναι τὸν βασιλέα,
ἢ καταπαῦσαι τὴν ὀργήν, ὥσπερ ἀνὴρ ἐχέφρων.
Ἐν τούτοις ὄντος τοῦ ἀνδρὸς τοῖς λογισμοῖς, ὡς εἶπον,
ἤγουν ὀργῆς καὶ λογισμοῦ μέσον καθεστηκότος,
καὶ τῆς ὀργῆς ὡς πρὸς σφαγὰς τὸν ἥρωα κινούσης,
τοῦ λογισμοῦ δὲ θέλοντος παύειν θυμοῦ τὸ ζέον,
παρὰ τῆς Ἥρας Ἀθηνᾶ ἐξ οὐρανοῦ ἐπέμφθη,
ἐκ τῆς ψυχῆς ἡ φρόνησις, ἐκ κεφαλῆς ἐλθοῦσα,
ἥτις ἐστὶ σφαιροειδὴς εἰς οὐρανοῦ τὸ σχῆμα·
ἔπεισε τοῦτον παῦσαι μὲν τὸ ξίφος καθελκύειν·
λόγοις λοιδόροις δὲ πολλοῖς πλύνει τὸν βασιλέα

(75) Quum conjunctio καὶ vim non habeat magnam hic loci, suspicor scripsisse Tzetzam ipsum ὡς πρὸς αὐτόν. Est formula ὡς πρὸς valde frequens in Tzetzæ versibus. Exempla sunt in Proleg. 648, 850, 963, 966, 988, etc.; in hoc primo libro v. 84, 120, 296, 310, etc.; multa deinceps occurrent; multa etiam in Chiliadibus. Ac quandoque variatur inter ὡς et καί, quod monstrabunt notæ ad librum Γ, 136, 157; Δ, 73; Ε, 43; Ζ, 34, 64; Η, 103, 112, 140; Θ, 88, 177, 193; Ι, 91, 109; Λ, 48, 52, 54, 82, 158; Μ, 35, 51; Ξ, 27; Ο, 105, 158, 162; Π, 88, 394; Ρ, 88; Σ, 78, 287, 316, 439; Ω, 69, 146, 188.

(84) Non est in B.

(88) Zacharias Mitylenæus, De immort. animi p. 121 : τελειότατον σχημάτων τὸ σφαιρικὸν εἶναι γεωμετρία φησίν... τούτου δὲ τόνδε τὸν κόσμον μεταλαγχάνειν ἡ ὄψις δείκνυσιν. Ibi mea nota. Athenagoras Legat. § 16 : καλὸς μὲν ὁ κόσμος... καὶ τῷ σχήματι σφαιρικῷ ὄντι.

(90) B, πλύνει. Præstat quidem πλῦναι ob symmetriam, παῦσαι μέν, πλῦναι δέ· sed non valde placet φρόνησις malesuada, φρόνησις quæ Achilli persuadet ut regem regum, exercitusque ducem procacissimis insectetur conviciis. Redit πλύνειν libro Γ, 15. Gregorius Laudatione Bessarionis in meis Anecdotis Gr. t. 5, p. 454 : βάλλων αὐτὸν ἀφειδῶς τοῖς ὀνείδεσι καὶ ταῖς ἐκ τοῦ Κότυος πλύνων λοιδορίαις. Vide Brodæum Misc. 4, 32; Reiff. ad Artemid. 2, 4. Ipse nonnulla apposui ad Anecd. l. l., ubi et contuli vernaculam humilemque dicendi formulam « laver la tête à quelqu'un. » Voltarius : « on lavera la tête au président; « je lui parlerai, je lui parlerai et du bon « ton. » Et Filio prodigo : « Lavons la « tête à ce large visage. » Rursus Sequestro : « Oh! je vais de ce pas laver sa « tête ainsi. » Destuchius : « Oh parbleu!

καὶ τέλος ἐξωμόσατο μὴ συμμαχεῖν ἐκείνῳ,
μηδὲ βοήθειάν τινα τοῖς Ἕλλησι παρέχειν.
Ἐκ τοῦ ἑτέρου μέρους δὲ πάλιν τοῦ βασιλέως
ὀργιζομένου χαλεπῶς καὶ μηνιῶντος ἄγαν,
ὁ Νέστωρ ὁ τῆς Χλώριδος υἱὸς καὶ τοῦ Νηλέως,
κατά τινας ἑτέρους δὲ Νηλέως, Πολυμήδης,
τριγέρων ὢν καὶ βασιλεὺς Πυλίων γλυκυλόγος,
ὡς πρὸς σύμβασεις ἔσπευδε συναγαγεῖν τοὺς δύο,
τὸν βασιλέα παραινῶν ἱκετικοῖς ἐν λόγοις
καταλιπεῖν τῷ Ἀχιλεῖ κεκτῆσθαι Βρισηΐδα,
πύργον τὸν ἄνδρα τοῦ στρατοῦ λέγων Ἑλλήνων εἶναι,
τὸν δ' Ἀχιλέα νουθετῶν παύειν τὰς αὐθαδείας,
τῷ βασιλεῖ δὲ μηδαμῶς ἐθέλειν ἀντερίζειν,
λέγων πρὸς τοῦτον· « Ὁ κρατῶν ἐκ τοῦ Διὸς τὸ σκῆπτρον
« οὐκ ἔστι σοι ὁμότιμος, ὦ Ἀχιλεῦ, οὐκ ἔστιν·
« εἰ ῥωμαλέος ἔφυς δὲ καὶ παῖς θεᾶς ὑπάρχεις,
« τοῦτ' ἔστιν ἔχεις ἀρετὴν τὴν πρακτικὴν ἐν μάχαις,
« ἀλλ' οὗτος κρείσσων σοῦ πολύ· πολλῶν γὰρ βασιλεύει. »
Οὕτω τοῦ Νέστορος αὐτοὺς ἄγοντος πρὸς συμβάσεις,
ἀσύμβατοι διέμειναν. Ἐκστάντες δ' ἀπ' ἀλλήλων,
ἦλθεν αὐτῶν ἑκάτερος σκηνώμασιν ἰδίοις.

« ma princesse, Je m'en vais vous laver la « tête comme il faut. » Hamiltonem, qui, ex Hibernia oriundus, gallice tamen scripsit summa cum elegantia, memini alicubi in Memoriis Grammontianis illo uti idiotismo.

(92) Abest ab A C.

(97) B, γλυκολόγος. Cf. Proleg. 676.

(98) A, σύμβασιν. C, συμβάσεις, superscripto εἰρήνη. B, εἰρήνην. Cfcratur v. 109.

(99) Conf. Proleg. n. 407.

(101) Conf. Prol. n. 682.

(102) B, τῆς ἀναιδείας. C, τῆς αὐθ.

(104) Διός, Glossa in C, τῆς εἱμαρμένης. Cf. liber B, 18 83; Γ, 134.

(106) Schol. in C : τί δηλοῖ (periit nonnihil sub cultro bibliopegi, τί fortasse, quod addidi,) τὸ θεᾶς παῖς ὑπάρχεις; ὅτι τὴν πρακτικὴν ἔχεις ἀρετήν. Ὁπόσοι γὰρ ἥρωες, ἤγουν ἀρέτην ἔχοντες ἄνδρες ἡμίθεοι, τεθνήκασι μὲν τοῖς σώμασι, ζῶσι δὲ ταῖς ἀρεταῖς, τὴν πρακτικὴν μὲν ἔχοντες ἀρετήν, ἤγουν τὴν (addo τὴν, resectum ut videtur) διὰ χειρῶν, θεαινῶν παῖδες λέγονται· εἰ δὲ τὴν θεωρητικὴν ἔχουσιν ἀρετήν, ἤγουν τὴν διὰ λογισμοῦ καὶ (addo καὶ) φρονήσεως, θεοὺς ἔχειν πατέρας λέγονται (cod. λέγοντες).

(111) Glossa superscripta in C, σκηναῖς

Ὁ Ἀγαμέμνων μὲν εὐθὺς πέμπει τὴν Χρυσηΐδα
πρὸς τὸν πατέρα τὸν αὐτῆς σὺν δώροις καὶ θυσίαις,
τοῦ Ὀδυσσέως σὺν νηῒ κομίζοντος ἐκείνην·
αὐτὸς δὲ, τὸν Ταλθύβιον καὶ Εὐρυβάτην πέμψας,
τὸ Ἀχιλέως ἔλαβε γέρας τὴν Βρισηΐδα.
Ὁ δ' Ἀχιλεὺς, ὑπέραντλος γενόμενος ἐκ λύπης,
εὐθέως πάντων χωρισθεὶς τῶν φίλων, τῶν οἰκείων,
ἐλθὼν παρὰ τὴν θάλασσαν ἐκάθητο δακρύων,
βλέπων ὡς πρὸς τὸ πέλαγος, καὶ τῇ μητρὶ προσλέγων,
τῇ τοῦ Νηρέως, Θέτιδι δῆθε τῇ Νηρηΐδι·
« Μῆτερ, ἐπεί με ἔτεκες ὄντα τῶν βραχυβίων,
« ὁ Ζεὺς ὀφείλων μοι τιμὴν ὑπῆρχε διὰ τοῦτο·
« νῦν δὲ καὶ βραχυχρόνιος καὶ ἄτιμος ὑπάρχω·
« ὁ Ἀγαμέμνων γὰρ αὐτὸς ἔλαβε τὴν τιμήν μου,
« τὴν κόρην τὴν αἰχμάλωτον ἣν εἶχον Βρισηΐδα. »
Οὕτως αὐτοῦ δακρύοντος, ἀνέδραμεν ἡ Θέτις
ἐκ τῆς θαλάσσης τοῦ βυθοῦ, καθάπερ ἡ ὁμίχλη,
χειρί τε ὁμαλίσασα, ἠρώτα τὴν αἰτίαν.
Ὁ δὲ τὰ σύμπαντα λεπτῶς ἐκείνῃ διηγεῖται
μέχρι τῆς ἀφαιρέσεως τῆς κόρης Βρισηΐδος,
καὶ ἱκετεύει ἀνελθεῖν εἰς οὐρανὸν πρὸς Δία,
καὶ ἱκετεῦσαι βοηθὸν τοῖς Τρώεσσι γενέσθαι,
τοὺς Ἕλληνας συγκλεῖσαι δὲ καὶ τρέπειν πρὸς τὰ πλοῖα
φονευομένους ὑπ' αὐτῶν τῶν Τρώων ἐν τῇ μάχῃ,
« εἴ ποτε Δία ἔσωσας μέλλοντα δεσμηθῆναι

(112) A C, δὲ εὐθύς.
(115) A, εὐθὺς δέ.
(116) A, δῶρον. Cf. v. 125.
(117) A, ὑπέραλγος.
(121) B, νηρέως. A B, δῆθεν. C, δῆθε. Conf. n. ad. v. 8.
(122) B C, βραχυχρόνων. A, βραχυβίων. In loco suspecto Chil. I, 941, Codex C mutilus est.
(129) B, ὁμιλήσασα. Verbo ὁμαλίζειν Tzetzes reddit Homericum Il. I, 361, κατέρεξεν. Conf. v. 217.
(134) A, βλέπειν πρός. Cf. Il. 1, 409.
(136) A, ὁπότε. A C, ἔσωσε. B, ἔσω-

« ἐκ Ποσειδῶνος, Ἀθηνᾶς, καὶ σὺν αὐτοῖς ἐξ Ἥρας. »
Ἡ Θέτις δ' εἶπε πρὸς αὐτὸν πάλιν τὸν Ἀχιλέα·
« Ὁ Ζεὺς παρὰ Αἰθίοπας νῦν πότοις δεξιοῦται,
« μετὰ δ' ἡμέρας δώδεκα ἐλεύσεται Ὀλύμπῳ·
« κἀγὼ δὲ τότε πρὸς αὐτὸν εἰς Ὄλυμπον ἀνέλθω,
« καὶ παρακλήσεσιν αὐτὸν, δοκεῖ μοι, καταπείσω. »
Τοιαῦτα μὲν ὑπέσχετο τῷ Ἀχιλεῖ ἡ Θέτις.
Καὶ δὴ Διὸς εἰς Ὄλυμπον ἐλθόντος δωδεκάτῃ
καὶ σὺν αὐτῷ καὶ τῶν θεῶν, ἀνῆλθε καὶ ἡ Θέτις,
καὶ τῇ σκαιᾷ μὲν ἥψατο γονάτων τῶν ἐκείνου,
τῇ δεξιᾷ γενείου δὲ, τοῦ καὶ ἀνθερεῶνος,
παρακαλοῦσα τὸν υἱὸν τιμῆσαι Ἀχιλέα.
Οὗτος δ' ἐσίγα, μὴ λαλῶν τῇ Θέτιδι μηδόλως.
Ὡς δ' ἠνωχλεῖτο, στεναγμὸν ἐξέπεμψεν ἐκ βάθους
ἐκείνην προτρεψάμενος πάλιν ἀποδημῆσαι,
τῇ κεφαλῇ δ' ἐπένευσεν ἐκείνῃ βοηθῆσαι.
Καὶ ἡ μὲν Θέτις πρὸς αὐτὴν τὴν θάλασσαν κατῆλθεν·
ὁ Ζεὺς δὲ πρὸς τὸν ἴδιον οἶκον εἰσῆλθε τότε,
πάντες δ' ἀνέστησαν θεοὶ ἐκ τῶν καθιδρυμάτων.
Ἡ δ' Ἥρα ὀργιλώτερον πρὸς Δία διετέθη
ὅτι συνδιελέγετο Θέτιδι τῇ Νηρέως·
τούτου δὲ τὸ ἐμβρίμημα μεγάλως πτοηθεῖσα
ἐκάθισε περίφοβος, ἀμέτρως λυπουμένη,
καὶ πάντες ἀνεστέναξαν θεοὶ οἱ οὐρανίδαι.
Ὁ παντεργάτης δ' Ἥφαιστος παρηγορῶν τὴν Ἥραν

σας. Quod visum est narrationem facere vividiorem. A. δεσμευθῆναι. B C, δεσμηθῆναι. Verbo δεσμέω nonnunquam Tzetzes utitur.

(139) A B C, περί. Scripsi παρά. A, τοὺς Αἰθ. Vid. p. 46. 784.

(142) A, καταπείσαι.

(147) A, καὶ τοῦ ἀνθ.

(153) B, κατῆλθε.

(156) B C, ἡ ἤρα δ'. B, ὀλιγώτερον.

(158) A, εὐρίμημα. B, non potest legi. C, ἐμβρ'μημα.

διπλοειδὲς ποτήριον ἐδίδου συγκεράσας,
καὶ πρὸς αὐτὴν ἃ πέπονθεν ἐκ τοῦ Διὸς ἐλάλει,
εἰπὼν πῶς ἔρριψεν αὐτὸν ἐξ οὐρανοῦ πρὸς Λῆμνον,
καὶ πῶς αὐτὸν οἱ Σίντιες ἀνέλαβον πεσόντα.
Οὕτως Ἡφαίστου λέγοντος ἐγέλασεν ἡ Ἥρα,
καὶ τὸν ποτῆρα δέχεται χειρὸς ἐξ Ἡφαιστείας.
Ὁ δὲ καὶ πᾶσι τοῖς θεοῖς ἐκίρνα κατ' ἀξίαν,
οἱ καὶ πολὺν ἀνήγειραν δι' Ἥφαιστον τὸν γέλων.
Οὕτω πανημερίως μὲν ἐδαίνυντο τῷ τότε,
τέρποντος τοῦ Ἀπόλλωνος ἐκείνους τῇ κιθάρᾳ,
καὶ τῶν Μουσῶν τραγῳδουσῶν φωναῖς ἐν γλυκυτάταις.
Ἑσπέρᾳ δ' ἕκαστος αὐτῶν ἦλθε πρὸς τὴν οἰκίαν,
ἥνπερ ἑκάστῳ Ἥφαιστος ἐποίησεν ἐντέχνως.
Ζεὺς δ' ὁ ποιῶν τὰς ἀστραπὰς ἦλθεν αὐτοῦ τῇ κλίνῃ,
ἔνθα πεσὼν ἀφύπνωσε μικρὸν μετὰ τῆς Ἥρας.
Ταῦτα μὲν εἶπον μυθικῶς ὡς κεῖνται τῷ κειμένῳ·
τὸ δ' ἀληθὲς νῦν μάνθανε καὶ τὴν ἀλληγορίαν.
Ὁ Ἀχιλεύς, ὡς εἶπον πρίν, υἱὸς ἦν τοῦ Πηλέως
καὶ Θέτιδος τῆς θυγατρὸς Χείρωνος φιλοσόφου·

(162) Διπλοειδὲς ποτήριον reddit Homericum δέπας ἀμφικύπελλον. Il. 1, 584. Cf. v. 327.

(163) A, πρὸς τ. Διός.

(164) A, εἰς Λῆμνον.

(167) B, ἡφαιστίου. Non displiceret Ἡφαιστείου, quod formas masculinas adjectivorum Tzetzes usurpet sæpius.

(169) A, διήγειραν. B C, ἀνήγ.

(170) C, πανυμερίως.

(172) Τραγῳδουσῶν, « canentium ». Verbo τραγουδῶ fere semper utuntur recentiores ἀντὶ τοῦ ᾄδω veterum, et nomine τραγούδιον, τραγοῦδι ἀντὶ τοῦ ᾆσμα, atque etiam τῷ τραγῳδία. Infra v. 326, 352, Μουσῶν τραγῳδία. Respicitur utroque versu locus Il. 1, 602 : οὐδέ τι θυμὸς ἐδεύετο... φόρμιγγος περικαλλέος ἣν ἔχ' Ἀπόλλων, Μουσάων θ' αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ. De hoc sensu monuit Corayus ad Isocratem. Christopulus : καί μ' ηὗρε 'ποῦ τραγουδοῦσα, « et me reperit qui cantabam. » Scholiastes Oppiani Cyn. I, 1, ἀείδω vertit τραγῳδῶ. Hinc ὑποτραγῳδῶ. Theodorus Amaranto in Notitiis mann. t. 8, p. 125, recepta optima codicis H. Stephani lectione, quam miror non fuisse a Dutheilio receptam : ἐγὼ δέ τι Ἀνακρέοντος μούσης ὡς ἐν κατευναστικοῦ μοίρᾳ ὑποτραγῳδήσω τῇ ἑορτῇ.

(173) A B, ἦλθεν εἰς.

(174) A B, ἐν τέχναις.

(175) C, κοίτῃ.

(179) Cf. Proleg. 425, 443, et notæ.

ὃς Χείρων ὁ φιλόσοφος, πάππος τοῦ Ἀχιλέως,
ἐκ λεκανομαντείας τε καὶ σκέψεως ἀστέρων
τὰ μέλλοντα συμβήσεσθαι τῷ Ἀχιλεῖ προεῖπε.
Καὶ Θέτις μὲν ἡ Χείρωνος, μήτηρ τοῦ Ἀχιλέως,
καὶ Θέτις δὲ ἡ θάλασσα τοῦ Ἀχιλέως μήτηρ
διὰ τὸ ἄγριον αὐτοῦ καὶ θυμικὸν καλεῖται·
καὶ ὅτι, τὸ γενέθλιον ἔχων ἐν ὑδροχόῳ,
ἐν ταῖς παρύγροις μάχαις τε καὶ ταῖς διαποντίοις
καὶ τοῖς χειμῶνος δὲ καιροῖς μεγάλως συνηργεῖτο·
καὶ ὅτι ἐκ τοῦ ὕδατος καὶ λεκανομαντείας,
ὡς ἐκ μητρός, ἐμάνθανε τὰ μέλλοντα γενέσθαι·
καὶ ὅτι μετὰ θάνατον αὐτοῦ τοῦ Ἀχιλέως
νεκροῦ τούτου τοῦ σώματος εἰσέτι προκειμένου,
ἡ θάλασσα, ταράξασα κῦμα φρικτὸν καὶ μέγα,
ἐξῆλθε μέχρι τοῦ νεκροῦ περὶ Σιγείου τόπον,
ὡς πᾶν τὸ στράτευμα φυγεῖν κατακλυσμὸν δοκοῦντας·
ἡ δέ, θρηνῶδες γοερὸν ὥσπερ ἐκμυκωμένη
πάλιν εἰς κοίτην τὴν αὐτῆς εὐθέως ὑπεστράφη·
ὅπερ καὶ θρῆνον Θέτιδος φησὶ καὶ Νηρηΐδων·
καὶ ὅτι κατὰ Ὅμηρον πρῶτον στοιχεῖον ὕδωρ,

(182) C, λεκανομαντίας e correctione; olim τείας. Cf. ad P, 83.

(185) Hic locus repetitur libro Σ, 45, sqq., paucis mutatis.

(188) AB, πανύγροις. C, παρύγροις hic et Σ, 55. Quod prætuli, quum videatur astrologis placuisse. Adeat lector Thesaurum Græcum, unde disco in Manethone fuisse πάνυγρος pro πάρυγρος rescriptum, fortasse citra necessitatem.

(193) C, τοῦ τούτου.

(195) B, τόπου. De re Philostratus, Her. p. 738; Tzetzes Posthom. 450, et n. Jacobsii.

(196) Φυγεῖν] Cf. Homerus Od. 24, 49, 57.

(197) A, μυκησαμένη.

(199) Homerus scilicet φησί. Non tamen in narratione Odyss. 24, 47 seqq. ipsum reperitur nomen θρῆνος. Ceterum apte recensuit Tzetzes Thetidis dolorem ac luctum in funere Achillis inter argumenta quæ ipsam herois fuisse matrem confirmarent. Καὶ τότε μάλιστα, Philostratus ait l. l., καὶ Ἀχαιοὶ ξυνῆκαν ὅτι τέκοι τὸν Ἀχιλλέα ἡ Θέτις, οὐδὲ ἄλλως ἀπιστοῦντες.

(200) Plato Theæteto 525: Ὅμηρος ὃς εἰπὼν [Il. 14, 201]: « Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθὺν », πάντα εἴρηκεν ἔκγονα ῥοῆς τε καὶ κινήσεως. Vide Heyn. ad Hom.

ἐκ τούτου δὲ καὶ τὰ λοιπὰ γενέθλια στοιχεῖα.
Κατὰ τοσούτους λέγεται ἡ θάλασσα τοὺς τρόπους
μήτηρ εἶναι τοῦ ἥρωος ἐκείνου Ἀχιλέως.
Ὡς οὖν ἐξ Ἀγαμέμνονος τὴν κόρην ἀφῃρέθη,
ἔνδακρυς πρὸς γενέθλιον ὕδωρ θαλάσσης βλέπων,
αὐτὸς ἐλάλει πρὸς αὐτόν· « Ποῦ μοι τὰ τῆς μαντείας,
« ἅπερ ὁ Χείρων ἔλεγεν ὁ πάππος μοι γενέσθαι,
« ἐκ τῆς παρύδρου μαντικῆς καὶ λεκανομαντείας;
« ἰδοὺ καὶ βραχυχρόνιος καὶ ἄτιμος ὑπάρχω.
« Ὁ Ἀγαμέμνων γὰρ λαβὼν ἔχει τὴν Βρισηΐδα.
« Ποῦ τοῦ Διός μοι ἡ τιμή »; ἤτοι τῆς εἱμαρμένης.
Τῆς ὁμιχλώδους Θέτιδος τὰς ἀνελεύσεις μάθε.
Περίλυπος καὶ ἔνδακρυς καθήμενος ὁ ἥρως,
καὶ ταῦτα λογιζόμενος περὶ αὐτοῦ φρονίμως,
ἀναθυμίασιν ὁρᾷ θαλάσσης ὁμιχλώδη
περὶ ὀρῶν τοὺς πρόποδας, προλέγουσαν χειμῶνα·
ὅπερ ὁμάλισις ἐστὶ χειρὸς πρακτικωτάτη,
καὶ μήτηρ τούτου ὁ χειμὼν λυσιτελῶν ἐκείνῳ·
ἡ γὰρ ἡμέρα πέφυκε καὶ μητρυιὰ καὶ μήτηρ,
τοῖς δυστυχοῦσι μητρυιά, τοῖς δ' εὐτυχοῦσι μήτηρ.
Ἰδὼν οὖν τὸ κατάστημα τὸ ὁμιχλῶδες τότε,
πρὸς ἑαυτὸν τὰ σύμπαντα λέγων τὰ πεπραγμένα,
εἰς τοῦτο τὸ χειμέριον κατάστημα ὁμίχλης
εὔχεται τὸν οὐράνιον ἀέρα μεταβῆναι,
ὅπως κακῶς οἱ Ἕλληνες πάσχοντες ἐκ τῶν Τρώων
εἰς παρακλήσεις ἔλθωσι τοῦ ἥρωος ἐκείνου.

(206) B C, αὐτόν. A, αὑτόν.
(208) B C, παρ' ὕδωρ μαντ. Cf. 188.
(213) B, περίδακρυς superscripto ἐν, περίλυπος. A, γενόμενος.
(214) A B C, αὐτοῦ.
(215) B, ὀμιχλ. et sic 212, et passim. Sed spiritus tenuitas est Ionica, non habet nunc locum. Respicitur versus de Thetide, Il. 1, 359 : Καρπαλίμως δ' ἀνέδυ πολιῆς ἁλὸς, ἠΰτ' ὀμίχλη.
(216) B, περιορῶν.
(217) Conf. hujus libri n. 129.

Ἡ δὲ Διὸς βοήθεια ἐκ Θέτιδος ὑπάρχει,
ὅτε τοῦτον ἐξέσωσε τῶν ἐπιβουλευόντων·
ὅπερ ἠλληγορήσαμεν ἐν κρίσει τῇ τοῦ μήλου,
ὅτι μετὰ διάρθρωσιν ἀέρος ἐκ τοῦ χάους
παλιντροπία γέγονε καὶ σύγχυσις μεγάλη
Ἥρας, τοῦ καταστήματος, ὡς εἶπον, τοῦ πυρώδους,
τοῦ Ποσειδῶνος, τοῦ ὑγροῦ φημὶ καὶ τῶν ὑδάτων,
καὶ Ἀθηνᾶς, τοῦ ζοφεροῦ ἀέρος καὶ προσγείου;
ὑφ' ὥνπερ ἐκινδύνευε τὸ καθαρὸν ἀέρος,
τὸ χλιαρὸν καὶ ἔνυγρον καὶ κατηυκρατωμένον,
ὁ Ζεὺς αὐτὸς ὁ μυθικὸς, δεθῆναι καὶ κρυβῆναι,
εἰ μὴ τὸν ἑκατόγχειρον ἥλιον ἐκ θαλάσσης,
τὸν εἰς πολλὰς ὑπάρχοντα λυσιτελῆ τὰς πράξεις,
συνέβη σὺν ὑγρότητι φανῆναι θαλασσίᾳ,
τὰ μὲν ὑγρὰ καθαίροντα τῇ ζέσει τῇ πυρφόρῳ,
ὑγρότητι συμμέτρῳ δὲ κιρνῶντα τὸ φλογῶδες,
ὅπερ ἐκεῖ γοῦν ἔφημεν ὑπάρχειν Ἀφροδίτην
τὸ μῆλον σχοῦσαν ἔπαθλον, τὸν κόσμον τὸν ὡραῖον.
Νῦν τοῦτον Ἑκατόγχειρον Βριάρεών τε λέγει
Διὶ παρὰ τῆς Θέτιδος σύμμαχον ἀναχθέντα.
Ἐπεὶ δὲ σεπτεμβρίου μὲν ἦν ὀκτωκαιδεκάτη
ὅτε ταῦτα κατηύχετο ὁ Ἀχιλεὺς γενέσθαι,
κατὰ δὲ τὸν ὀκτώβριον ἔμελλε γεγονέναι
τὸ ὄμβριον κατάστημα καὶ ψύξις τοῦ ἀέρος,
ὁ Ὅμηρος, ὢν πάνσοφος ἐν τῷ τοὺς μύθους γράφειν,

(228) Conf. Il. 1, 402.
(229) C, ἀλληγορήσαμεν. Conf. Proleg. 291.
(231) B, σύγχ. καὶ ζάλη. Cf. Prol. 291.
(232) εἶπον, scilicet Proleg. 272, 273.
(234) Conf. Proleg. 271, 2.
(235) B, ἀφ' ὧν.
(241) A καθέλκοντα. B deletus.
(243) ἐκεῖ, scilicet Proleg 279.
(244) Conf. Proleg. 300.
(245) Il. 1, 402, 403.
(247) B, σεπτεβρίου, et sic infra.

καὶ περὶ ἀναβάσεως θέλων τοῦ Νείλου λέγειν,
ποιεῖ τὴν Θέτιν τὸ ὑγρὸν κατάστημα λαχοῦσαν·
ὁ Ζεὺς δὲ πρὸς τὴν Αἴγυπτον δαῖτα μεγάλην ἔχει,
ἤγουν ἀὴρ ὁ κάθυγρος ἔστιν ἐν τῇ Αἰγύπτῳ.
Ἔστι γὰρ ἡ ἀνάβασις τοῦ Νείλου Αἰγυπτίοις·
ἐκ τέλους ἰουλίου γὰρ δι' ὅλου σεπτεμβρίου
γίνεται ἡ ἀνάβασις, τῷ δ' ὀκτωβρίῳ λήγει,
καὶ γίνεται κατάστημα χειμέριον ἐνθάδε.
« Μετὰ δ' ἡμέρας δώδεκα ἐλεύσεται ἐνθάδε
« ὁ Ζεύς, » οἷόνπερ σὺ ποθεῖς ἀέρα τῶν ἐνύγρων,
ὅνπερ ἡ Θέτις, τὸ ὑγρόν, δύναται καταπείθειν.
Ἐξ ὀκτωκαιδεκάτης γὰρ μηνὸς τοῦ σεπτεμβρίου
ἡμέραι δώδεκα εἰσὶν εἰς πρώτην ὀκτωβρίου.
Ὡς γοῦν μετὰ τὰς δώδεκα, ἤγουν τῷ ὀκτωβρίῳ,
χειμέριον κατάστημα συνέβη γεγονέναι,
ὅπερ πρὸς Ὄλυμπον Διὸς ἔλευσιν ὀνομάζει
καὶ τῶν ἑτέρων τῶν θεῶν, ἤγουν λοιπῶν στοιχείων·
Οὗ γὰρ ἀὴρ ὁ ἔνυγρος καὶ κατηυκρατωμένος,
ἐκεῖ καὶ ὕδωρ τε καὶ πῦρ ἐστὶ καὶ γῆς τι μέρος.
Αἰὲν ἐόντα λέγων δὲ Ὅμηρος τὰ στοιχεῖα
τὸν κόσμον τοῦτον ἄφθαρτον φαίνεται δογματίζων.
Τοιούτου καταστήματος τῷ τότε γενομένου
ὅπερ Διὸς πρὸς Ὄλυμπον ἔλευσιν ὀνομάζει,
ἐκ τῆς θαλάσσης πρὸς αὐτὸν ἀνῆλθε καὶ ἡ Θέτις,
νέφος παχὺ καὶ ἔνυδρον, μεμεστωμένον ὄμβρου.
Καὶ τὸ μὲν λίαν πάχιστον καὶ τὸ βαρὺ τοῦ νέφους,

(253) A B, λαλοῦσαν.
(254) C, Z. νῦν. A, μεγάλην δαῖταν ἔχει. Cf. Il. 1, 424.
(260) Verba Thetidos post Homerum Il. 1, 425.
(265) A, τοῦ ὀκτωβρίου.
(271) Il. 1, 494: θεοὶ αἰὲν ἐόντες, Allegoristæ θεοὶ sunt στοιχεῖα. Cf. infra v. 307; liber B. 1.
(272) B, δογματίζων.
(275) Il. 1, 495.
(276) A, ἔνυγρον.

ὃ καὶ σκαιὰν τῆς Θέτιδος χεῖρα κατονομάζει,
τῶν κατωτάτων ἥπτετο μερῶν τῶν τοῦ ἀέρος,
ἅπερ αὐτὸς καὶ γόνατα Διὸς κατονομάζει·
τὸ δ' αὖ λεπτομερέστερον, χεὶρ ἡ δεξιωτάτη,
τῶν ἀνωτέρων ἥπτετο μερῶν τῶν τοῦ ἀέρος,
ἅπερ πανσόφως κέκληκε πάντως ἀνθερεῶνα·
ἐκεῖ γὰρ ἀναθρώσκοντα τὰ νέφη πνευματοῦται.
Ἀναξαγόρας δ' ἐκ τῆς γῆς λεγέτω τοὺς ἀνέμους,
Ὁμήρου προδιδάξαντος πρὸ τοῦ Ἀναξαγόρου,
πρό γε τετρακοσίων τε τῶν χρόνων καὶ πλειόνων,
τὸ ὑλικὸν μὲν αἴτιον γίνεσθαι τῶν πνευμάτων
ἐκ γῆς τε καὶ τοῦ ὕδατος, ὥσπερ Ἀναξαγόρας·
τὸ τελικὸν καὶ πρακτικὸν πάλιν τοῖς ἄνω τόποις
ὡς νῦν διδάσκει συνετῶς μύθους δοκῶν συγγράφειν.
Τοιούτου νέφους πανταχοῦ τῷ τότε συναχθέντος
συνέβη πάντα ζοφερὸν ὑπάρχειν τὸν ἀέρα
ἄλυτον, ὅπερ καὶ σιγὴν Διὸς κατονομάζει.
Ὁ στεναγμὸς δὲ τοῦ Διός, ἡ κίνησις ὀφρύων,
ἡ Θέτιδος κατέλευσις ὡς πρὸς θαλάσσης τόπους,
Ἥρας τὸ φιλονείκημα, ἡ κέρασις Ἡφαίστου,
μέχρι τοῦ τέλους ἔχουσι τοιάνδ' ἀλληγορίαν.

(278) A, συμβὰν pro σκαιάν. De σκαιᾷ Thetidos et dextra cf. Il. 1,501.
(279) B, κατωτάτω.
(280) A B, ὅπερ. Ad γόνατα Cf. 1,500.
(282) B, ἀνωτέρω.
(283) κέκληκε Il. 1,501. B, ἀνθερεῶνας.
(284) A B, πνευματοῦνται.
(285) Dicebat Anaxagoras, teste Diogene Laertio 2, 9. ἀνέμους γενέσθαι λεπτυνομένου τοῦ ἀέρος ὑπὸ τοῦ ἡλίου.
(286) C, προσδ. A, προδιδάξαντος.
(293) A, γενέσθαι.
(294) A, ὅνπερ. Respicitur Homerus Il. 1, 511 : τὴν δ' οὔτι προσέφη νεφεληγερέτα Ζεύς, Ἀλλ' ἀκέων δὴν ἧστο.
(295) Respicitur nomine στεναγμὸς ad Il. 1, 517 : Τὴν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζευς. Κίνησις ὀφθαλμῶν indicat nobilissimum locum : Ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων.
(296) Il. 1, 531 : ἡ μὲν ἔπειτα Εἰς ἅλα ἆλτο βαθεῖαν.
(297) Il. 1, 537 : οὐδέ μιν Ἥρα Ἠγνοίησεν ἰδοῦσ'... De Vulcani κεράσει cf. ibid. v. 584.

Ὁ στεναγμὸς ὁ τοῦ Διὸς ἀνέμου δηλοῖ πνεῦμα
κινῆσαν τούτου τὰς ὀφρῦς, ἤγουν νεφῶν τὸ πάχος·
ἡ Θέτιδος κατέλευσις ὄμβρον δηλοῖ γενέσθαι,
ὅστις καὶ συγκατάνευσίς ἐστι τῆς βοηθείας·
ἡ τοῦ Διὸς δὲ ἔλευσις πρὸς οἶκον τὸν οἰκεῖον
τὸ πάλιν εἶναι καθ' αὑτὸν ὡς πρώην τὸν ἀέρα,
εἰς ὄμβρον ἐκλεπτύναντα τὸ πάχος τὸ τοῦ νέφους.
Ἡ τῶν θεῶν ἀνάστασις ἐκ τῶν καθιδρυμάτων
ἡ τῶν στοιχείων σύγχυσις καὶ τάραξις ὑπάρχει,
ἡ ἐκ τῆς συγκλονήσεως νεφῶν ἐγγινομένη
ἅπερ σφοδρότερον αἰθὴρ, ἡ Ἥρα, συνεκλόνει·
ὅπερ καὶ ἔχθρα λέγεται Ἥρας ὡς πρὸς τὸν Δία·
αὕτη καθαίρει γὰρ ἀεὶ τὸ κάθυγρον ἀέρος·
τὸ πτῆξαι δὲ καθίσασαν περίφοβον ἐκείνην
τὸ πάλιν τὸν ἀέρα δε νεφῶν συμπληρωθῆναι.
Ὁ στεναγμὸς δὲ τῶν θεῶν, κτύπος βροντῆς ὑπάρχει.
Εἰ γὰρ καὶ Δία λέγουσιν αἴτιον βροντημάτων,
ἀλλ' εἰ μὴ νέφος κάθυγρον, ἔχον ξηρὸν ἀέρα,
τῷ βάρει μὲν συμπέσειε πρὸς ἄλλο πάλιν νέφος,
τῷ δὲ ξηρῷ κροτήσειεν, οὐκ ἂν βροντὴ συσταίη·
ἀλλ' οὐδὲ σέλας ἀστραπῆς τὸ σύνολον φανείη,
εἰ μὴ τὸ πνεῦμα λεπτυνθὲν ἐκδράμῃ τῇ συντρίψει.
Ὁ παντεργάτης δ' Ἥφαιστος, πῦρ τὸ θερμὸν ἀέρος,
μεταποιῶν ἀπήρξατο τὸ νέφος ἐρυθραίνειν,

(300) B, κινῆσαι.
(303) Il. 1, 609 : Ζεὺς δὲ πρὸς ὃν λέχος ἤιε.
(305) B, ὡς ὄμβρον ἐκλεπτύνοντα... ἀέρος. A, ἐκλεπτύνοντα.
(306) Cf. Il. 1, 606.
(310) A, ἥπερ.
(311) A, αὐτή. B, αὕτη καθαίρει ἀήρ.
(312) Il. 1, 568 : ἔδδεισεν δὲ βοῶπις πότνια Ἥρη, Καί ῥ' ἀκέουσα καθῆστο.
(314) Il. 1, 570 : Ὤχθησαν δ' ἀνὰ δῶμα Διὸς θεοὶ οὐρανίωνες. A, βροντῶν ὑπάρχων.
(317) B, πάλιν πρὸς ἄλλο.
(318) A, κρατήσειεν. B, κοτήσειεν
(322) A, ἀπήρχετο.

ὅπερ τῆς Ἥρας λέγεται κρατὴρ παρηγορία·
ἡ παντελὴς δὲ κάθαρσις, ἡ κατηυκρατωμένη,
γέλως θεῶν καὶ τράπεζα, κρατὴρ καὶ πανδαισία,
καὶ μουσικὴ Ἀπόλλωνος, Μουσῶν τε τραγῳδία·
διπλοειδὲς ποτήριον νεφῶν ἡ ἐρυθρότης,
ἥτις ποτὲ μὲν ὄμβρους τε καὶ πνεύματα σημαίνει,
ποτὲ δὲ πάλιν γίνεται σημεῖον τῆς εὐδίας.
Βλέπε πῶς παίζων Ὅμηρος σπουδαῖα περιπλέκει,
θέλων καὶ περὶ ῥίψεως τῶν κεραυνῶν συγγράφειν,
ἐξ ὧν τὸ πῦρ ἐφεύρηται τοῖς πρότερον ἀνθρώποις
ἐν Λήμνῳ, κόσμῳ σύμπαντι οὗ μένουσιν οἱ ὄχλοι,
οὕσπερ καλεῖ καὶ Σίντιας τοὺς εὑρετὰς τοὺς πρώτους.
Εὑρόντες πᾶσαν τέχνην γὰρ ἐκ τοῦ πυρὸς ἐκεῖνοι
πάντα τὸν βίον ἔβλαψαν καὶ πάντας τοὺς ἀνθρώπους·
πρὸ γὰρ τεχνῶν οὐ πόλεμος, οὐ δοῦλος, οὐ δεσπότης,
ἀλλ' ἐλευθέρως ἅπαντες ἔζων ἐν ὁμονοίᾳ.
Ἄλλοι δὲ Σίντιας φασὶ καλεῖσθαι τοὺς Λημνίους,
ὡς πρώτους πρὸς τὸν πόλεμον εὑρόντας ὁπλουργίαν.
Τέως βλέπε τὸν Ὅμηρον πῶς παίζων καὶ σπουδάζει.
Θέλων γὰρ περὶ ῥίψεως τῶν κεραυνῶν συγγράφειν
πῶς ὂν τὸ πῦρ ἀνωφερὲς κάτω πρὸς γῆν ἐκρέει,

(323) Il. 1, 597 : Μειδήσασα δὲ παιδὸς ἐδέξατο χειρὶ κύπελλον.

(325) Il, 1, 599 : Ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν. Ad sequentia Il. 1, 602, 603, 604.

(326) De τραγῳδία n. 172, supra pag. 75.

(327) Ad διπλοειδὲς ποτήριον· Vide n. 162 hujus libri.

(328) Plinius H. N. 18, c. 78, 2: « Prædicit idem (sol) ventos, quum ante « exorientem eum nubes rubescunt..... « Quod si in exortu fiet ita ut rubescant « nubes, maxima ostendetur tempestas. »

(330) A, σπουδαίως παραπλέκει.

(331) B C, κεραυνῶν γὰρ γράφειν. A, συγγράφειν Cf. v. 342.

(333) Cf. v. 348.

(334) καλεῖ Σίντιας Il. 1, 594.

(335) B, τέχνην πᾶσαν.

(336-339) Ludit in nomine Σίντιες. Eustathius ad Il. : χαλκεῖς ἄνδρας ἤνεγκέ ποτε ἡ νῆσος, οἳ πρῶτοι χαλκευσάμενοι βέλη, διὰ τοῦτο Σίντιες ἐπεκλήθησαν, διὰ τὸ σίνεσθαι ἤτοι βλάπτειν τῇ εὑρέσει τῶν ὅπλων.—B, πάντως τὸν βίον. B, λημναίους, A, λημνείους.

(340) B, πρώτως

(341) A παίζει. B, σπουδάζει παίζων.

φέρει, τὸ πῦρ, τὸν Ἥφαιστον λέγοντα πρὸς τὴν Ἥραν·
« Πείθου, μὴ μάχου τῷ Διΐ· δύναται γὰρ μεγάλα·
« κἀμὲ γὰρ πρὶν βουλόμενον σοὶ συνεργῆσαι, μῆτερ,
« ἐν τῇ τοῦ κόσμου δηλαδὴ πρωτίστῃ διαρθρώσει,
« κάθυγρος ὢν ἀπέρριψεν πρὸς Λῆμνον, ἤγουν κόσμον,
« ἀπὸ πρωΐας τῶν καιρῶν μέχρι δυσμῶν ἡλίου,
« ἐξ οὗ τὸ πῦρ ἐφεύρηται, καὶ τέχναι τοῖς ἀνθρώποις. »
Τὸ κροῦμα νῦν τῆς μουσικῆς Ἀπόλλωνος μάθε
καὶ τραγῳδίαν τῶν Μουσῶν, μέχρι τοῦ τέλους πάντα.
Ὁ μὲν Ἀπόλλων, ἥλιος, ἀστὴρ εἷς τῶν πλανήτων,
Μοῦσαι δ' ἀστέρες οἱ λοιποὶ τῶν συμπλανήτων τούτου·
ἑπτὰ δ' εἰσὶν οἱ σύμπαντες, ὧνπερ αἱ κλήσεις αὗται·
Κρόνος πάντων ἀνώτερος, ὁ Ζεὺς δὲ δευτερεύων,
Ἄρης τρίτος, ὁ Ἥλιος τέταρτος μέσος πάντων,
ἡ Ἀφροδίτη καὶ Ἑρμῆς, ὑστέρα δ' ἡ Σελήνη.
Οὗτοι γοῦν, δίκην μουσικῆς ἀρίστης ἑπταχόρδου,
ἕκαστος σφαίραις ταῖς αὐτῶν κινούμενοι κροτοῦσι
μέλος τι λιγυρώτατον ἀρίστης ἁρμονίας,
καὶ μᾶλλον ἀνατέλλοντες, κατάρχοντος ἡλίου.
Τοῦτο γοῦν βούλεται εἰπεῖν ὁ Ὅμηρος ἐνθάδε,
ὅτι μετὰ τὴν ἔλευσιν τοῦ νέφους ἦν εὐδία

(344) B, φέρειν... λέγεται.
(345) Conf. Il. 1, 586. A B, μεγάλως.
(346) A, γὰρ πῦρ β. Quum jam sit modo πῦρ τὸν Ἥφαιστον, non necesse videtur iterum se πῦρ esse prædicare Vulcanum. Prætuli πρὶν ex B C.
(348) B, ἀπέρριπται. C, ἀπέρριπτε A, ἀπέρριψε, ut Il. I, 591 : ῥῖψε ποδὸς τεταγών. Jam Lemnum esse pro mundo dictum est v. 333.
(349) Il. 1, 592, loco parallelo : Πᾶν δ' ἦμαρ φερόμην, ἅμα δ' ἠελίῳ καταδύντι Κάππεσον ἐν Λήμνῳ.
(350) Iterum B πρὶν, non πῦρ. Sed cum adverbio πρὶν poscunt τέχναι plurale ἐφεύρηνται.
(352) De τραγῳδίᾳ « cantu » n. ad v. 172 hujus libri. A, παντὸς τοῦ τέλους.
(353) A, εἷς ἀστήρ.
(354) B, τούτων. A, τοῦτο.
(355) A, καὶ τῶνδε κλ. B.
(356) A B, δευτερεύει. De planetis cf. Tzetzes Exeg. p. 99.
(358) in C, ἑβδόμη super ὑστέρα. A, δὲ σελήνη.
(359) B, γάρ. A, δίκης. B, ἑπταχόρου.
(361) A, λιγυρώτερον.
(362) B, καταρχοντες.

εὐάρμοστός, ἀρκέσασα μέχρι δυσμῶν ἡλίου·
μετὰ τὴν νύκτα δ' ἕκαστον ἠρέμει τῶν στοιχείων,
οὗπερ αὐτοῖς ἐποίησε τὸ πῦρ τὰς κατοικίας,
ὁ παντεργάτης Ἥφαιστος πάντα ποιῶν καὶ τρέφων.
Τὸ πῦρ γάρ, κατὰ Ἕλληνας, ἐν τῇ κοσμογενείᾳ
ἑκάστῳ διενείματο τοὺς τόπους κατ' ἀξίαν·
τὸ ὕδωρ ἐκλεπτῦναν γὰρ ἐποίησεν ἀέρα·
τοῦτον λεπτῦναν πλέον δὲ ἐποίησεν αἰθέρα,
καὶ τοὺς ἀστέρας μετ' αὐτὸν πυρώδεις τὴν οὐσίαν.
Οὗτοι πάντες ἠρέμησαν ἐν τόποις τοῖς οἰκείοις,
καὶ Ζεὺς αὐτὸς ἠρέμησεν εὔδιος σὺν αἰθρίᾳ.

(366) A B, ἠρεμεῖ.

(368) Lemma in C : πῶς ὁ Ἥφαιστος παντεργάτης λέγεται. Æschylo Prom. 7, πῦρ dicitur πάντεχνος· 110, διδάσκαλος τέχνης πάσης, ibi interpretes ; 260, πῦρ ἔχουσ' ἐφήμεροι, Ἀφ' οὗγε πολλὰς ἐκμαθήσονται τέχνας. Solon Fragm. 5, 49 : Ἡφαίστου πολυτέχνεω Ἔργα δαείς. Plutarchus de inimicorum utilitate c. 2 : πῦρ... τέχνης ἁπάσης ὄργανόν ἐστι τοῖς χρῆσθαι μαθοῦσι. Philo de septenario § 7 : πῦρ ἀρχὴ καὶ σπέρμα τῶν περὶ βίον πραγματειῶν· ἐπειδήπερ ἄνευ πυρὸς οὐδέν ἐστι τῶν εἰς τὰς περὶ τὸ ζῆν ἀναγκαίας χρείας ἐργάσασθαι. Diodorus Sic. 1, 8 : γνωσθέντος τοῦ πυρὸς καὶ ἄλλων χρησίμων, κατὰ μικρὸν καὶ τὰς τέχνας εὑρεθῆναι, καὶ τἆλλα τὰ δυνάμενα τὸν κοινὸν βίον ὠφελῆσαι.

(370) B, δὲ ἐνείματο. Cf. Σ, 475.

(372) A, τοῦτο.

(373) A, αὐτῶν.

(375) A C, σὺν αἰθέρι.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Β (*).

Τοῦ Βῆτα ἡ ὑπόθεσις τὸν νοῦν ἔχει τοιόνδε.
Οἱ ἄλλοι πάντες μὲν θεοί, τὰ σύμπαντα στοιχεῖα,
ἐκάθευδον, ἡσύχαζον, ἦσαν ἠρεμηκότα·
ὁ Ζεύς, ἀήρ, δ' ἐφρόντιζε τιμῆσαι Ἀχιλέα.
Ὁ ὕπνος ἐξ αέρος γὰρ ὑγρότητος ὑπάρχει,
ἐξ ὕπνου δὲ οἱ ὄνειροι γίνονται τοῖς ἀνθρώποις·
ὁ ὄνειρος ἐδήλου δὲ τιμᾷν τὸν Ἀχιλέα.
Τῷ Ἀγαμέμνονι καὶ γὰρ ὄναρ ἐφάνη τόδε·
ἐδόκησε τὸν Νέστορα τῇ κλίνῃ παραστάντα
λέγειν· « Καθεύδεις, βασιλεῦ· οὐ πρέπει σοι καθεύδειν.
« Ἄκουσον λόγων τῶν ἐμῶν· τὰ τοῦ Διὸς ἀγγέλλω,
« τὰ εἱμαρμένα λέγω σοι, τὰ μέλλοντα συμβῆναι.
« Καθόπλισον τοὺς Ἀχαιοὺς πανστρατιᾷ τοὺς πάντας,
« δῆλον τὸ πᾶν σου στράτευμα μετὰ τοῦ Ἀχιλέως·
« νῦν γὰρ καιρὸς πορθῆσαι σε τὴν Τρωϊκὴν τὴν πόλιν.

(*) Lemma in A B: ὑπόθεσις τῆς Β Ὁμήρου ῥαψῳδίας. Et sic C in margine.
(1) A B, ἔχει τὸν νοῦν.
(2) Cf. n. ad librum A, 270.
(4) B, δ' ἀὴρ ἐφρόντισε. C, δ' ἀὴρ ἐφρόντιζε.
(5, 6, 7) C omisit in contextu, exhibet ad marginem et a prima manu, cum scholio, quod est et in Anecd. Oxon. t. 3 p. 379: σχῆμα κατ' ἄλλους μὲν κλιμακωτόν, κατὰ ἐμὲ δὲ κλίμαξ. Διαφέρει γὰρ κλίμαξ καὶ κλιμακωτόν, ὡς τρόπος (Codex τρόπον, Oxon. Anecdota, τροπή) καὶ τροπικόν, διήγημα καὶ διηγηματικόν. Τινὲς δὲ τὸ κλιμακωτὸν ἀτελῆ (Oxon. Anecdota, ἀτελῶς) κλίμακα ἐκάλεσαν.
(8) B, ὄναρ ἐδήλου τόδε. A, ὄναρ ἐφάνη τότε.
(11) A, ἄκουε ῥήματα ἐμοῦ παρὰ Διὸς σταλθέντος. Sequor B C, quorum lectio magis accedit ad Homerica Il. 2, 26: Νῦν δ' ἐμέθεν ξύνες ὦκα· Διός δέ τοι ἄγγελος εἰμί.
(13) B C, Ἕλληνας. Il. 2, 28: Θωρῆξαί σε κέλευσε καρηκομόωντας Ἀχαιοὺς Πανσυδίῃ.
(14) A, πᾶν σοι.
(15) A, πορθήσεσθαι.

« Ὁμοφρονοῦσιν οἱ θεοὶ τῆς Ἥρας παρακλήσει· »
τὰ πάντα κατηυκράτωται τῷ καθαρῷ ἀέρι·
« ἐκ τοῦ Διὸς δ' ἐπήρτηται τοῖς Τρώεσσιν ἡ βλάβη· »
τουτέστι βλάβη τοῖς Τρωσὶν ἐξ εἱμαρμένης ἔσται.
Τοῦτο τὸ ὄναρ ἅπασι τοῖς τῆς συγκλήτου λέγει
καὶ βούλεται τὸ στράτευμα πρὸς πόλεμον ὁπλίζειν·
θέλων δὲ γνῶναι τοῦ στρατοῦ καλῶς τὴν προθυμίαν
προλέγει πᾶσιν ἄρχουσι, τοῖς πρώτοις βουληφόροις·
« Ἐγὼ πειράζων τὸν στρατὸν ὑποχωρεῖν κελεύσω·
« ὑμεῖς δὲ λόγοις συνετοῖς τούτους μὴ παρεᾶτε. »
Ὁ Νέστωρ συναινέσας δὲ τοῖς βασιλέως λόγοις,
« Δεῦτε » φησίν, « ὁπλίσωμεν τὸ στράτευμα Ἑλλήνων. »
Καὶ πρῶτος ὥρμησεν ἐλθεῖν εἰς τὸν στρατὸν ἐκεῖνος,
καὶ μετ' αὐτὸν οἱ βασιλεῖς καὶ τῆς συγκλήτου πάντες·
καὶ μετ' αὐτοὺς καὶ τὸ κοινὸν ὁρμᾷ τῶν στρατευμάτων
ὡς βοτρυδὸν αἱ μέλισσαι χωροῦσι πρὸς τὰ ἄνθη.
Πλησίον τῆς θαλάσσης δὲ συνήγοντο τὰ πλήθη
μετὰ θορύβου καὶ κραυγῆς, ὡς μέλλοντες ἐκπλέειν.
Μόλις δ' ἐννέα κήρυκες κατέπαυσαν ἐκείνους,
καὶ Ἀγαμέμνων βασιλεὺς δημηγορῶν ἀνέστη,
ἐξ βασιλέων ταῖς χερσὶ σκῆπτρον αὐτοῦ κατέχων
ἐξ ὧν αὐτὸς ἐκέκτητο πάντως τὴν ῥιζουχίαν.
Ἐν τούτῳ στηριζόμενος λέγει πρὸς πάντας τάδε·

(18) A, δὲ πέπρωται, quod commode dictum est, quum sit Ζεὺς allegorice ἡ εἱμαρμένη, quod statim enunciatur. Cf. n. 104 ad librum A, et v. 211. Sed lectio ἐπήρτηται propior est Homerico versui Il. 2, 32: Τρώεσσι δὲ κήδε' ἐφῆπται Ἐκ Διός.

(24) A, κελεύω. Lectionem κελεύσω confirmat versus Iliadis 2, 74. φεύγειν κελεύσω.

(26) C, συνέσας.

(27) B, φασίν. A, B, στράτευμα τῶν ἑλλήνων. Lectio A C redibit v. 53, et libro Γ 18.

(31) B, χωροῦσιν εἰς. Il. 2. 89: Βοτρυδὸν δὲ πέτονται ἐπ' ἄνθεσιν εἰαρινοῖσιν.

(34) B, sine δ'. Novem præcones nominat Schol. Venetus Il. 2, 97.

(38) B, τόδε.

« Ὦ Ἕλληνες ἡμίθεοι, θεράποντες πολέμου,
« ἐπὶ ματαίᾳ ἤλθομεν ἐνταῦθα εἱμαρμένῃ·
« πλείους γὰρ ὄντες δεκαπλῶς παρὰ τῶν Τρώων πλῆθος
« ἐννέα ματαιάζομεν ἐν χρόνοις πολεμοῦντες.
« Πρὸς τὰς πατρίδας πλεύσωμεν, τὴν Τροίαν οὐ πορθοῦντες. »
Οὕτως εἰπόντος, ὥρμησε τὸ πλῆθος ἀποπλέειν,
εἰ μὴ κατεῖχεν Ὀδυσσεὺς φρονήσει τῇ οἰκείᾳ
τοὺς εὐγενεῖς καὶ στρατηγοὺς ἐν πρᾳοτάτοις λόγοις,
τοὺς δ᾽ ἀφανεῖς ἐν μάστιξι καὶ δημοτικωτέρους,
καὶ πάλιν ἀντανέστρεψε πρὸς τὴν βουλὴν ἐκείνους.
Ὡς δ᾽ ὁ Θερσίτης ὕβριζε μόνος τὸν βασιλέα,
ὃς ἦν φοξὸς καὶ παραβλὼψ, χωλὸς, κυρτὸς, ψεδνόθριξ,
τῷ σκήπτρῳ πλήξας καὶ αὐτὸν, ὥστε δακρύειν τοῦτον
τοὺς δ᾽ ἄλλους ἅπαντας γελᾶν, δημηγορεῖ τοιάδε·
« Ὦ Ἀγαμέμνων βασιλεῦ, τὸ στράτευμα Ἑλλήνων
« πᾶσιν ἀνθρώποις βούλεται σὸν καταισχῦναι κράτος.
« Οὐ γὰρ πληρῶσαι θέλουσιν αὐτῶν τὰς ὑποσχέσεις,
« ὡς καρτερεῖν τὴν πόρθησιν ἐνθάδε τὴν τῆς Τροίας·
« ἀλλ᾽ ὥσπερ βρέφη κλαίουσιν ἐλθεῖν εἰς τὰς οἰκίας.
« Μείνατε χρόνον, ἀδελφοὶ, βραχύτατον ἐνθάδε,
« ἕως τὴν Τροίαν λάβωμεν τὴν πόλιν τοῦ Πριάμου.
« Νῦν ὁ καιρὸς ἐφέστηκε τοῦ χρόνου τοῦ δεκάτου,
« ὅτε ταύτης ἡ πόρθησις γενήσεται τῆς Τροίας,

(41) G, δεκαπλῶν ὡς παρά. Voluit mutare ὦν in ὥς et properantior pro uno mendo exhibuit duo.

(42) A, ματαιάζοντες τοῖς χρ. πολεμοῦμεν. B, ἐν χρ. C quod dedi.

(43) B C, πορθοῦμεν. Si πορθοῦμεν sensu futuri intelligetur, sententiæ Homericæ Il. 2, 140, forma fere reddetur: φεύγωμεν... Οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν.

(47) A, δριμυτικωτέρως. Fortasse δεσποτικωτέρως. B, δημοτικωτάτους. Il. 2, 198: Ὃν δ᾽ αὖ δήμου τ᾽ ἄνδρα ἴδοι.

(48) A, ἀντανέστρεψεν εἰς.

(50) In C super φοξὸς glossa ὀξυκέφαλος, στραβὸς super παραβλὼψ, μαδαρόθριξ super ψεδνόθριξ. Jam post Homerum Il. 2, 217, Thersitem depinxit Proleg. 651, ubi vide n.

(54) B C, κράτος καταισχῦναι.

« ὥσπερ ὁ μάντις ἔλεγεν ἡμῖν ἐν τῇ Αὐλίδι,
« ἐκ τῶν στρουθῶν καὶ δράκοντος πάντα καλῶς νοήσας. »
Οὕτως εἰπὼν ὁ Ὀδυσσεὺς τοῖς πᾶσιν ἐπῃνέθη,
καὶ μετ' αὐτὸν δημηγορεῖν ἀπήρξατο καὶ Νέστωρ·
« Παισὶ μικροῖς ἐοίκαμεν οἷς πόλεμος οὐ μέλει·
« φιλονεικοῦμεν μάτην γὰρ ἐπὶ ματαίοις λόγοις.
« Ἀλλ', Ἀγαμέμνων βασιλεῦ, βουλεύου νῦν ὡς πρώην,
« στρατήγει καὶ παράτασσε τὸ στράτευμα πρὸς μάχας·
« ἕνα καὶ δύο φθείρεσθαι τῶν μὴ θελόντων ἔα·
« ἡμεῖς τὰς Τρώων λάβωμεν γυναῖκας αἰχμαλώτους.
« Ἀλλὰ βουλεύου, βασιλεῦ, καὶ πείθου τοῖς φρονίμοις·
« χώρισον πάντα τὸν στρατὸν πρὸς γενεὰς καὶ ἔθνη,
« ὡς ἂν τὸ γένος βοηθῇ τῷ γένει τῷ οἰκείῳ,
« τὸ ἔθνος πάλιν ἔθνει δέ, καὶ τότε γνώσῃ πάντως
« τίς ἡγεμόνων ἄριστος, τίς τῶν τῆς κάτω τύχης·
« καὶ τότε γνώσῃ ἀκριβῶς πῶς οὐ πορθεῖς τὴν Τροίαν,
« εἴτε θεόθεν, ἢ κακῶν ὄντων τῶν ὑπὸ χεῖρα. »
Ὁ βασιλεὺς ἐπῄνεσε τοῦ γέροντος τοὺς λόγους,
καὶ τῆς ὀργῆς ἐμνήσθη δὲ τῆς πρὸς τὸν Ἀχιλέα,
ὡς γενομένης ἀπρεπῶς κακῆς ἐξ εἱμαρμένης,
καὶ τὸν στρατὸν ἐκέλευσεν ὁπλίζεσθαι φαγόντας.
Αὐτὸς δὲ θύσας βοῦν Διΐ, τῇ εἱμαρμένῃ, τάχα
ἑπτὰ τοὺς πρώτους ἄρχοντας καλεῖ πρὸς τὴν θυσίαν,
τὸν Νέστορα, καὶ μετ' αὐτὸν Ἰδομενέα Κρῆτα,

(63) A, στρουθῶν τοῦ δράκ.
(66) A, μέλλει. Cf. Il. 2, 338.
(67) in C super λόγοις scripta varietas ἔργοις. Sed λόγοις firmatur loco Homerico Il. 2, 342 : Αὕτως γάρ ῥ' ἐπέεσσ' ἐριδαίνομεν.
(71) B, τὰς πρώην. A, τῶν τρώων λάβομεν.
(72) A, καὶ φρονίμοις.
(75) B, πάλιν δ' ἔθνει συμμαχῇ καὶ τότε γνώσῃ πάντως. A, ἔθνει τε... π. C ἔθνει δε... πάντα.
(76) C, ἡγεμόνων, ac supra στρατηγὸς ἦν.
(77) B C, γνώσεις. In C. supra τότε scriptum τοῦτο.
(81) A B, κακῶς.
(82) A, ἐκέλευεν.
(83) Conf. n. ad librum A, 104.
(85) B, Ἰδομενῆα.

εἶτα τοὺς δύο Αἴαντας μετὰ τοῦ Διομήδους,
καὶ Ὀδυσσέα μετ' αὐτούς. Μενέλαος δὲ μόνος
ἦλθεν αὐτοῖς αὐτόκλητος, στέργων τὸν βασιλέα.
Θυσίας ἅμα καὶ εὐχῶν τότε δὲ γενομένων,
φαγόντες Νέστορος βουλαῖς, ὥρμησαν πρὸς τὴν μάχην.
Οἱ στρατηγοὶ δὲ τὸν στρατὸν παρέτασσον κοσμίως,
σὺν τῇ φρονήσει, Ἀθηνᾷ, καὶ τῇ αἰγίδι ταύτης,
ταῖς πολυπλόκοις μηχαναῖς αὐτῆς ταῖς ὑπερτίμοις.
Γλυκύτερος δ' ὁ πόλεμος τούτοις ἐφάνη τότε
παρ' ὅπερ ἕκαστον αὐτῶν ἐλθεῖν εἰς τὴν πατρίδα.
Αἱ πεδιάδες ἔλαμπον ὡς πῦρ ἀπὸ τῶν ὅπλων·
ὥσπερ δ' ἀγέλαι τῶν χηνῶν, γεράνων ἢ καὶ κύκνων,
πέτονται περὶ Κάϋστρον τὸν ποταμὸν Ἀσίας,
οὕτως Ἑλλήνων ὁ στρατὸς Σκαμάνδρου πεδιάσι
πολὺς εἱστήκει καὶ λαμπρὸς ἐν ὅπλων ποικιλίᾳ,
καὶ πρόθυμοι πρὸς πόλεμον ὡς μυῖαι πρὸς τὸ γάλα.
Ὁ Ἀγαμέμνων δ' ἐν αὐτοῖς ὁ βασιλεὺς εἱστήκει,
τὴν κεφαλὴν καὶ ὀφθαλμοὺς ἔχων Διὶ ὁμοίους,
τῷ λογισμῷ παρόμοιος, φρόνιμος καὶ αἰδήμων·
τὴν ζώνην δὲ τῷ Ἄρει, τὸ στῆθος Ποσειδῶνι,
πολεμικὸς καὶ τὸν θυμὸν ἔχων, ὁπόταν δέῃ,
κατὰ τὴν θάλασσαν αὐτήν· οὐ γὰρ ἀεὶ κινεῖται,
ἀλλ' ὅταν πνεύσας ἄνεμος ἐκείνην κυματώσῃ.
Ὥσπερ δὲ ταῦρος μέγας τις ἀγέλης ὑπερέχει,
τοσοῦτον ἐμφανέστερος καὶ τῶν λοιπῶν ὑπῆρχε.

(95) A C, παρόπερ Est præpositionis παρὰ et compositi παρὸ vel παρ'ὃ nunc sensus idem particulæ ἢ in loco Homerico Il. Β, 453 : Τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων γένετ' ἠὲ νέεσθαι Ἐν νηυσὶ γλαφυρῇσι φίλην ἐς πατρίδα γαῖαν. Cf. l. Γ, 17.

(96) A B, ὑπό. C, ἀπὸ. quod firmat comparatio loci Homerici Β, 457 : ἀπὸ χαλκοῦ..... αἴγλη.

(106) A, ὁπότε δέοι. B C, ὁπότ'ἂν δέῃ.

(107) A, ὁρᾶν ἀεί.

(109) A, μέγας ταῦρος τις.

Τοιοῦτον μὲν ἐποίησε τότε τὸν βασιλέα
ἡ εἱμαρμένη φαίνεσθαι πάντων ὑπερτεροῦντα.
Εἶτα πάλιν ὁ Ὅμηρος καὶ πρὸς τὰς Μούσας λέγει,
τὴν γνῶσιν πάντως τὴν αὐτοῦ τὴν ἐκ τῶν μαθημάτων.
« Εἴπατε, Μοῦσαι, πρὸς ἡμᾶς πάντας τοὺς ἡγεμόνας·
« τὸ πλῆθος σύμπαν γὰρ ἐγὼ καὶ πάντας τοὺς ναυάρχους,
« οὐδ' ἄνπερ δέκα στόματα καὶ δέκα γλώσσας εἶχον,
« ἄρρηκτον δ' εἶχον τὴν φωνὴν καὶ σιδηρᾶν καρδίαν,
« τοὺς σύμπαντας ἂν ἴσχυσα πρεπόντως καταλέξαι,
« εἰ μήπερ ὑπεμνήσατε πάντα ὑμεῖς ἐκ βίβλων ».
Οὕτως ἐνταῦθα συμπληροῖ τὴν Βῆτα ῥαψῳδίαν,
καὶ μετ' αὐτὴν κατάρχεται λέγειν τὴν Βοιωτίαν,
ἣν Βοιωτίαν ἔγραψα τοῖς τόποις τοῖς οἰκείοις,
τοὺς ἡγεμόνας λέγων σοι καὶ τούτων ναυαρχίας,
καὶ κατ' ἐπαύξησιν αὐτῶν μορφάς τε καὶ τὰ γένη.
Μετὰ τὴν Βοιωτίαν δὲ κατάρχεται τοῦ Γάμμα,
οὕτω ποιήσας τὴν ἀρχὴν ἀρξάμενος ἐνθένδε.

(112) De more ipsi Ζεὺς Homericus est ἡ εἱμαρμένη. Il. 2, 482 : Τοῖον ἄρ' Ἀτρείδην θῆκε Ζεὺς ἤματι κείνῳ.

(113) B, sine καί. Malim ὡς πρός, quod confirmabit n. p. 71.

(114) Lemma in C : Τίνες αἱ Μοῦσαι. Conf. ad libr. A, 5. B. τὴν αὐτήν.

(120) Non est in A.

(123) τόποις τοῖς οἰκείοις; scilicet in Prolegomenis, ubi Græcorum ducum fit enumeratio.

(125) Non est in A.

(126) A B, τό.

(127) Non est in A.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Γ (*).

Ἐπεὶ δὲ παρετάξαντο παρὰ τῶν ἡγεμόνων,
οἱ Τρῶες ἐπορεύοντο κραυγῇ τε καὶ θορύβῳ,
δίκην γεράνων φευγουσῶν εἰς Αἴγυπτον ἐκ Θρᾴκης,
οὗ τοὺς Πυγμαίους κτείνουσι, τρώγουσαι τούτων στάχυς·
οἱ δ' Ἕλληνες ἐπήρχοντο καὶ σιωπῇ καὶ τάξει.
Ὁ δὲ πολὺς κονιορτὸς πεζῶν καὶ τῶν ἱππέων
ὥσπερ ὁμίχλη σκότωσιν ἐποίησε βαθεῖαν.
Ὁ δὲ θεοῖς παρόμοιος Ἀλέξανδρος τὸ εἶδος,
ἤγουν ὁ ὡραιότατος λαμπρῶν δίκην ἀστέρων,
ἢ μᾶλλον ὁ αὐτόχρημα τελῶν Ἐπιθυμία,
πρῶτος τῶν ἄλλων, ὡς εἰκὸς, τῶν Τρώων προεμάχει,

(*) Lemma in A C : ὑπόθεσις τῆς Γάμμα Ὁμήρου ῥαψῳδίας Hunc integrum librum Tzetzicarum Allegoriarum inseruit Burgessius Initiis Homericis p. 77 sqq.

(1) Non est in A. B C, ἐπεὶ δέ. Burg., επειδη. Notabile παρετάξαντο significatione passiva. Non desunt exempla ex probatissimis quoque scriptoribus. Theocritus 3, 29 : τηλέφιλον ποτιμαξάμενον, ubi Meinek. Euripides Hel. 42, προυθέμην pro προυτέθην, ubi n. Matthiæ. In Philippi epigrammate Platanus, quam rabidi violentia noti radicitus exturbavit, loquitur, Anth. 9 247 : Λουσαμένη βρομίῳ δ' ἔστην πάλιν. Est λουσαμένη passive dictum ; optime Grotius : « Iota resurrexi Bromio. » PseudoPhocylides 153 : ἄρουραι Λήϊα κειράμεναι, ubi Schæfer, et in Indice v. Aoristus. J. C. S. (Jo. Conr. Schwartz) in Miscell. Lips. Novis t. 4, p. 99, hunc aoristi medii usum illustravit, ἀρξαμένη passive explicans in Antipatri Macedonis epigrammate Anth. 9, 421, de insulis desertis : Ἤ ῥ' ἡμᾶς ἐδίδαξεν ἕνα τρόπον ἡ τότε λευκὴ Δῆλος, ἐρημαίου δαίμονος ἀρξαμένη. Subintelligit præpositionem cum passivis usitatam, ut sit ἀπὸ δαίμονος ἀρξαμένη ἐρημαίου, ipso interprete « a deserto Deo recta. » Putaverim ἀρξαμένη nativam hic habere significationem, verterimque : « solitariam auspicata fortunam. »

(3) Burg., καὶ Θραχην.

(4) A, αἳ τοὺς. Burg., τρωγωσαι.

(7) B C, ὥσει.

(8) C, Ἀλ. παρόμ.

(9) B, ὡραιότερος. A, δίκην λ. ἀστ., et sic Burg.

(10) Sensus est Alexandrum ipsum esse Amorem. Conf. v. 102.

(11) A C, ἄλλων προπηδῶν τῶν.

Ἑλλήνων τὸν βουλόμενον ζητῶν μονομαχῆσαι.
Ἰδὼν δὲ τὸν Μενέλαον τοῦ ἅρματος πηδῶντα,
ὥσπερ τις δράκοντα ἰδὼν, ἔφευγεν ὠχριάσας.
Τοῦτον ὁ Ἕκτωρ θυμωθεὶς λόγοις λοιδόροις πλύνει·
« Ἀπατεὼν, γυναιμανὲς, εἴθε νεκρὸς μοι εἴης
« παρὸ δακτυλοδείκτημα καὶ πάντων Τρώων ὕβρις.
« Ὄντως μεγάλως χαίρουσι τὸ στράτευμα Ἑλλήνων
« τῷ λογισμῷ τῷ ἑαυτῶν ἄριστόν σε δοκοῦντες,
« ἀνθ' ὧν ὁρῶσιν εὔμορφον, ὡραῖόν σου τὸ εἶδος.
« Πῶς οὖν αὐτὸς τοιοῦτος ὢν, νύμφην ἀνδρῶν ἀρίστων
« ἁρπάξας βλάβην ἤγαγες σύμπαντι Τρώων γένει;
« Οὐ καρτερεῖς; πολέμησον Ἑλένης τῷ συνεύνῳ,
« καὶ γνώσῃ τίνος ἥρπαξας νεάζουσαν γυναῖκα.
« Οὐκ ὠφελήσει σοι οὐδὲν ἡ μουσικὴ θανόντι,
« οὐ κάλλος, οὐδὲ τρίχωσις, δῶρα τῆς Ἀφροδίτης· »
εἴτουν ἐπιθυμίας τε, εἴτε καὶ τοῦ ἀστέρος.
Οἱ γεννηθέντες πάντες γὰρ ἀστέρι Ἀφροδίτης,
καὶ μᾶλλον τῆς αἱρέσεως ὄντι μὴ παραιρέτῃ,

(15) De verbo πλύνειν n. ad librum B, 90.

(16) Nomen ἀπατεὼν corruptum est leviter confusione perpetua vocalium αι ε in scholio inedito ad Pachymeris, Hist. Andr. Palæol. 23, verba hæcce : ἀγυρτώδεις καὶ τριωβολιμαίους. Scholiastes : ἀπαταιῶνας (imo ἀπατεῶνας), συρφετώδεις, τριῶν ὀβολῶν εὐώνους. Convicio illo obolorum trium usus est Georgius Acropolita Hist. c. 60, loco non edito. Nominatis Georgio Muzalone, Andronico, quos magnis officiis ac dignitatibus auxerat Lascaris imperator, et Joanne Angelo quem πριμικήριον τελοῦντα τετίμηκε πρωτοστράτωρα, addit in codice 3041 : ἀνδράρια μηδενὸς ἢ τριῶν ὀβολῶν ἄξια, παιδιαῖς ἀνατεθραμμένα καὶ σκυβάλων μέλεσί τε καὶ ᾄσμασι.

(17) παρὸ est hic « potius quam.» Ellipsis est adverbii comparationis in versu præcedenti. Cf. libri B n. 95,

(21) B C, πῶς οὖν τοιοῦτος ὢν v. sine αὐτός. A, πῶς ὢν τ. οὖν αὐτός. Burg., πως ουν αυτος τ. ων νυμφων.

(22) A, ἁρπάξας. B, ἁρπάσας et sic 24. B in hoc verbo passim literam σ exhibet; reliqui ξ. Cf. liber N 128; Π 311; Proleg. 380.

(23) Burg. ει καρτ. πολεμησων. B, οὐ καρτερεῖς; C, οὐ καρτερεῖς, πολ. ἑλ. τῷ συν., cum superscripta variante, τὸν σύνευνον Ἑλένης.

(25) A, οὐ μουσική.

(26) B C, τὰ ἀφρ. δ. Burg., τῆς Ἀφρ. δῶρα.

(27) Burg. ει γουν.

(29) Burg., μη παρ' αρετης. B C, μὴ παραιρέτη. A, μὴ συναιρέτῃ, ut videtur.

*ἀρκεῖται μᾶλλον καὶ καλῶς εἴσπερ ἁρμόζει τόποις.*
*Ὡραῖοι καὶ ἐπέραστοι γυναῖκές τε καὶ ἄνδρες,*
*ἂν ἐν τῇ πρώτῃ, μᾶλλον δὲ τῇ εἰκοστῇ ὀγδόῃ*
*μοίρᾳ* Καρκίνου *φέρωσιν αὐτὴν τὴν Ἀφροδίτην,*
*θεαῖς οἱ ἄνδρες μίγνυνται, τουτέστι βασιλίσσαις*
*ἢ ἰσοθέοις γυναιξὶν, ὡς* Πτολεμαῖος *γράφει·*
*γυναῖκες πάλιν δὲ θεοῖς, εἴτε καὶ ἰσοθέοις.*
Οὕτω *μὲν Ἕκτωρ πρὸς αὐτὸν Ἀλέξανδρον ἦν λέγων·*
« Εἰ Μενελάῳ *πόλεμον συνήραξας, εὖ ἴσθι,*
« *οὐδέν σοι ἡ γενέθλιος ὤνησεν Ἀφροδίτη.*
« Ἀλλὰ *δειλοὶ ὑπάρχουσιν, Ἀλέξανδρε, οἱ* Τρῶες
« *οἵτινες οὐ κατέχωσαν βάλλοντές σε τοῖς λίθοις* ».
Πρὸς *τοῦτον δὲ Ἀλέξανδρος οὕτως ἀνταπεκρίθη·*
« *Ἕκτορ, ἐπεί με ὕβρισας πρεπόντως, ἐπαξίως,*
« *σὸς λόγος ὥσπερ πέλεκυς κόπτει μου τὴν καρδίαν·*
« *θάρσους ἐμπλήσας πείθει με μάχεσθαι* Μενελάῳ.

(30) Burgess., αν κειται. Locus est omnino mutilus.

(31) A, ἄνδρες τε καὶ γυναῖκες.

(33) A, μοῖραν. Burg. φερουσιν.

(35) Burg. ισοθεαις.

(38) Redorditur Hectoris orationem prolixa et absurda, mendosa etiam, parenthesi interruptam de planetæ Veneris influxu. B, εἰ μεν. γὰρ πόλεμον συνῆψας εὖ ἴσθι. Ut versus incedat saltem scribi oportuit πόλ. γάρ. A, συνήρραξας.

(40) Burg. δαλοι.

(41) Burg. κατεχωσι.

(42) A B, ἀντεπεκρίθη.

(43) A, ἕκτωρ.

(45) C, σάρσυος, exemplo in codicibus non facile obvio litteræ θ male pronuntiatæ. A sono legitimo sæpius sic aberrant exteri qui Græce loquuntur vel Græca legunt, Anglis exceptis quorum littera th ad θ proxime accedit; accedit etiam si non aspere efferatur ad litteram δ. Quod tetigisse memini ad Nicetam Eugenianum 5, 424, et in Anecdotis Græcis 4, 270. Difficilis esse præcipue videtur recta enunciatio litteræ δ, quæ utramque paginam facit. Quid enim frequentius particula δέ? Hellenistæ nostrates linguam exerceant, repetito accurate Trachiniarum versu: Δίδαξον, εἰ διδακτὸν, ἐξ ὅτου φοβεῖ. Experiantur etiam num queant in hocce Theodori Prodromi politico, Καὶ γίνεταί σοι δάμαρ ἡ νύμφη Θάμαρ, tenuius δ efferre, θ asperius. Facillima synchysis litterarum δ et θ, ut Doriensibus et Æoliensibus δεὰ δεὸς dictum fuerit pro θεὰ θεός. A quo nomine δεός, non δέος « timor » nomen « Deus », in linguam latinam influxit. Quemadmodum θ negligentius prolatum abit in δ, sic Anglorum th in d. In comœdiis Anglicis Hiberni, ut risus moveatur, pro that dicunt dat, et nostrates, inter alia oris inelegantis et indocti monstra, non utuntur articulo the, sed barbarismo de. Neque comici nostri ac mimorum scriptores jocosiorum Anglis parcunt, si quos Gallice balbutientes introducunt. Nugis id genus concordia non læditur.

« Σὺ δὲ μὴ κατονείδιζε τὸ κάλλος καὶ τὴν τρίχα,
« τὰ τῶν θεῶν δωρήματα, ἀστέρων γενεθλίων·
« ἅπερ μοι κατωνείδισας, τὴν κόμην καὶ τὸ κάλλος,
« καὶ τὰ λοιπὰ τῶν ἀγαθῶν ἀπόρριπτα οὐκ ἔστιν,
« ἅπερ παρέχουσιν αὐτοί, θέλων δ' οὐκ ἄν τις λάβοι ».
Σεμνῶς ἐνταῦθα καὶ δεινῶς ἀνθύβρισεν ὁ Πάρις·
οὕτω σεμνῶς ὑβρίσας δὲ οὐκ ἔδοξεν ὑβρίζειν.
Μέλας, στραβὸς γὰρ καὶ ψελλὸς ἦν Ἕκτωρ, ὡς γινώσκεις.
Ἐν τῷ εἰπεῖν ὁ Πάρις δὲ « θέλων οὐκ ἄν τις λάβοι »
μονονουχὶ λέγει ταυτί, τὰς ὕβρεις ἐπικρύπτων·
« Ἕκτορ, καὶ σὺ ἂν ἤθελες τοιοῦτος γεγονέναι·
« ἀλλ' εἱμαρμένην ἔσχηκας ἑτέραν· λοιπὸν παύου,
« καὶ κάλλος μὴ καθύβριζε, μηδὲ τρίχωσίν μου.
« Εἰ βούλει δέ με μάχεσθαι μετὰ τοῦ Μενελάου,
« τὸ Τρωϊκὸν μὲν στράτευμα παῦσον καὶ τῶν Ἑλλήνων·
« ἐγὼ δὲ καὶ Μενέλαος μόνοι μονομαχοῦμεν·
« ὁ δὲ νικήσας ἅπαντα λαβέτω σὺν Ἑλένῃ,
« οἱ δ' ἄλλοι ἀπερχέσθωσαν εἰς τὰς αὐτῶν πατρίδας ».
Οὕτως εἰπόντος Πάριδος, Ἕκτωρ τερφθεὶς τοῖς λόγοις

(46) Burg. κατωνειδιζε.

(49) Burg., σων ἀγαθων. B, ἅπερ ἐνσοὶ οὐκ ἔστιν.

(50) Burg., απερ παρασχωσιν... λαβῃ; B, ὅσα παρεχ... λάβῃ. C, ὅσα παράσχωσιν.

(51) B, εμνῶς, omisso Σ rubricando. Illud adverbium σεμνῶς causa est cur repudietur varietas v. 49, ἅπερ ἐν σοὶ οὐκ ἔστιν, cui aliquid inest petulantioris convicii et ἀσέμνου. Altera lectio proxima est verbis Homericis Il. 3, 65 : Οὔτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα. Ac quæ sequuntur dubitationi locum non relinquunt. Versus 51-54 omissi sunt in A, ob ὁμοιοτέλευτον versuum 50-54, λάβοι.

(53) Ὡς γινώσκεις, scilicet antea dictum Proleg. 797 in descriptione Hectoris.

(54) B, Burg., λάβῃ.

(61) B, μόνοι τανῦν μαχῶμεν. A, Burg., μονοι μονομαχουμεν. C, μόνοι μονομαχῶμεν. Repetitio μόνοι μονομαχοῦμεν barbarismo μαχῶμεν præferenda, et habet etiam quo se tueatur exemplum Herodoteum 9, 27 : μοῦνοι Ἑλλήνων δὴ μουνομαχήσαντες τῷ Πέρσῃ. Quo in exemplo tamen μοῦνος vim habet et emphasin, quæ in Tzetzico versu nullæ sunt.

(63) B C, Burg., παρερχέσθωσαν. A, ἀπερχ. Et infra 103 omnes ἀπερχέσθω.

(64) Burg., τῷ λογῳ.

τοὺς Τρῶας μάχης ἔπαυε μέσον κρατῶν τὸ δόρυ,
οἱ δ' Ἕλληνες τοξεύμασιν ἔβαλλον καὶ τοῖς λίθοις,
μέχρις ἔπεσχε βάλλοντας ἐκείνους Ἀγαμέμνων.
Καὶ τότε τοῖς στρατεύμασιν Ἕκτωρ τοῖς δύο λέγει
γνώμην τὴν Ἀλεξάνδρειον περὶ μονομαχίας.
Πάντων ἡσυχαζόντων δέ, Μενέλαος ταῦτ' εἶπεν·
« Ὁ λόγος ἔστιν ἀρεστὸς ὁ τῆς μονομαχίας·
« ἀλλ' ὅρκοις βεβαιώσωμεν πρότερον τὰ τῆς μάχης.
« Παρέστω δὲ καὶ Πρίαμος αὐτὸς ἐν ταῖς θυσίαις·
« ἄπιστος γὰρ Ἀλέξανδρος καὶ παραβάτης ὅρκων ».
Ἐχάρησαν οἱ Ἕλληνες καὶ Τρῶες ἐπὶ τούτοις,
παῦσιν εὑρεῖν ἐλπίζοντες τοῦ χαλεποῦ πολέμου.
Συντόμως δ' ἀφωπλίζοντο· πλησίον δὲ ἀλλήλων
οἱ Ἕλληνες ἐκάθηντο καὶ Τρῶες δίκην φίλων.
Ὁ Ἕκτωρ πέμπει φέρειν δὲ πάντα τὰ πρὸς θυσίαν,
καλέσαι τε τὸν Πρίαμον τοῖς ὅρκοις συμπαρεῖναι
καὶ Ἀγαμέμνων ἔπεμψεν ἐκ πλοίων ἄρνα φέρειν.
  Ἡ Ἶρις τῇ Ἑλένῃ δὲ πᾶν τὸ συμβὰν μηνύει,
τὸν περὶ ταύτης πόλεμον καὶ τὴν μονομαχίαν,
ὁμοιωθεῖσα θυγατρὶ Πριάμου Λαοδίκῃ·
τουτέστιν Ἶρις γέγονε, τόξον τὸ νεφελῶδες,
ἐξ οὗ τὸ συμβησόμενον ἐνόησεν Ἑλένη
ὡς εἴπερ τις κατέλεξε πάντα καλῶς ἐκείνῃ.
Ἦλθε δὲ πρὸς ἐνθύμιον εὐθὺς τοῦ Μενελάου

(65) B, ἔπαυσε. Burg., επαυσεν. AC, μέσου, scilicet ἐκ μέσου.
(67) A, ἐκείνους βάλλ. ἐπέσχεν.
(69) Burg. Αλεξανδρειαν. Suspicor Burgessium non sequi accuratissime codicem. Et in aliis jam locis talis me subibat suspicio.
(70) B, ἡσυχ. τε.
(71) B, Burg., ἄριστος.
(75) Burg., επι τουτο. Ἐπὶ τούτῳ potius.
(77) B, Burg., sine δ'.
(81) B, ἔπεμπεν... φέρειν ἄρνα.
(88) A, ἦλθε καί.

καὶ τῆς πατρίδος τῆς αὐτῆς, ἀλλὰ καὶ γεννητόρων.
Λεπτῷ δ' ἐπικαλύμματι κατακαλυψαμένη,
δυσὶ σὺν ἄλλαις ὥρμησε κλαίουσα πρὸς τὸν πύργον.
Περὶ δὲ πύλας τὰς Σκαιὰς αὐτὴν διερχομένην
ἀπὸ τοῦ πύργου βλέποντες οἱ γέροντες τῶν Τρώων,
ἐκ γήρως μὲν ἀπόμαχοι, σύμβουλοι δὲ γενναῖοι,
Πριάμῳ συγκαθήμενοι καὶ ἀδελφοῖς Πριάμου,
τῷ Πανθόῳ καὶ Θυμοίτῃ, καὶ Λάμπῳ καὶ Κλυτίῳ,
καὶ σὺν τῷ Ἱκετάονι τῷ ἀδελφῷ τῷ Ἕκτῳ·
ὁ Οὐκαλέγων τε αὐτὸς ἅμα καὶ ὁ Ἀντήνωρ
ἐν ἐρημαίᾳ τῇ φωνῇ ἀλλήλοις προσλαλοῦντες
« Οὐ νέμεσις » ἐφθέγξαντο, « διὰ τοιαύτην κόρην
« ἐπὶ πολὺ κακοπαθεῖν τοὺς Ἕλληνας καὶ Τρῶας.
« Λίαν ἐστὶ παρεμφερὴς αὐτῇ Ἐπιθυμίᾳ·
« ἀλλὰ καὶ κάλλος ἔχουσα τοιοῦτον ἀπερχέσθω,
« μὴ γένοιτο μετόπισθεν ἡμῖν καὶ τέκνοις βλάβη ».
Ταύτην δὲ Πρίαμος αὐτοῦ πλησίον ἑδριάσας,
ἀνερωτῶν ἐμάνθανεν Ἑλλήνων τοὺς ἀρίστους·
πρῶτον τὸν Ἀγαμέμνονα ὅνπερ καὶ μακαρίζει,
τὸν Ὀδυσσέα δεύτερον, τὸν Αἴαντα δὲ τρίτον.
Μόνους δ' ὑπέδειξεν αὐτῷ, καὶ τὸν Ἰδομενέα·

(89) Codd. αὐτῆς. Burgessius αυτης, id est αὑτῆς; nam μισότονος quidem est, si quis alius, sed spiritum asperum retinet commodus et patiens.

(91) B, ἄλλοις.

(92) B, δὲ τὰς π. τὰς σκ.

(94) A, ἀπόλεμοι.

(96) A, πάνθῳ κ. θυμ. τε... κλυταίῳ. B, πάρθῳ...... τε. C, πάρθῳ κ. θοιμ. τε. Burg., πανθεῳ κ. Θυμ. κ. Scripsi πανθόῳ ex Il. 3, 146.

(97) A, ἱκετάων ἀδ. τῷ ἕκτῳ. B, ἱκετάονι ἀδ. τ. ἕκτῳ. C, τῷ ἀδ. τῷ ἕκτῳ, Burg., συν ικεταονι τῳ αδ. τῳ Ἕκτορος. Et hic fere opinor Ἕκτορος deberi Burgessio pro reperto ἕκτῳ. Sed non fuit Hicetaon frater Hectoris; fuit Priami, ut Lampus Clitiusque, teste Il 20, 238, et Apollodoro Bibl. 3, 12, 3, cui Λάμπος Homeri vocatur Λάμπων.

(98) Burg., δε. A, καὶ Ἀγαπήνωρ. Cf. Il. 8, 148.

(99) A, ἀλλήλους.

(102) Deest Burgessianæ. Ἐπιθυμία est Venus, Cupido. Cf. v. 10. B, αὐτή.

(104) Burg., μηδ' οπισθεν.

(105) Codd. αὐτοῦ.

(109) B C, Burg., μόνη.

τοὺς ἀδελφοὺς δὲ Κάστορα ταύτης καὶ Πολυδεύκην
ἀποθανέντας οὐδαμοῦ προσβλέπειν δυναμένη,
μὴ συστρατεῦσαι τοῖς λοιποῖς ἐδόκησεν Ἑλλήνων,
ἢ δι' αὐτὴν αἰσχύνεσθαι φανῆναι τῷ πολέμῳ.

Οἱ κήρυκες λαβόντες δὲ πάντα τὰ πρὸς θυσίαν
καλοῦσι καὶ τὸν Πρίαμον. Ὁ δ' ἀναβὰς εἰς ἅρμα
ἦλθε παρὰ τὸ στράτευμα Ἑλλήνων τε καὶ Τρώων.
Στάντων πρὸς τὴν θυσίαν δὲ, νιψάντων καὶ τὰς χεῖρας,
ὁ Ἀγαμέμνων τῶν ἀρνῶν τὰς τρίχας ἀποκόψας,
Ἑλλήνων διενείματο καὶ Τρώων τοῖς ἀρίστοις·
ηὔχετο δὲ πρὸς οὐρανὸν τὰς χεῖρας ἀνατείνας·
« Ἥλιε, Γῆ καὶ Οὐρανέ, καὶ Ποταμῶν τὸ ὕδωρ,
« καὶ οἱ παρ' Ἅδην τιμωροὶ δαίμονες τῶν ἀδίκων,
« ὑμεῖς ἔφοροι γίνεσθε καὶ φύλακες τῶν ὅρκων.
« Κἂν μὲν Ἀλέξανδρος αὐτὸς Μενέλαον φονεύσῃ,
« Ἑλένην καὶ τὰ χρήματα ταύτης ἐχέτω πάντα,
« ἡμεῖς δὲ πορευσώμεθα πάλιν εἰς τὰς πατρίδας·
« εἰ δ' ἀντιστρόφως γένοιτο, γενέσθω τοὐναντίον,
« ἡμῖν τε πρέπουσα τιμὴ δοθήτω κατὰ νόμους,
« τὸ τῶν χρημάτων ἥμισυ δῆλον τῶν ἐν τῇ πόλει ».
Οὕτως εἰπὼν ἀπέσφαξε τοὺς ἄρνας Ἀγαμέμνων,
οἶνον δ' ἐπέχεεν αὐτοῖς· ηὔχετο πᾶς λαὸς δε
χεθῆναι τὸν ἐγκέφαλον οὕτω τῶν ἐπιόρκων.

(116) A. περί. Cf. Proleg. n. 779.
(117) C, πάντων.
(119) Burg., τους αριστους.
(120) A, ηὔξατο.
(126) B, ὑμεῖς. C, πορευσώμεθα, superscripto ο, πάλιν δ' εἰς, addito δ', inter lineas a prima manu Prætuli subjunctivum ob Homericum νεώμεθα Il. 3, 283
(127) A B C, Burg., ἂν δ'. A C Burg., γένοιτο γενέσθαι. B, γενέσθω, syllaba σθω in vocabulo evanido adhuc fere nitida.
(128) A, Burg., ἡμιν δε.
(130) Burg., απεσφαττε την αρνα. Sed τοὺς ἄρνας confirmat locus Il. 3, 292 : ἀπὸ στομάχους ἀρνῶν τάμε.
(131) A, ἐπέχευεν. Homerus Il. 3, 295 : οἶνον .. ἔχεον.
(132) B, Burg., χυθηναι.

Ὁ δὲ Κρονίων οὐδαμῶς τούτων εὐχὰς ἐπλήρου,
ἡ σκοτεινὴ καὶ ἄδηλος ἅπασιν εἱμαρμένη.
Ὁ Πρίαμος μερίδα δὲ λαβὼν ἐκ τῆς θυσίας,
ὀπισθοδρόμως ἤλαυνε πάλιν ὡς πρὸς τὴν Τροίαν
εἰπών· « Τὸν θάνατον αὐτῶν οἶδεν ἡ εἱμαρμένη·
« ἐγὼ δ' οὐχ ὑπομείναιμι βλέπων τοῖς ὀφθαλμοῖς μου
« Ἀλέξανδρον μαχόμενον μετὰ τοῦ Μενελάου ».
Οὕτως εἰπὼν ὁ Πρίαμος εὐθέως ὑπεχώρει.
Τὸν τοῦ μονομαχίου δὲ τόπον συγκατεμέτρουν
Ἕκτωρ ὁμοῦ καὶ Ὀδυσσεύς· ἔβαλον δὲ καὶ κλήρους
τοῦ Μενελάου, Πάριδος, ἐν περικεφαλαίᾳ,
ὅστις ἂν πρότερος αὐτῶν λάχῃ τὸ βέλος πέμψαι·
Ἕκτωρ δὲ βλέπων ὄπισθε τοὺς λίθους ἀνεκίνει,
Καὶ πρότερος ἐξέδραμεν ὁ κλῆρος Ἀλεξάνδρου.
Οὗτοι δὲ μέσοι ἔστησαν ὅπλοις ηὐτρεπισμένοι.
Καὶ πρῶτος μὲν Ἀλέξανδρος τὸ σάκος Μενελάου
ἄπρακτος ἔμεινε βαλών, κλιθέντος τοῦ σιδήρου·
δεύτερος δὲ Μενέλαος, πέμψας αὐτοῦ τὸ δόρυ,
ἔκοψε τὴν ἀσπίδα τε καὶ πᾶσαν πανοπλίαν
πρὸς τὴν λαπάραν Πάριδος. Κλιθεὶς δ' αὐτὸς συντόμως
ἐξέφυγε τὸν θάνατον δόρατος Μενελάου.
Μενέλαος τῷ ξίφει δὲ πλήξας τὴν κεφαλαίαν,

(134) Jupiter est allegorice ἡ εἱμαρμένη. Conf. ad librum A. 104. Sic statim Priamus Tzetzicus, οἶδεν ἡ εἱμαρμένη, dicente Priamo Homerico Il. 3, 308 : Ζεὺς μέν που τόγε οἶδε.

(136) B, καὶ πρὸς. Cf. ad librum A, n. 75, et mox v. 157.

(138) B C, Burg., βλέπειν.

(141) A, καὶ τόν.

(142) A, δὲ τούς.

(144) B C, Burg., λάχοι.

(145) A B, Burg., ὄπισθεν. Prætuli ὄπισθε ex C. Conf. liber A, 8. B C, Burg., κλήρους.

(146) Burg., προτερον.

(147) B C, Burg., μεσον.

(148) Burg., πρωτον. A, πρῶτα.

(150) Codd. αὐτοῦ.

(151) A, ἔκαμψε.

(152) A, λαπάρην. C, κλινθείς.

(153) Burg., εξεφευγεν.

(154) A, πλήξας πάλιν τῷ ξίφει δὲ τὴν περικεφαλαίαν. C, τὴν περικ.

*ἐκ τῆς χειρὸς τετράκλαστον ἀπέβαλε τὸ ξίφος.*
*Γυμναῖς ὁρμήσας τὸ λοιπὸν εἷλκε χερσὶν ἐκεῖνον,*
*στρέφων ὡς πρὸς τοὺς Ἕλληνας ἐκ περικεφαλαίας.*
*Καὶ τοῦτον ἂν ἀπέκτεινε Μενέλαος εὐθέως,*
*εἰ μή πως ἔσωσεν αὐτὸν ἡ Ἀφροδίτη τότε,*
*τὸν λῶρον ἀποκόψασα τῆς περικεφαλαίας,*
*καὶ τοῦτον ἀφαρπάξασα πρὸς τὸν αὐτοῦ κοιτῶνα,*
*ἥτις συνέκλινεν αὐτῷ τότε καὶ τὴν Ἑλένην.*
*Τῆς Ἀφροδίτης μάνθανε νῦν τὴν ἀλληγορίαν.*
*Οἱ Ἀφροδίτης ἔχοντες γενέθλιον ἀστέρα*
*κείμενον τόποις ἀγαθοῖς σώζονται καὶ κινδύνων.*
*Ἐπεὶ δὲ τὸ γενέθλιον τοιοῦτον Ἀλεξάνδρου,*
*οὕτως ἐξέφυγε σωθεὶς, τοῦ λώρου κεκομμένου·*
*ἐπεὶ δὲ δρᾷ καὶ ποθεινοὺς τοὺς οὕτω γεννηθέντας,*
*πολλὰ ζυγομαχήσασαν πρὸς ἑαυτὴν Ἑλένην*
*τὸ κάλλος εἵλκυσεν αὐτὴν, καὶ μετὰ ποίαν ἧτταν·*
*καὶ οὕτως συγκατέκλινεν ὥσπερ νενικηκότι.*
*Ὁ δὲ Μενέλαος αὐτὸν ὡς λέων ἀνηρεύνα.*
*Ἔλεγε τότε τοιγαροῦν αὐτὸς ὁ Ἀγαμέμνων·*
*« Ἡ νίκη, Τρῶες, φαίνεται τυγχάνειν Μενελάου·*
*« δότε λοιπὸν τὰ χρήματα, δότε καὶ τὴν Ἑλένην*
*« καὶ τὴν τιμὴν τὴν πρέπουσαν, τὴν οὖσαν κατὰ νόμους,*
*« τὸ τῶν χρημάτων ἥμισυ δῆλον τῶν ἐν τῇ πόλει.*

(155) C, ἀπέλαβε. A, ἀπέκβαλε.
(156) Burg., ὕμνοις.
(157) A B, καὶ πρός. Cf. n. 136. B, εἰς περικεφαλαίας.
(158) Burg., μη περ.
(161) B, ἀφαρπάσασα. A B, αὐτῆς.
(169) B, οὗτος.
(170) Burg., δ' εἵλκυσεν.
(171) A B, καὶ τούτῳ. B, ὑπερνενικηκότι.
(172) A, αὐτήν. Burg., ανηρωτα.
(176) Burg., νομον.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Δ (*).

Οἱ δὲ θεοὶ παρὰ Διὶ πρὸς γῆν κεχρυσωμένην
καθιδρυμένοι σύμπαντες, Ἥβης κιρνώσης νέκταρ,
ἐδημηγόρουν βλέποντες τὴν πόλιν τὴν τῶν Τρώων,
καὶ περὶ τῆς πορθήσεως αὐτῆς ἐζυγομάχουν.
Τέως κατῆλθεν Ἀθηνᾶ τῷ τότε πρὸς τοὺς Τρῶας,
καὶ Πάνδαρον παρέπεισε Μενέλαον τοξεῦσαι.
Ἑστώτων τῶν ἀρίστων δὲ κύκλῳ τοῦ Μενελάου
καὶ τοῦ Μαχάονος αὐτοῦ τὸ τραῦμα θεωροῦντος
ἔνοπλον Τρώων τὸ πεζὸν ἐχώρει καθ' Ἑλλήνων.
Ἀφεὶς δὲ τὸν Μενέλαον, εὐθέως Ἀγαμέμνων,
τὸ στράτευμα καθώπλιζεν ἀθρόως πρὸς τὴν μάχην·
πεζὸς δὲ διερχόμενος πάντας τοὺς ἡγεμόνας,
τοὺς σπεύδοντας μὲν ὤτρυνεν ἐπαίνοις πρὸς τὴν μάχην,
Ἰδομενέα, Αἴαντας, τὸν Νέστορα σὺν τούτοις·
τοὺς δὲ ῥαθύμους αὐστηροῖς ἐπέπληττε τοῖς λόγοις,
τὸν Μενεσθέα, καὶ αὐτὸν ἅμα τὸν Ὀδυσσέα,
καὶ Διομήδην σὺν αὐτοῖς υἱὸν τὸν τοῦ Τυδέως.
Τῶν Τρώων καὶ Ἑλλήνων δὲ τῷ τότε μισγομένων,
θόρυβος ἤρθη φοβερὸς καὶ κτύπος των ἁρμάτων,

(*) Lemma in A C, ὑπόθεσις τῆς Δ, Ὁμήρου ῥαψῳδίας. B, ἀρχὴ τῆς Δ Ὁμήρου ῥαψῳδίας.

(6) A, φονεῦσαι. Firmatur τοξεῦσαι loco Iliadis Δ, 94.

(8) C, μαχάωνος.

(11) B, καθώπλισεν. A, εὐθέως.

(15) C, ἐπέπλησσε. B, ῥαθύμως αὐστηρῶς ἐπέπληττε.

(18) B, τῶν τότε. Sic A, v. 61.

ὡς χειμερίων ποταμῶν ἐπιρροὴ ῥαγδαίων
ἀπὸ πετρώδους ὑψηλοῦ κρημνιζομένων ὄρους.
Καὶ πρῶτος μὲν Ἀντίλοχος βαλὼν ἐν τῷ μετώπῳ
ἀνήρηκεν Ἐχέπωλον υἱὸν τοῦ Θαλυσίου,
Ἀγήνωρ δ' Ἐλεφήνορα τὸν στρατηγὸν Εὐρίπου,
ἕλκοντα τὸν Θαλύσιον καὶ μέλλοντα σκυλεύειν,
τρώσας δορὶ κατὰ πλευρὸν, ἀπέκτεινεν εὐθέως.
Αἴας δ' ὁ μέγας ἐν δορὶ βαλὼν κατὰ τὸ στῆθος
ἀνεῖλε Σιμοείσιον νέον ὡραῖον οἷον.
Ἄντιφος τοῦ Πριάμου δὲ νόθος υἱὸς ὑπάρχων
σύροντα Σιμοείσιον γυμνῶσαι πανοπλίας
Λεῦκον τὸν Ἰθακήσιον κτείνει βαλὼν βουβῶνι·
νόθον δὲ Δημοκόωντα πάλιν υἱὸν Πριάμου
ὁ Ὀδυσσεὺς ἀνήρηκε βαλὼν κατὰ τὸν κόρσην.
Ὁ Πείρως ὁ Ἰμβράσου δὲ, ὃς ἦν ἀπὸ τῆς Αἴνου,
ἡγεμονεύων τῶν Θρᾳκῶν τῶν παρελλησποντίων,
ἀπέκτεινε Διώρεα υἱὸν Ἀμαρυγκέως,

(20) B, καὶ χειμ. C, ποταμὸς ἐπ. ῥαγδαίων superscripto μεγάλων.

(22) A, πρῶτον. C, ἀντίοχος. Il. 4, 457 : Πρῶτος δ' Ἀντίλοχος. Cf. liber E, 79.

(23) A, θαλησίου. Il. δ, 458. Θαλυσιάδην Ἐχέπωλον.

(24) Homero Il. 4, 463, Elephenor est ἀρχὸς Ἀβάντων, id est Bœotorum. Et Tzetzæ Εὔριπος est Eubœa. Cf. ad Proleg. n. 641.

(25) A, θαλήσιον. B, θαλίσιον.

(26) A, πλευρόν. BC, πλευρῶν. Statim κατὰ τὸ στῆθος· 33, κ. τὸν κόρσην· E, 30, 36.

(31) A, βουβῶνος. B C, βουβῶνι, subaudito ἐν. Modo βαλὼν ἐν τῷ μετώπῳ. Libro E, 25, 28 : στήθει βαλών, et μεταφρένῳ.

(33) Sic A B C, κατὰ τὸν κόρσην, superscripto τὸν μήνιγκα. Libro E, 85, Homericum κόρσην Tzetzes reddit per μήνιγγα, scriptum in C, μηνίγκα. Cramerus Anecd. Oxon. t. 3, p. 379, exhibet scholium, quod et ipse inveni in C, ac pro lemmate præmittit e codice suo versum : Ὁ Ὀδυσσεὺς ἀνήρηκε βαλὼν κατὰ τὸν μήνιγκα κόρσην, confusis textu et scholio ; nam ex accentu patet μήνιγκα non posse variantem esse lectionem. Ita autem scholium : κόρσης νῦν ὁ μῆνιξ, παρ' Ἐμπεδοκλεῖ (C ἐμπεδοκλῆ et sic Cram.) δὲ καὶ ἡ ὅλη κεφαλή. Φησὶ γάρ· « Ὡς πολλῶν μὲν κόρσαι ἀναύχενες βλάστησαν ». Ὁ κόρσης δέ ἐστιν ἀρσενικῶς. Inter fragmenta Empedoclis versus est 219, ad quem vide Sturzium plurimos citantem testes. Videtur Tzetzes scripsisse eruditius τὸν κόρσην.

(34) C, ἄρνου. Il. 4, 520 : ὃς ἄρ' Αἰνόθεν εἰληλούθει.

(36) B, διόδωρα.

τῶν Ἐπειῶν τὸν στρατηγόν, τουτέστι τῶν Ἠλείων,
λίθῳ τραχεῖ τὴν δεξιὰν κνήμην ἐκείνου κόψας,
εἶτα καὶ δόρατος πληγῇ ἔντερα τούτου χέας.
Τὸν Πείρωα δ' ἀπέκτεινε τοῦτον ὁ Θόας πάλιν,
ὑπὲρ μαζὸν τῷ δόρατι τὸ πρῶτον δορατίσας,
εἶτα καὶ τὴν γαστέρα δε τούτου τῷ ξίφει τύψας.
Οὗτοι μὲν πάντες ἔπεσον ἄνδρες ἐξ ἡγεμόνων·
τοῦ δὲ κοινοῦ πολυπληθεῖς ἦσαν νεκρῶν σωρεῖαι.
Τὰ μὲν τῆς ὑποθέσεως πάντα τῆς Δέλτα ταῦτα,
τὴν δὲ θεῶν νῦν μάνθανε πᾶσαν ἀλληγορίαν.
Μὴ Χερουβίμ, μὴ Σεραφὶμ ὧδε θεοὺς μοι νόει,
ὥσπερ Ψελλὸς ἐδίδαξεν ὁ πάνσοφος ἐκεῖνος,
παίζων οὐκ οἶδα πῶς εἰπεῖν, ἢ καὶ σπουδάζων ἄρα.
Οὐδὲν γὰρ πρὸς τὸν Ὅμηρον ἅπερ φησὶν ἐκεῖνος·
ἀσύντροχα πρὸς δόξαν γάρ εἰσι τὴν Ὁμηρείαν,
ὥσπερ ζωὴ καὶ θάνατος, καὶ τῶν ἀντιθετούντων.
Ὁ Ὅμηρος ἐνταῦθα γὰρ ἀστρολογῶν νῦν γράφει.
Μετὰ τὴν ἧτταν Πάριδος τὴν παρὰ Μενελάου
ἐπιβλαβὲς θεμάτιον ὑπῆρχε τῶν ἀστέρων,
τοὺς οὕσπερ λέγει καὶ θεοὺς ἐν γῇ κεχρυσωμένῃ

(37) A B, ἠλείων C, ἠλείων. Scholium est in C et in Anecdotis Oxon. t. 3, p. 380, quod ut longius describam in Appendice.

(45) A, ὑποθέσεως ταῦτα τῆς δέλτου τά δε. B, πάντα τῆς δέλτα, sequente vocabulo pessime exarato, cujus finis est τα. C, δέλτα ταῦτα.

(46) A, θεῶν μοι μ.

(47) Huc transcribam idque opportune scholium Tzetzæ ad sua Homerica 27: πρὸς τὸν ψελλὸν ἀποτεινόμενος ταῦτα φημί. Ἐκεῖνος γὰρ, τὴν Δ ῥαψῳδίαν ἐξηγούμενος, θεοὺς ἐνταῦθα τὰ Χερουβὶμ καὶ Σεραφὶμ εἶναι λέγει. Putabat Jacobsius hanc valde absonam Pselli explicationem quærendam fortasse in ejus Allegoriis, quas cum Heraclide Pontico edidit Gesnerus a. 1544. Librum non viderat Jacobsius rarissimum. Ego qui illum possideo lectores monebo tres esse Pselli allegorias, vel ἀναγωγάς, nil ad rem præsentem facientes, de Tantalo scilicet, de Sphinge ac Circe. Illas post Tzetzicas edam, rem lectoribus non injucundam facturus.

(48) A, εἰπεῖν εἰ καὶ σπ. ἄρα. B, εἰπεῖν ἢ καὶ σπ. ἅμα. C, ἄρα. Et C implevit versum oblato παίζων, sed male post εἰπεῖν. Eadem antithesis libro A, 330: Βλέπε πῶς παίζων Ὅμηρος σπουδαῖα περιπλέκει· et 341.

(56) Conf. hujus libri versus primus.

*ἐνιδρυμένους ἐν αὐτῷ τῷ ζωοφόρῳ κύκλῳ,*
*καὶ πίνοντας τοῦ νέκταρος, Ἥβης οἰνοχοούσης·*
*ἀεὶ γὰρ περιτρέχοντες τὸν ζωοφόρον κύκλον*
*δύνουσιν, ἀνατέλλουσι, πάσας ποιοῦσι φαύσεις.*
*Τούτων τῷ τότε τοιγαροῦν ὁ Κρόνος καὶ ὁ Ἄρης,*
*οἱ τῶν ἀστέρων κάκιστοι καὶ βλαπτικοὶ τῶν ἄλλων,*
*ἦσαν τετραγωνίζοντες ἀλλήλους ἐν τῇ φαύσει·*
*τὸ δὲ τοιοῦτον κάκιστον θεμάτιον ὑπῆρχε,*
*καὶ πόρθησιν ἐσήμαινεν ὅσον οὐκ ἤδη Τροίας.*
*Τέως δὲ τότε γέγονε καί τις ἀστὴρ κομήτης,*
*ὅστις σημεῖον πέφυκε γίνεσθαι καὶ πολέμων,*
*ὃν Ἀθηνᾶς κατέλευσιν Ὅμηρος εἶναι λέγει*
*ἐξ Ἥρας παροτρύνσεως, ἤγουν Ἑρμοῦ ἀστέρος·*
*ταῦτα γὰρ περιττώματα τυγχάνουσιν ἀέρος,*
*ἀρεϊκὰ τυγχάνοντα καὶ τοῦ Ἑρμοῦ ἀστέρος.*
*Οἱ Πυθαγόρου δέ φασιν ἀστέρας εἶναι τούτους*
*καὶ τοὺς λοιποὺς τοὺς πλάνητας ἐν χρόνῳ φαινομένους·*
*Ἐπεὶ δὲ ταῦτα σήμαντρα τυγχάνουσι πολέμων,*
*ὁ Πάνδαρος, ὡς εἴπομεν, οὕτω κεκινημένος,*
*τοξεύει τὸν Μενέλαον πρὸς μέρος τοῦ ζωστῆρος,*
*καὶ τότε μὲν ὁ πόλεμος εὐθέως ἀνερράγη,*

(57) A, παρ' αὐτῷ. C, ζωηφόρῳ.
(59) C, ζωηφόρον.
(60) B C, πάσας ποιοῦνται στάσεις, superscripto φαύσεις in C.
(62) C, κάλλιστοι.
(64) C, τὸ δὲ τοιοῦτο κάλλιστον θ. ὑπῆρχε. Inde mutavi ὑπάρχει codd. A B.
(65) A, ὅσον οὔπω. Rursus ὅσον οὐκ ἤδη v. 80.
(67) Sch. in C. et in Anecdotis Oxon. t. 3, pag. 380 : καλῶς εἶπον καὶ πολέμων. Οὐ μόνον γὰρ πολέμων σημεῖον ἐστὶ, ἀλλὰ καὶ αὐχμῶν, καὶ ναυαγίας, καὶ κτηνῶν ἀπωλείας, καὶ πνευμάτων, καὶ γάμων δηλωτικόν· ὥσπερ ὁ Τζέτζης, προειπὼν περὶ τοῦ βασιλέως γάμου ὅτι μετὰ ἑπτὰ μῆνας γενήσεται, Ἰανουαρίου μηνὸς, οὐκ ἀδόκιμος ἐφάνη περὶ τὴν πρόρρησιν. Καὶ ἑτέρων πλειόνων ὁ κομήτης ἐστὶ δηλωτικὸς (cod. et Cram. δηλωτικῶς), καθὼς ὁ μαθηματικὸς ἀνώνυμος (cod. et Cram. μαθηματικῶς ἀνωνύμως) περὶ κομητῶν ἀκριβέστατα διέλαβε.
(68) Innuit Minervæ descensum in terram, Jove jubente Il. 4, 70, 78.
(70) B, sine γάρ, ὑπάρχουσιν.
(71) A, ἀερικά.
(73) C, ὡς τούς.
(75) Conf. v. 6.

καὶ πέπτωκε σφαττόμενος ὁ δεῖνά τε καὶ δεῖνα,
ὧν πρὸ μικροῦ κατὰ λεπτὸν ἐγράψαμεν τὰς κλήσεις.
Ὅσον οὐκ ἤδη δὲ λοιπὸν κατέπιπτε καὶ Τροία·
οὗπερ καιροῦ παραδρομὴν εἰς πόρθησιν ἐκείνης
θεῶν βουλὴν ὠνόμασε βλεπόντων πρὸς τὴν Τροίαν.
Δία δ' ἐνταῦθα νόησον ἀστέρα τὸν πλανήτην,
τὴν Ἥραν πάλιν, τὸν Ἑρμῆν, τὴν Ἀθηνᾶν, σελήνην·
εἷς γὰρ ἀστὴρ ὁ Ἡρακλῆς, Ἑρμῆς τε καὶ ἡ Ἥρα,
εἷς πάλιν καὶ ἡ Ἄρτεμις, ἡ Ἀθηνᾶ, σελήνη.

(81) C, ἥνπερ.
(83) Sch. in C, et in Anecd. Oxon. t. 3, p. 380: ἔστι καὶ πλάνης (Cram. πλάτης) λεγόμενος καὶ πλανήτης (Cram. πλανίγγης.) Cod. meus non nitide quidem, sed omnino πλανήτης.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Ε (*).

Τότε τῷ Διομήδει δὲ τόλμαν καὶ καρτερίαν
ἡ Ἀθηνᾶ παρέσχηκε δοξάσασα τὸν ἄνδρα·
ἐκ περικεφαλαίας δὲ τούτου καὶ τῆς ἀσπίδος
πῦρ ἀφλεγὲς ἀνέκαιεν ὅμοιον τῷ κυνάστρου.
Μάθε τὸ ἀλληγόρημα τοῦτο, μικρὸν ὑπάρχον.
Ὁ Διομήδης θέλων δὲ τότε γνωσθῆναι πᾶσι,
κάτοπτρον κατεσκεύασεν ἀσπίδι καὶ τῷ λόφῳ
πυρὸς ἐκπέμπον δόκησιν ἀκτῖσι ταῖς ἡλίου,
οἷον ἐνῆν καὶ Ἀχιλεῖ φόβητρον πολεμίοις·
οὐ καυστικὸν δὲ κάτοπτρον οἷον τὸ Ἀρχιμήδους,
ὥπερ ὁ γέρων ἔφλεξεν ὁλκάδας τοῦ Μαρκέλλου
ἐκ τῆς ἀνταναχλάσεως ἡλίου τῶν ἀκτίνων·
ἀλλ' ἀφλεγὲς εἰς πτόησιν ταγμάτων ἐναντίων.
Οὕτω δὲ δρᾶν κελεύουσι πάντες μηχανογράφοι
(Φίλων καὶ Φιλεταίριος, Ἴσσης, Ἀρχιμήδης,
Ἥρων καὶ Διονύσιος, Σώστρατός τε καὶ Πάππος,
ὁ Παλλαδᾶς Ἀθηναῖος σὺν τῷ Ἀπολλοδώρῳ,

(*) Lemmata in A B ut supra. C, ut A. Totis si scriberetur litteris, ὑπόθεσις τῆς Ἐψιλοῦ Ὁμήρου ῥαψῳδίας, versus fieret n .n malus, sed fortuitus omnino.
(2) B, δοξάζουσα.
(4) A, κυνάστρῳ.
(5) A, ὑπάρχων.
(6) Simili speculo utitur Achil'es libro Σ, 228.

(10) A B, τοῦ ἀρχ.
(13) A, ἀφλογές. C, ἀφλαγές.
14) A C, οὕτω γάρ, et γὰρ in codice Crameri. Cramerus enim, in Anecd. Oxon. t. 3, p. 381, versus descripsit 14-19.
(15) C, et Cram. Φιλαιτέριος.
(16) C, et Cram. sine τε.
(17) B, παλληδᾶς. Consentiunt A et Cram. in accentu δᾶς, etiam Tzetzes ad

Κτησίβιος, Ἀνθέμιος μετὰ τοῦ Πατροκλέους,
ἐξ ὧνπερ ἀνεγνώκειμεν πολλὰς μηχανουργίας),
τοιαῦτα μὲν τὰ κάτοπτρα λόφοις καὶ ταῖς ἀσπίσιν,
εἰ δυνατὸν, καὶ θώραξι καὶ σπάθαις ἅμα τούτων,
ὅπως παντοίως ἔκπληξις εἴη τοῖς ἐναντίοις.
Τοιοῦτον ἔχων κάτοπτρον τοῖς ὅπλοις Διομήδης,
εἰς μέσον παρεισέδραμε τὸ στόμα τοῦ πολέμου,
Φηγέα δὲ τὸν Δάρητος στήθει βαλὼν ἀνεῖλεν·
ὃς Δάρης πυρεργάτιδα μετήρχετο τὴν τέχνην
οὗς ἱερεῖς ὁ Ὅμηρος εἶναι φησὶν Ἡφαίστου.
Ὁ δ' Ἀγαμέμνων δόρατι βαλὼν τῷ μεταφρένῳ
τῶν Βιθυνῶν ἀπέκτεινε τὸν στρατηγὸν Ὀδίον.
Ἰδομενεὺς τὸν Φαῖστον δὲ τρώσας κατὰ τὸν ὦμον
ἐκ Σάρδεων ὑπάρχοντα φίλον υἱὸν τοῦ Βώρου.
Τὸν τοῦ Στροφίου δὲ υἱὸν, Σκαμάνδριον τὴν κλῆσιν,
Μενέλαος ἀνῄρηκεν ἄριστον κυνηγέτην
φεύγοντα, τὸ μετάφρενον τρώσας τῷ δορατίῳ.

Lycophr. p. 258, cujus codices tamen ferunt παλλαδᾶς, idque rectius opinor, quum sit decurtatum nomen pro integro Παλλαδόδωρος. C, παλλαδᾶς.

(20) A, λόφαις. Instituo syntaxin cum verbo ὁρᾶν v. 14; μὲν redordiendæ sententiæ inserviet, pro qua particulam malim δὴ, οὖν, δέ. B C, τοιαῦτα κάτοπτρα ποιεῖν poterit etiam jungi verbo κελεύουσι v. 14.

(21) B C, θώραξιν ἅμα κ. σπ. τ. A, σπάθης.

(25) A, φυγέα. Est Φηγεὺς Il. 5, 11.

(27) Homerus Il. 5, 10.

(31) A, ἐκ Σάρων δέ. Homerus Il. 5, 44, ἐκ Τάρνης. Ibi scholium Venetum: πόλις Λυδίας (Αυδίας melius in scholiis Didymi), ἡ νῦν Σάρδεις. — C, βάρου, Homerus l. c., υἱὸν Βώρου.

(34) A, πήξας ἐν δορατίῳ. Scholium in C et in Anecd. Ox. t. 3, p. 381: μετάφρενον τὸν μετὰ τὸν τράχηλον μέρος μεταξὺ τῶν ὤμων, τὴν ῥάχιν... Cramerus et C exhibent quidem τὸν μετὰ τὸν τρ. Sed corrigendum τὸ, vel, servato τὸν, perierit post τράχηλον nomen τόπον. Sic enim scholium ad Il. 2, 265, ubi Ulysses Thersitæ iratus σκήπτρῳ μετάφρενον ἠδὲ καὶ ὤμω πλῆξεν: μετάφρενον· τὸν μεταξὺ τῶν ὤμων τόπον. Reliqui lacunam ante μέρος. Dedit Cramerus ὦ μέρος, et est quidem in C non syllaba scripta, macula potius fere similis litteræ ὦ, pro qua velim reponere τὸ vel ἡ. Post ῥάχιν Cramerus monstrum apposuit securus δεδυσωμίας, quod ferme codex exhibet. Ipse legere mihi videor, δὲ δυσὶν μίαν· scilicet spinam interponi unam duobus dorsi lateribus. Scholium quidem est mutilum, sed Cramerus, vel ejus antiquarius, dormitavit. Vide Θ, 101. Obiter tangam locum Hypati de corporis partibus p. 150: μετάφρενα ἡ ῥάχις. Codex 3035: μετάφρενον. Tzetzes ad Ly-

Φέρεκλον δὲ, τὸν ναυπηγὸν τῶν Ἀλεξάνδρου πλοίων,
δορὶ βαλὼν κατὰ γλουτὸν ὁ Μηριόνης κτείνει·
εὐθὺς γὰρ ἐξεπέρασε τὸ δόρυ πρὸς τὴν κύστιν·
Πηδαῖον δὲ Ἀντήνορος νόθον υἱὸν ὁ Μέγης,
ἐξόπισθε τῆς κεφαλῆς τὸ στόμα περονήσας·
Εὐρύπυλος δ' Ὑψήνορα ξίφει τεμὼν τὴν χεῖρα,
παῖδα τὸν Δολοπίονος, Σκαμάνδρου ἱερέως,
ἀνδρὸς ἰχθῦς θηρεύοντος ἐν ποταμῷ Σκαμάνδρῳ.
Τὸν Διομήδην δὲ πολλοὺς ὡς πρὸς φυγὴν κλονοῦντα
πρὸς δεξιὸν ἐτόξευσε Πάνδαρος ὦμον τότε·
τὸ βέλος δὲ πρὸς τοὔμπροσθε κοῖλον ὀστοῦν ἐξῆλθεν,
ὃ Σθένελος ἀνέσπασεν. Ὁ δ' ἀγρίανας μᾶλλον
δορὶ βαλὼν ὑπὲρ μαζὸν Ἀστύνοον ἀνεῖλεν,
ἀνεῖλε καὶ Ὑπείνορα, πλήξας τὴν ὠμοκλεῖδα,
ξίφει τεμών τε παρεκτὸς τῆς ῥάχεως τὸν ὦμον.
Ἄβαντα καὶ Πολύειδον τοὺς ἀδελφοὺς ἀνεῖλεν,
υἱοὺς τοῦ Εὐρυδάμαντος ἀνδρὸς ὀνειροκρίτου,
καὶ τοὺς υἱοὺς τοῦ Φαίνοπος, Θέωνά τε καὶ Ξάνθον,

cophronis μετάφρενον 688 : μετάφρενον καὶ τὴν ῥάχιν. Id quidem explicationem ῥάχιν tuetur tantum; plurali enim potuit Hypatus uti cujus sunt exempla plurima; vide Bernard. ad Nonnum t. 1, p. 456. Sed quum præbeatur electio, μετάφρενον prætulerim. Vocandus etiam ad partes Lycophronis scholiastes μετάφρενον v. 1112 sic explicans : καὶ τὸν μεταξὺ τῶν φρενῶν, τῶν ὤμων τόπον. Sed non possunt φρενῶν ὤμων poni συνωνύμως. Propono ὤμων καὶ φρενῶν. Non male scholia Veneta ad Il. 5, 40 : μεταφρένῳ, μεθ' ὃ εἰσιν αἱ φρένες. Favorinus Camers : μετάφρενα, τὰ νῶτα, ὅτι ἐξόπισθεν τῶν φρενῶν κεῖται.

(35) B, φίλεκλον, vel φέλεκλον.

(36) A, δόρυ B, δορὶ duplicem simul exhibens lectionem. — Sch. in C et in Anecd. Oxon. t. 3, p. 381 : γλουτὸς τὸ ὄπισθεν μέρος τοῦ ἰσχίου. Conf. n. ad Pachymeris Declamationes p. 95.

(38) A, πήδασον. B, μέδης. Πηδαῖον et Μέγης tuetur Il. 5, 69.

(39) B, ἐξόπισθεν.

(40) C, εὐρύπηλος ἀψήνορα.

(41) A, δολοτίωνος. Il. 5, 77 : υἱὸν Δολοπίονος.

(42) A, θηρεύοντα.

(43) C, διομήδη. B, καὶ πρός. Cf. n. ad librum A, 75, et mox v. 59.

(45) B, τοὔμπροσθεν.

(46) B, πλέον.

(48) A, ἀνεῖλε δὲ ὑπήνορα. B C, ὑπείρονα. Il. 5, 145, Ὑπείνορα.

(49) A, ῥάχεος.

(50) B C, πολύϊδον. Il. 5, 148 : πολύειδον.

(52) C, Φαίνωπος. Il. 5, 152 : Φαίνοπος υἷε.

Ἐχήμονα καὶ Χρόμιον υἱούς τε τοῦ Πριάμου.
Ἀπέκτεινε καὶ Πάνδαρον, βαλὼν παρὰ τὴν ῥῖνα,
καὶ τὸν Αἰνείαν ἔθραυσε λίθῳ βαλὼν μεγάλῳ,
θλάσας αὐτοῦ κοτύλην τε, κόψας καὶ τὰς νευρώσεις·
ἡ δὲ γενέθλιος αὐτὸν ἔσωσεν Ἀφροδίτη
καὶ τόπος ὁ τῆς Ἴδης δε οὗπερ αὐτὸς ἐσπάρη·
ἔφευγε γάρ, τοῖς δένδρεσιν ὡς σκέπῃ κεχρημένος,
ἅπερ φησὶν ὁ Ὅμηρος χεῖρας τῆς Ἀφροδίτης,
καὶ πέπλου πτύγμα φαεινοῦ σώσαντος τὸν Αἰνείαν.
Χειρὸς δὲ τρῶσιν νόησον εἶναι τῆς Ἀφροδίτης,
ἢ ὅτι, φεύγοντος αὐτοῦ, δραμὼν καὶ πρὸς τὸ ὄρος
οὗπερ αὐτὸς ἐσῴζετο, τὴν ὕλην συνδονήσας
εἰς πλείονα τὴν πτόησιν ἐνέβαλεν ἐκεῖνον·
ἢ ὅτι προθυμούμενον ἔπαυσε τοῦ πολέμου,
ὅθε τὴν χεῖρα λέγουσι τρῶσαι τὴν Ἀφροδίτης·
τὴν πρακτικὴν γὰρ ἔσβεσεν ἐπιθυμίαν τούτου,
καὶ τὴν χροιὰν μετήλλαξε τῆς θέας, τοῦ προσώπου,

(53) A B C, ἐχέμονα. Il. 5, 160: Ἐχήμονα.
(54) A B, περί. Il. 5, 291: ῥῖνα παρ' ὀφθαλμόν.
(56) B, θραύσας.
(59) B, καὶ σκέπῃ.
(60) Il. 5, 314: Ἀμφὶ δ' ἑὸν φίλον υἱὸν ἐχεύατο πήχεε λευκώ, Πρόσθε δέ οἱ πέπλοιο φαεινοῦ πτύγμ' ἐκάλυψεν.
(60) B, ὥσπερ — versus 60, 61, 62, desunt in A.
(61) B, πτύσμα... σώσαντα. C, πτύγμα, superscripta glossa δίπλωμα. Scholia Didymi ad verba Homerica πέπλοιο πτύγμα: ἀντὶ τοῦ διπλῷ τῷ πέπλῳ. Et Hesychius: πτύγμα, κόλπωμα, δίπλωμα. Πτύξις, δίπλωσις.
(62) Conf. Il. 5, 336.
(63) Schol. in C ad αὐτου: τοῦ Αἰνείου, Diomedes est ὁ δραμών
(67) A B, ὅθεν. Prætuli ὅθε ex C. Cf. n. ad Proleg. 389. Tzetzes Chil. 7, Il. 116: Ὁ Πυθαγόρας κορυφὴν πάσης φιλοσοφίας Τὴν σιωπὴν ἐνόμιζε καὶ τὸ κρατεῖν τῆς γλώττης· Ὅθεν (Cod. 2644, ὅθε) μετὰ συμπέρασμα πάσης φιλοσοφίας, Καὶ τὸ σιγᾶν πενταετῶς ἐδίδασκε τοῖς μύσταις Βραχέσι κατορθουμένων εὐρυθμήτοις ἄγαν. Editori ultima sic videbantur sananda: βραχέσι κατορθούμενος καὶ εὐρ. Sanum est participium quod ad τὸ σιγᾶν πενταετῶς referendum, et recipiendum ex codice 2644, εὐαριθμήτοις, quod jam proposuit Lud. Dindorf. in Thesauro Græco t. 4, p. 411 D. Est βραχέσι pro ὀλίγοις, ut Chil. 7, 400: φέρεται λόγος οὐ πολλοῖς, γνώριμος δὲ βραχέσι· et Chil. 11, 54: πάνυ δ' εἰσὶ βραχέα. Atque ὅθε codex pro edito ὅθεν Chil. 3, 500.
(68) C, sine γάρ.

ὅθεν οὐδ' αἷμα γέγραφε τοῦ τραύματος ῥυῆναι,
εἶον ἰχῶρα δέ τινα· τὸν ὦχρον οὕτω λέγων.
Τότε λοιπὸν ὁ Σαρπηδὼν ἀνέγειρε τοὺς Τρῶας,
κτείνει δὲ Δηϊκόωντα πρῶτος ὁ Ἀγαμέμνων,
ὄντα φίλον τοῦ Αἰνείου, υἱὸν δὲ τοῦ Περγάσου,
τούτου τὸ σάκος ἐν δορὶ τεμὼν καὶ τὴν γαστέρα.
Θεραπευθεὶς Αἰνείας δὲ υἱοὺς τοῦ Διοκλέους
ἀπέκτεινε τὸν Κρήθωνα καὶ τὸν Ὀρσίλοχόν τε.
Μικροῦ καὶ τὸν Μενέλαον ἔκτεινεν ἂν σὺν τούτοις,
εἰ μὴ συντόμως παρ' αὐτὸν Ἀντίλοχος παρέστη.
Καὶ πέφευγεν Αἰνείας μὲν, οὗτοι δ' ἀνεῖλον τότε,
ὁ μὲν τὸν Πυλαιμένεα, ἀρχὸν τῶν Παφλαγόνων,
ἑστῶτα τρώσας τῷ δορὶ κατὰ τὴν ὠμοκλεῖδα·
Ἀντίλοχος δὲ Μύδωνα, ἡνίοχον τὸν τούτου,
λίθῳ βαλὼν τὸ πρῶτον μὲν εἰς μέσον τὸν ἀγκῶνα,
εἶτα κατὰ τὴν μήνιγγα πλήξας αὐτὸν τῷ ξίφει.
Ὁ Ἕκτωρ δὲ σὺν Ἄρεϊ, θυμῷ μαχιμωτάτῳ,
Μενέσθην καὶ Ἀγχίαλον ἔκτεινε πρώτῃ μάχῃ·
ὁ Αἴας δὲ τὸν Ἄμφιον, υἱὸν τὸν τοῦ Σελάγου,
κατὰ τὸ ὑπογάστριον τὸ δόρυ περονήσας,
ἀντιμαχῶν τῷ Ἕκτορι καὶ πᾶσι Τρωσὶ μόνος,

(70) C, γέγραφε. Homerus scilicet. Il. 5, 340. A C, τρώματος.

(71) A, λέγω.

(73) A, διϊκόωντα. B, δηϊόωντα. Cf. Il. 5, 534.

(74) C, φίλον αἰνείου μέν. A, περγάμου. Cf. Il. 5, 535.

(75) A, τοῦτο τὸ σ. ἐν δόρυ

(76) A, υἱός. in B versus finis legi nequit. Conf. Il. 5, 542.

(77) A, Κρίθωνα.

(79) A, αὐτῷ. B, αὐτούς. C, ἀντίοχος? Idem in eodem codice mendum libro Δ, 22. Adeo facilis lapsus, ut latina interpretatio editionis Ernestinæ a. 1824, quæ in fronte ait esse correctior, hic loci exhibeat Antiochus. Conf. liber Z, 24.

(80) Schol. in C, et in Anecd. Oxon. t. 3, p. 381 : τὸ σχῆμα κατὰ ἄθροισιν (Cram. ἄνθροισιν) καὶ μερισμόν. Ἄθροισις μὲν γὰρ τὸ « οὗτοι », μερισμὸς δὲ τὸ « ὁ μὲν τὸν, Ἀντίλοχος δὲ τὸν δεῖνα ».

(81) A, πυλοιγενέα. Cf. Il. 5. 576.

(85) C, μήνιγχα. B Cf. ad librum Δ, 33. B C, αὐτοῦ, scilicet αὑτοῦ.

καὶ δόρατα δεχόμενος πλείονα καὶ χαλάζης·
ὅτε Τυδείδης ἦν τραπεὶς, ὁ ἀριστεὺς ὁ μέγας,
οὐκ αἰδεσθεὶς τὴν Ἀθηνᾶν τὴν τούτῳ συνεργοῦσαν,
καὶ πῦρ ὅπερ ἐξέπεμπεν ἐκ κεφαλῆς, ἐξ ὤμων.
Ὁ Σαρπηδὼν Τληπόλεμον βαλὼν δὲ πρὸς αὐχένα
τοῦ Ἡρακλέος τὸν υἱὸν κτείνει καὶ Ἀστυόχης·
αὐτὸς δ᾽ ἐλιποψύχησε, μηρῷ προβεβλημένος
ἐκ Τληπολέμου τοῦ δορός· ἄμφω γὰρ ἧκαν ἅμα.
Ὁ Ὀδυσσεὺς ἀνεῖλε δὲ πολλοὺς ἐκ τῶν Λυκίων,
τὸν Κοίρανον, Ἀλάστορα, τὸν Χρόμιον σὺν τούτοις,
Ἄλκανδρον καὶ Νοήμονα, Πρύτανιν, Ἅλιόν τε.
Ἕκτωρ δὲ τὸν Οἰνόμαον, τὸν Τρῆχον, τὸν Ὀρέστην,
τὸν Τεύθραντα καὶ Ἕλενον μετὰ τοῦ Ὀρεσβίου.
Ἀλλ᾽ ὅτε καὶ Περίφαντα υἱὸν τοῦ Ὀχησίου
ἐφόνευε σὺν Ἄρεϊ, θυμῷ μαχιμωτάτῳ,
ὁ Διομήδης ἔφιππος πέλας ἐλθὼν ἐκείνου
εἰς κενεῶνα τέτρωκεν ὁρμαίνοντα θυμῶδες.
Τρῶες δ᾽, ὡς εἶδον τὴν πληγὴν δορὸς πρὸς τὴν λαπάραν,
νομίσαντες τὸν θώρακα τμηθῆναι καὶ τὰς σάρκας,
ἤδη πεσεῖν γε καὶ νεκρὸν τὸν Ἕκτορα δοκοῦντες,
σμερδνὸν πάντες ἐβόησαν· ἀντήχησαν τὰ ὄρη.

(94) A C, ἐξέπεμψεν.
(97) C, ἐλειποψύχησε. A, μέρος προσβεβλημένος. Cf. Il. 5, 660.
(98) B, δουρός. A, ἴσαν. Ad ἧκαν scholium in C: ἔπεμψαν δηλονότι τὰ δόρατα. Τὸ σχῆμα ἔλλειψις, ὅπερ ἐστὶ τῆς συντομίας.
(104) A, ἄλλον τε.. ἠγησίου. B, ὀχησίου. Il. 5, 843: Ὀχησίου ἀγλαὸν υἱόν.
105) A B, ἐφόνευε. Eadem paraphrasis nominis Ἄρης v. 86. Cf. Il. 5, 844.
(107) A, ὁρμαίνοντος. Ad ὁρμαίνοντα scholium in C: ὁρμῶντα νῦν, ἀλλαχοῦ δὲ λογιζόμενον.
(108) A, διός... λαπάρην.
(110, A C, πεσεῖν δε.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Ζ (*).

Τῶν Τρώων ἐμονώθη δὲ καὶ Ἀχαιῶν ἡ μάχη,
ἤγουν ἐρήμη γέγονε θεῶν τῆς συμμαχίας.
θεοὺς ἐνταῦθα δὲ καλεῖ τὰς ψυχικὰς δυνάμεις.
Ἀφ' οὗ γὰρ Ἕκτορος θυμὸν κατέπαυσαν, τὸν Ἄρην,
ἡ Διομήδους Ἀθηνᾶ, φρόνησις σὺν ἀνδρείᾳ,
χωρὶς θεῶν ἐμάχοντο Ἕλληνές τε καὶ Τρῶες·
ἀπῆν γὰρ Ἕκτορος θυμὸς καὶ δόλοι Διομήδους.
Ἐξήπλωτο δ' ὁ πόλεμος, ἐξήνθησεν ἡ μάχη
μέσον τῶν δύο ποταμῶν Σιμόεντος καὶ Ξάνθου.
Πρῶτος δ' ὁ Τελαμώνιος Αἴας Ἑλλήνων πύργος
ἀνήρηκεν Ἀκάμαντα υἱὸν τὸν τοῦ Εὐσώρου,
τὸν ἡγεμόνα τῶν Θρᾳκῶν τῶν ὄντων ἐκ τῆς Αἴνου,
δορὶ κατὰ τὸ μέτωπον ἐκεῖνον περονήσας.

(*) Lemmata codicum ut in prioribus libris.

(7) Scholium in C, et in Anecd. Oxon. t. 3, p. 381 : ἐγνώσθη γὰρ Διομήδης ὅτι κατόπτρῳ μηχανικῷ πυρὸς φαντασίαν προπέμπει, Ἕκτωρ δὲ τῷ πάθει θέμενος μάθος, ἐπαύθη τοῦ συναλογίστῳ καὶ ἀπερισκπέτῳ θυμῷ μάχεσθαι. Editor ad μάθος adscripsit *sic*, quasi attonitus monstro vocabuli. Eruditissimus scholiastes Tzetzes Æschyleorum meminit versuum Agamemnone 171 : Ζῆνα... τὸν φρονεῖν βροτοὺς ὁδώσαντα, τῷ πάθει μάθος θέντα κυρίως ἔχειν. Scilicet Hector calamitate edoctus prudentius jam ac consideratius dimicare statuit; etenim χρήσασθαι τοῖς πταίσμασι διδάγμασι, ἀνδρὸς ἀγαθοῦ καὶ νοῦν ἔχοντος, monente Plutarcho Fab. c. 13. Rursus Æschylus eadem fabula 243 : δίκα δὲ τοῖς μὲν παθοῦσιν μαθεῖν ἐπιρρέπει. Vide de sententia illa proverbiali Blomfieldi Gloss., notulasque meas ad Æschylum, et quæ adposui ad Choriciana p. 260 : τῷ βραδέως αὐτῇ τῇ νόσῳ μαθόντι τὸ δέον. Ibi allego epistolam 92 *Tyanenis*, sic corrumpente typotheta Tyanensis nomen, Apollonii scilicet.

(11) B C, υἱὸν τοῦ ἐϋσώρου. Il. 6, 8, υἱὸν Ἐϋσσώρου, cum varietate Ἐϋσώρου. Bene rejecerunt B C duplex sigma, male servantes diphthongi dialysin quæ est metrica, nec Tzetzæ convenit. A, optime, τὸν τοῦ εὐσώρου.

*Ὁ Διομήδης δ' Ἄξυλον τὸν ἐξ Ἀρίσβης κτείνει,*
*υἱὸν ὄντα τοῦ Τεύθραντος σύναιμον τῆς Τεκμήσσης,*
*ἄνθρωπον πολυχρήματον, πάντας ξενοδοχοῦντα·*
*αὐτὸν καὶ τὸν Καλήσιον δοῦλον ἀνεῖλε τούτου.*
*Τὸν Δρῆσον καὶ Ὀφέλτιον Εὐρύαλος ἀνεῖλε·*
*καὶ Αἴσηπον καὶ Πήδασον ἅμα σὺν τούτοις κτείνει,*
*υἱοὺς τοῦ Βουκολίωνος καὶ τῆς Ἀβαρβαρέης·*
*ὃς Βουκολίων ἀδελφὸς ἦν νόθος τοῦ Πριάμου.*
*Ἀστύαλον παρέπεμψε πρὸς Ἅδην Πολυποίτης,*
*Ὁ Τεῦκρος Ἀρετάονα, ὁ Ὀδυσσεὺς Πιδύτην,*
*Ἀντίλοχος τὸν Ἄβληρον, Ἔλατον Ἀγαμέμνων,*
*παρὰ Σατνίῳ ποταμῷ τὴν Πήδασον οἰκοῦντα.*
*Ὁ Βοιωτὸς δὲ Λήϊτος τὸν Φύλακον ἀνεῖλε,*
*Μελάνθιον Εὐρύπυλος. Τὸν Ἄδραστον δὲ ζῶντα*
*κατέσχεν ὁ Μενέλαος τοῦ ἅρματος πεσόντα·*
*ἐν γὰρ τῷ φεύγειν τοῦ ῥυμοῦ θραυσθέντος πρὸς μυρίκην,*
*κατέπεσε τοῦ ἅρματος. Οὕτω καὶ κατεσχέθη,*
*καὶ σώζειν τοῦτον ἔμελλε Μενέλαος οἰκτείρας·*
*ἀλλ' Ἀγαμέμνων ἔκτεινε λαπάραν δορὶ τρώσας.*
*Νέστωρ δ' ἐξάκουστον βοᾷ λέγων Ἀργείοις τάδε·*
*« Τοὺς ἄνδρας, ἄνδρες, κτείνωμεν πρῶτον, ὡς ἔστι πρέπον·*
*« εἶτα τὰς τούτων ἥσυχοι γυμνοῦτε πανοπλίας,*

(14) A, fine δ', scholium in C, et Anecd. Oxon. t. 3, p. 381 : Ἀρίσβη ὄνομα πόλεως κειμένης πλησίον Ἑλλησπόντου Conf. p. 51. n. 881.

(20) A, βουκουλίωνος. Cf. Il. 6, 22.

(24) A C, ἀντίοχος. Cf. ad librum F, 79. A B C, αὔληρον. Pronunciatio simillima litterarum β υ id mendum peperit. Sic scribunt καλάβροψ καλαῦροψ. λαῦρος λάβρος, Αὐδηρίτης Ἀβδηρίτης, alia. Nuper monebam ad caput Hieroclis ac Philagrii de Abderitis p. 289; modo vidimus A, 29, ῥαύδῳ pro ῥάβδῳ.

(24) B, Ἔλατον δ' Ἀγ.

(25) B, σατνίδῳ, Il. 6, 34 : Ναῖε δὲ Σατνιόεντος ποταμοῖο παρ' ὄχθας.

(26) A, φί vel φήλακον.

(28) B, μετέσχεν.

(29) A, ῥυθμοῦ θραυσθέντος ἐν μηρίῳ. Il. 6, 39 : ὄζῳ ἔνι μυρικίνῳ. Sch. in C, : μυρίκη εἶδος δένδρον μεταξὺ τὴν ἰδέαν τῶν φύλλων ἔχουσα ἐρείκης καὶ κυπαρίσσου. Simile est scholium ad librum K, 61

(32) A, δορὶ τρώσας λαπάραν.

(33) A, λεξας.

(34) B, καὶ ἔστι.

(35) A, γυμνοῦμεν.

« μηδὲ σκυλεύοντες νεκροὺς πολέμου ῥαθυμεῖτε. »
Ἕκτωρ, Ἑλένου δὲ βουλαῖς ἐλθὼν ὡς πρὸς τὴν Τροίαν,
τὰς γεραιὰς ἀθροίσασαν ἐκέλευσεν Ἑκάβην
ἐν τῷ ναῷ τῆς Ἀθηνᾶς θῦσαι λαμπρὰν θυσίαν,
βοῦς ἐξ ἀγέλης δώδεκα τῶν ἐνιαυσιαίων,
καὶ πέπλον ποικιλύφαντον ἀπὸ τῶν Σιδωνίων
θεῖναι τοῖς τοῦ ἀγάλματος γόνασιν, ὅπως παύσῃ
τὸν Διομήδη μάχεσθαι κατὰ τῶν Τρώων οὕτω.
Γλαῦκος τοῦ Ἱππολόχου δέ, σύμμαχος ὢν τῶν Τρώων,
καὶ Διομήδης ἀριστεὺς ὑπάρχων τῶν Ἑλλήνων,
τοὺς ἵππους ἀντεπήλαυνον ἀλλήλοις ὡς πρὸς μάχην·
ἐκ λόγων δὲ ἐγνώρισαν εἶναι παππῷοι φίλοι.
Βελλεροφόντης γὰρ αὐτὸς ὁ πάππος ὁ τοῦ Γλαύκου,
ὁ παριδὼν τὴν Ἄντειαν γυναῖκα τὴν τοῦ Προίτου,
κατ' ἄλλους δὲ Σθενέβοιαν, ἔρωτα σχοῦσαν τούτου,

(36) A, πολέμῳ. Ῥαθυμεῖν genitivo junxit Pachymeres non semel : μελέτης ῥαθυμοῦσι πολιτικῆς p. 62 : τοῦ πολεμικοῦ καθήκοντος ῥαθυμήσοντα, p. 233. Ipse Tzetzes infra II, 285 : ῥαθυμεῖν τοῦ πολέμου.

(37) B, δ' ἑλένου ταῖς β.

(38) A, γεηράς.

(39) Schol. in C, et in Anecd. Oxon. t. 3, p. 371 : τῆς Ἀθηνᾶς, τῆς φρονήσεως. Ἐν τοῖς ἀγροῖς γὰρ οἱ παλαιοὶ Ἄρεος ἵστων (ait Cramer ἵστων esse in litura ; in C est quidem correctionis circa primam syllabam tentamine obscuratum, sed non lituratum) καὶ ἐζωγράφουν ἀγάλματα, ἐν δὲ ταῖς πύλαις τῶν πόλεων καὶ οἰκιῶν (Cramer. οἰκείων, addito sic. In C est οἰκειῶν, unde scripsi ex usu iotacismi οἰκιῶν) Ἀθηνᾶς, συμβολικῶς λέγοντές τε καὶ προτρεπόμενοι, ὡς ἐν τοῖς ἐκτὸς δεῖ (C, et Cr. τῆς ἐκτὸς δὴ, quod correxi) θυμοῦ καὶ πολέμου, ἐν δὲ τοῖς ἐντὸς καὶ ταῖς οἰκίαις (C, et Cr. οἰκείαις) καὶ πόλεσι εὐβουλίας (C, et Cr. εὐβουλείας) τε καὶ φρονήσεως.

(40) B, βόων. A, ἐνηαυσιαίων.

(41) B, ποικιλόφαντον. In C super ποικιλύφ. scriptum ἔργματα, respectu ad Il. 6, 289 : πέπλοι παμποίκιλοι, ἔργα γυναικῶν Σιδονίων. Codices σιδωνίων, bene. Sic Proleg. 385, 389, cum ω Σιδῶνος. Σιδωνίας. Recentiores utuntur plerumque syllaba producta : Homerus metri causa δο et δω exhibet. Corayus ubique Straboni syllabam brevem contribuit, et si non sint in hac scriptura constantes libri. Herodianus Partitionibus p. 123 : Σιδὼν πόλις καὶ κλίνεται Σιδῶνος. Brevior fuit Moschopulus Il. σχ. 1, 53 : Σιδὼν ὄνομα πόλεως. Nam de vocali prima lector monitus, fuit etiam monendus de vocali qua fieret auxesis. Vide Bernhard. ad Dionysium Perieg. 912. In Hieroclis Locis scripsi nuper Σιδώνιος vel contra codices.

(43) B, διομήδην.

(47) A B C, γνωρίσαντες. Correxi ; sed fortasse periit versus unus, cui participium fuerit aptum.

(49) B, παριδών.

ἀνὴρ ὁ σωφρονέστατος, ὁ Χίμαιραν φονεύσας,
θηρίον τὸ τρικέφαλον, τῷ πτερωτῷ Πηγάσῳ, —
ἤγουν ὁ τροπωσάμενος ἔθνη τριπλᾶ τῷ πλοίῳ,
Σολύμους, Ἀμαζόνας τε, τοὺς τῆς ἐνέδρας τρίτους·
Σολύμους μέν, ὡς λέοντας, ὄντας γενναίους ἄνδρας,
ὡς χίμαιραν, ὡς αἶγα δὲ κρημνοβατοῦσαν πάλιν,
τῶν Ἀμαζόνων τὸν στρατὸν Ἄρεος θυγατέρων,
ὡς δράκοντα τὴν ἔνεδραν τῶν ἐλλοχώντων τούτῳ·
καὶ θυγατέρα δι' αὐτὸ λαβὼν τὴν Ἰοβάτου
τὴν κλῆσιν τοῦ ὀνόματος ἔχουσαν Φιλονόην, —
φίλος ὑπῆρχε τῷ Οἰνεῖ τῷ πάππῳ Διομήδους.
Ἀλλήλοις ἀνταμείβουσιν α' τῶν τὰς πανοπλίας,
ὁ Διομήδης μὲν χαλκῆν ἀντὶ χρυσῆς πρὸς Γλαῦκον,
ὁ Γλαῦκος δ' ἔμπαλιν χρυσῆν ὡς πρὸς χαλκῆν ἀμείψας.
Ἡ εἱμαρμένη γὰρ τὸν νοῦν ἐδέξατο τοῦ Γλαύκου,
χάριν φιλίας, τὴν χρυσῆν ὡς πρὸς χαλκῆν ἀλλάξαι.
Ἕκτωρ δέ, μετὰ κέλευσιν τῆς, ἧς εἶπον, θυσίας,
ἦλθε καὶ πρὸς Ἀλέξανδρον πρὸς πόλεμον ὀτρύνων·

(53) A, ἔθνη πολλά... Σολύμους... Quæ repetit libro II, 43 sqq.

(55) B, εἶναι.

(56) A, αἶγα τε.

(58) A, ἐλαχόντων. A C, τούτων. B, sine caret. scripsi τούτῳ.

(59) A, διὰ τοῦτο.

(63) A, χαλκόν.

(64) B, καὶ πρός, et sic mox 66. Cf. n. ad librum A, 75.

(65) Est ἡ εἱμαρμένη allegorice pro Κρονίδης Ζεὺς versus Homerici Il. 6, 234 : Ἔνθ' αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς. In C scholium et in Anecd. Oxon. t. 3, p. 381 : Πῶς δεῖ νοεῖν σε τὸ (C. et Cram. τῷ) παρ' Ὁμήρῳ, « Ἔνθ αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς, Ὃς πρὸς Τυδείδην Διομήδεα τεύχε' ἄμειβε Χρύσεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων » (duos postremos versus non habet Cramerus). Ἐξέλετο ἀντὶ τοῦ ἐξαιρέτους καὶ δεδοξασμένας ἐποίησεν, οὐ μὴν ἄφρονας, ὥσπερ ἂν ἕτερος εἶπε φιλόχρυσος καὶ ἀγεννὴς ποιητής, Ἡσίοδος ἢ καὶ Σιμωνίδης ἢ Πίνδαρος. Ὅμηρος δὲ καὶ ψυχὴν (Cram. τὴν ψ.) προτιθέναι τῶν φίλων παιδεύων, πῶς μικρολογεῖσθαι καὶ φειδωλεύεσθαι πρὸς τοιαῦτα ἐπίσταται; Ἄπαγε. Δεύτερα τὰ τοιαῦτα πάντα φιλίας νομίζει καὶ πολλοστά. Καὶ τὸν Γλαῦκον, ὡς μεγαλόφρονα καὶ λίαν φιλότιμον διὰ φιλίαν φανέντα, γεραίρει τοῖς ἔπεσιν. Quæ interpretandi verbum ἐξέλετο ratio Tzetzæ placuit, et Homericis 125, displicuit pluribus, idque merito

(67) Εἶπον, scilicet hujus libri v. 39.

καί, παροτρύνας καὶ αὐτὸν, οἴκοις ἰδίοις ἦλθεν
ἰδεῖν αὐτοῦ τὴν σύζυγον τὴν κλῆσιν Ἀνδρομάχην,
τὴν παῖδα Ἠετίωνος Κιλίκων βασιλέως,
καὶ σὺν τῇ Ἀνδρομάχῃ δὲ τὸν πεφιλμένον παῖδα,
ὃν Ἕκτωρ μὲν ὠνόμαζε Σκαμάνδριον τὴν κλῆσιν,
οἱ δ' ἄλλοι Ἀστυάνακτα· ῥύστης γὰρ Τρώων Ἕκτωρ.
Τὴν δ' ἐν τοῖς οἴκοις οὐδαμῶς εὗρεν, ἀλλ' ἐπὶ πύργον
ἑστῶσαν καὶ δακρύουσαν ἐν τῷ νικᾶσθαι Τρῶας·
ἣν λογισμοῖς τοῖς πρέπουσι σωφρόνως νουθετήσας,
καὶ τοῦ παιδὸς ἀψάμενος καὶ πατρικῶς φιλήσας,
καὶ τοῦτον ἐπευξάμενος, ὡς εἶδε πτοηθέντα
τὴν πανοπλίαν τὴν αὐτοῦ καὶ πρὸς τροφὸν στραφέντα,
γελάσας, καὶ πρὸς γέλωτα κἀκείνην δὲ κινήσας,
ὥρμησε πρὸς τὸν πόλεμον, θρῆνον λιπὼν κατ' οἴκους·
οὐδὲ γὰρ ἦν προσδόκιμος νοστῆσαι τοῦ πολέμου.
Ἕκτορος δὲ πρὸς πόλεμον ὁρμῶντος ἐπιτρέχειν,
ἐν δόμοις οὐδ' Ἀλέξανδρος ἐβράδυνεν οἰκείοις,
ἀλλ' ὁπλισθεὶς ἐξέδραμεν, ὥσπερ στατός τις ἵππος
πρὸς πεδιάδας ποταμῶν γαυρούμενος ἐκτρέχει,
ὑψῶν αὐτοῦ τὴν κεφαλὴν, τινάσσων καὶ τὰς τρίχας·
οὕτως ἐξ ἀκροπόλεως ὁ Πάρις τότε τρέχων,
λαμπρὸς ἐν ὅπλοις, καὶ φαιδρὸς δικὴν αὐγῆς ἡλίου,
τὸν Ἕκτορα προπέφθακε πρὶν ἐξελθεῖν τῆς Τροίας,

(70) Codd. αὐτοῦ.
(71) A, κηλίκων.
(73) Non est in B. A, ὃν νέκτωρ ἐξωνόμαζε.
(74) A, ῥύστε γάρ.
(75) A, τὴν δὲ το...
(78) A C, ὡς π. φιλήσων.
(79) C, ἐπευξόμενος.
(81) A, κἀκίνην.
(82) A, θρήνους. C, θρῆνον λοπόν.
(84) A, τούτου δὲ πρὸς τὸν πόλ. C, super ἕκτορος δὲ scriptum exhibet τούτου δὲ, debuisset et τὸν addere.
(86) A, στρατός.. ἐντρέχει. In C ad στατὸς scholium: ἐσταυλισμένος. Verbum σταυλίζομαι fit a σταῦλος nomine, latinorum a stabulum n. Scholasticus in Hieroclis Facetiis, p. 207, equi quem

ὅνπερ ἐπαίνοις πρέπουσιν Ἕκτωρ εἰσδεδεγμένος, ἐπηύξατο τοὺς Ἕλληνας τῆς Τροίας ἐξελάσαι.

venditabat, audaciam laudans, ἐν τῷ σταύλῳ, aiebat, μόνος ἕστηκεν. Multa Cangius Glossario V. Σταῦλον, σταῦλος.

(93) Abest a B C.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Η (*).

Σύναμα τούτω τῶν πυλῶν ἐξώρμησαν τῆς Τροίας,
ἀμφότεροι πρὸς πόλεμον ἐμπύρως τεθηγμένοι.
Καὶ Πάρις μὲν ἀπέκτεινε Μενέσθιον ἐξ Ἄρνης,
υἱὸν Ἀρηϊθόου τε καὶ τῆς Φιλομεδούσης,
ὃν πάντες Ἀρηίθοον ἐκάλουν Κορυνήτην·
οὐ τόξοις γάρ, οὐ δόρατι καὶ στόματι μαχαίρας,
ἀλλὰ ῥοπάλῳ σιδηρῷ τὰς μάχας συνεκρότει.
Ἕκτωρ Ἠϊονέα δὲ βαλὼν πρὸς τὸν αὐχένα,
ὁ Γλαῦκος δὲ Ἰφίνοον τοῦ Δεξιοῦ τὸν παῖδα
ἀνῄρηκε τῷ δόρατι βαλὼν κατὰ τὸν ὦμον.
Ἡ δὲ γλαυκῶπις Ἀθηνᾶ, φρόνησις τῶν Ἑλλήνων,
ἰδοῦσα τούτους κτείνοντας στρατὸν τὸν τῶν Ἑλλήνων,
ἐρῶσα καὶ τὸν Ἥλιον νίκην Τρωσὶ διδόντα

(*) Lemmata codicum ut in superioribus libris.

(1) B C, ἐξώρμησε, scilicet Ἕκτωρ τούτῳ τῷ πάριδι. Malui ex A, ἐξώρμησαν, ut τούτω sit dualis numerus.

(3) Scholium in C: Ἄρνη πόλις Βοιωτίας.

(4) B, υἱὸν δὲ ἀρηΐθου τε. Il. 7, 8, υἱὸν Ἀρηϊθόοιο. C, φυλομεδούσης. Homero Φιλομέδουσα.

(5) A, κορονίτην. Scholium in C: ῥοπαλᾶν, ἤτοι ματζουκᾶν. Fortasse omissum nonnihil, verbi causa: παρὰ κορύνην, ῥοπαλᾶν... Codicis exhibeo accentus accurate. Herodianus Epimerismis pp. 70, 233: κορύνη, ματζοῦκα. Nicetæ Choniatæ de Manuele 7, c. 6, nominatur ὁ Ματζούκης vel Ματζουκάκης Θεόδωρος, qui κορυνήτης verbo tenus fuisse videtur; nam in disceptatione quadam ab Eustathio illo Thessalonicensi confutatus, stetit ἐννεὸς καὶ τὰ χείλη μύσας. Vid. ad Herod. mea nota. Radix est *Massa*, Μάτζα. Plura Cangius, Fabrottus Glossario Nicetæ in Ματζουκάκη, collato Corayo Atactis t. 1, p. 195. Zalyces Lexico: *Massue*, ῥόπαλον, ματζοῦκα. Nomen ῥοπαλᾶ nondum videram. Monuit Zalyces ματζοῦκα nomen esse γυναικόν.

(6) A, σὺν στόματι. Cf. Il. 7, 138...

(7) A, ῥωπάλῳ.

(12) Non in B. A, κτείνοντα.

(13) C, διδοῦντα. A, τρωσὶν διδ.

τῷ πέμπειν κατὰ πρόσωπον Ἑλλήνων τὰς ἀκτῖνας,
ᾔτησε μονομάχιον Ἑλλήνων τε καὶ Τρώων.
Καθιδρυθέντων ἄμφω δὲ λοιπὸν τῶν στρατευμάτων
αὐτὸς ὁ Ἕκτωρ ἀναστὰς μέσον τῶν στρατευμάτων,
ᾔτησε τὸν βουλόμενον μονομαχεῖν Ἑλλήνων.
Τῶν πάντων πτοηθέντων δὲ Μενέλαος ὡπλίσθη,
ὑβρίζων πάντας Ἕλληνας Ἕκτορα πτοηθέντας.
Καὶ δὴ νεκρὸς ἂν ἔκειτο χερσὶ ταῖς Ἑκτορείοις,
εἰ μὴ κατέσχον ἅπαντες, ὁ δ' Ἀγαμέμνων πλέον.
Καὶ τότε Νέστωρ ἀναστὰς, καὶ σχετλιάσας μέγα,
καὶ τὴν Ἐρευθαλίωνος εἰπὼν μονομαχίαν,
ὅνπερ ἀνεῖλε νεαρὸς ὑπάρχων τῷ σαρκίῳ,
καὶ τέλος θεὶς τοῖς ῥήμασιν, « Εἰ νέος ἦν εἰσέτι,
« καὶ ἂν πρὸς μονομάχιον Ἕκτορι συνεπλάκην »,
ἄνδρας ἐννέα πέπεικεν Ἑλλήνων ἀναστῆναι,
πρῶτον τὸν Ἀγαμέμνονα, δεύτερον Διομήδην,
εἶτα τοὺς δύο Αἴαντας καὶ τὸν Ἰδομενέα,
τὸν Μηριόνην μετ' αὐτοὺς, Εὐρύπυλον σὺν τούτοις,

(15) A, ἤτισέ μον.

(16) B, καθιδρυσθέντων. A. καθιδρυνθ. C, καθιδρυθέντων. Hoc vocabulum e codice suo Cramerus protulit, lemma scholii sequentis quod inseruit Anecd. Oxon. t. 3, p. 382 : γράφεται (meus caret eo verbo, quod periisse videtur resectum cultro bibliopegi) καὶ ἱδρυνθέντων. Ἱδρυνθέντων, ἰωνικῶς ἱδρυνθέντων (quod deest Cram.) μετὰ τοῦ ν, ὡς τὸ κλινθέντων. Ἀττικῶς δὲ ἄνευ τοῦ ν, ὡς τὸ κλιθέντων, καὶ τὰ ὅμοια. Cf liber K, 77. — A, λοιπῶν.

(17) Non est in C, omissus propter τὸ ὁμοιοτέλευτον duarum clausularum.

(21) A, καὶ μήν... ἐκτορείαις. Prætuli formam masculinam ex B C. Consentiebant metrice in δόξαν Ὁμηρείαν libro Δ, 51 Cf. n. ad A, 107. Tzetzes Chil. 5, 762 : Οἱ Μοῦσαν τὴν οὐρανίαν Ὁμήρου καθελόντες. Metri necessitas omnino masculinum οὐράνιον reponi jubet, quod reperio in bono codice 2644.

(23) In C, ad σχετλ. scholium : δεινοπαθήσας, λυπηθείς.

(24) A, ἐρεθαλιῶνος. K, ἐρευθαλλίωνος. Cf. Il. 7, 136.

(27) C, συνεπλάκη.

(28) A, πέποικεν.

(29) A B C, διομήδην.

(30) ἰδομενῆα.

(31) C, μηριόνη A μυριόνην, permutatione vocalium η υ. In Tzetzæ Chil. 1, 496, ubi πρίσας ξυλύριον μικρόν, malim ξυλήριον. Frustra consului codicem 2644. Perierunt illius Chiliadis versus inter 440 et 581, avulso folio saltem uno, quod debuit esse medium inter folia 15 et 16.

καὶ Θόαντα, καὶ παίγνιον Ὁμήρου Ὀδυσσέα.
Οὗτοι πάντες ἀνέστησαν τάχα μονομαχῆσαι.
Πάντων δὲ λόγοις Νέστορος κλήρους βαλόντων τότε
κυνῇ τοῦ Ἀγαμέμνονος, τοῦ Αἴαντος ἐξῆλθεν,
εἴτε τυχαίως προδραμὼν ἢ κατ' οἰκονομίαν·
ὁ Νέστωρ τότε γὰρ κινῶν ἐτύγχανε τοὺς κλήρους.
Ἐκ κήρυκος τὸν κλῆρον δὲ δεξάμενος ὁ Αἴας,
ὥρμησε καθοπλίζεσθαι· τοῖς Ἕλλησι δὲ λέγει·
« Ἕκτορα, φίλοι Ἕλληνες, δοκῶν νικῆσαι χαίρω·
« ἀλλ', ἕως σὺ ἐνδύομαι αὐτὸς τὴν πανοπλίαν,
« τῇ ἀφανεῖ κατεύχεσθε σύμπαντες Εἱμαρμένῃ
« σιγῇ καὶ λάθρα καθ' αὑτούς, μὴ μάθωσιν οἱ Τρῶες,
« εἴτε καὶ φανερώτερον· φόβος οὐδεὶς ὑπάρχει ».
Οὕτως εἰπὼν καὶ ὁπλισθείς, κραδαίνων καὶ τὸ δόρυ
τρανῶς ἐβάδιζε γελῶν ἐκπληκτικῷ προσώπῳ·
ὅνπερ μεγάλως ἔχαιρον οἱ Ἕλληνες ὁρῶντες,
τρόμος πολὺς δὲ τοῖς Τρωσὶ καὶ Ἕκτορι σὺν τούτοις.
Αἴας δὲ φέρων θυρεὸν στήθει στερρὸν ὡς πύργον,
τὸν ὅνπερ κατεσκεύασε Τυχίος ὁ Ὑλαῖος,
ἑπτὰ βοῶν μὲν ἔχοντα βύρσας ὀχυρωτάτας,
ἄνω πασῶν δὲ τῶν βυρσῶν σίδηρον ὥσπερ βύρσαν,
ἔστη πλησίον Ἕκτορος καὶ μάχην συνεκρότει.
Καὶ πρῶτος Ἕκτωρ μέν, βαλὼν τὴν Αἴαντος ἀσπίδα,

(32) A, καὶ χθόεντα.
(34) A C, βαλλόντων.
(36) A, εἶτα ταχέως προσδρ. B, ἢ τυχ. προσδρ.
(37) B, ὁ ν. τότε γ. ἐτύγχανε τότε κινῶν τ. κλ.
(38) C, ἐκ κήρ. ὁ Αἴας δὲ δεξ τ. κλ.
(40) A, δοκῶ νικῆσαι χαίρων Cf. Il. 7, 191.
(42) A, κατέχεσθε. B, κατεύχεσθαι. Tzetzica εἱμαρμένη est pro Jove Saturnio Homeri, ut passim.
(43) A, κατ' αὐτούς.
(46) A, βοῶν. Cf. Il. 7, 212.
(47) B, ὅνπερ μ. οἱ Ἕλληνες ὁρῶντες ἀνεσκίρτων. Il. 7, 214 Τὸν δὲ καὶ Ἀργεῖοι μέγ' ἐγήθεον εἰσορόωντες.
(50) Scholium in C : Ὕλη πόλις Βοιωτίας

τὸν σίδηρον διέκοψεν ἕξ τε βοείας βύρσας·
ἐν βύρσῃ τῇ ἑϐδόμῃ δὲ τὸ δόρυ κατεσχέθη·
δεύτερος δ' Αἴας προσϐαλὼν κόπτει καὶ τὴν ἀσπίδα
καὶ θώρακα τοῦ Ἕκτορος, μικροῦ καὶ τὴν λαπάραν,
εἰ μή που κλίνας τὸ πλευρὸν ἐξέφυγε τὸν μόρον.
Ἐκσπάσαντες δὲ δόρατα συνέπεσον ἀλλήλοις
καὶ πλήττει πάλιν Ἕκτωρ μὲν τοῦ Αἴαντος τὸ σάκος,
καὶ τὸν χαλκὸν οὐκ ἔκοψε, κλίνεται δὲ τὸ ξίφος.
Αἴας πηδήσας πλήττει δὲ τὴν Ἕκτορος ἀσπίδα,
καὶ τὴν ἀσπίδα κόπτει μὲν καὶ μέρος τοῦ τραχήλου,
κρουνοὶ δ' ἐχώρουν αἵματος. Ἕκτωρ δ' οὐχ ὑπεχώρει,
ἄρας δὲ μέγαν μέλανα λίθον τραχὺν τῷ τότε,
πρὸς ὀμφαλὸν τοῦ Αἴαντος πάλιν τὸ σάκος βάλλει,
καὶ πλεῖον γέγονεν οὐδὲν, ἤχησε δὲ τὸ σάκος.
Δεύτερος Αἴας δὲ λαϐὼν μείζονα τούτου λίθον,
στρογγύλον, ἔπεμψε στερρῶς, καὶ λύει τὴν ἀσπίδα,
λύει καὶ γόνυ Ἕκτορος· ὁ δ' ὕπτιος ἡπλώθη,
ἀσπίδι τούτου στηριχθείς. Τὸν δ' ὤρθωσεν Ἀπόλλων.
Αἴαντος κατὰ πρόσωπον ἥλιος γὰρ ἐκλάμπων
αὐτὸν ἐκώλυσεν ἰδεῖν τὴν Ἑκτορείαν πτῶσιν·
τὸν Ἕκτορα δ' ἀνήγειρεν, Αἴαντος οὐκ ἰδόντος.
Καὶ τότε δὴ καὶ ξίφεσιν ἂν ἔτρωσαν ἀλλήλους,
εἰ μὴ Ταλθύϐιος αὐτοὺς εἶρξε καὶ ὁ Ἰδαῖος·
ἡ νὺξ γὰρ κατελάμϐανεν, ἡμέρας πληρουμένης.
Οὕτω μονομαχήσαντες ἔδον ἀλλήλοις δῶρα,
ὁ Ἕκτωρ μὲν τῷ Αἴαντι ξίφος σὺν ξιφοθήκῃ,

(55) A, βοιας.
(57) A C, δεύτερος Αἴας δὲ βαλών.
(58) B, μικρόν.
(62) A, χαλκοῦν... το δόρυ.
(64) A, πλήττει.
(69) A, μείζονα λίθον τότε.
(74) A, ἑκτορίαν. Fort. Ἑκτόρειον.. Cf. n. ad v. 21.
(75) B, εἰδότος.
(76) B, δὴ ξίφ ἔτρωσαν ἄν.

καὶ πᾶσι παραρτήμασι καὶ τῇ σκευῇ τῇ τούτου·
ὁ Αἴας δὲ τῷ Ἕκτορι κοκκοβαφῆ ζωστῆρα.
Καὶ τούτῳ τῷ ζωστῆρι μὲν Ἕκτωρ, ἐξ Ἀχιλλέως
θανὼν, δεθεὶς ἐσύρετο μετὰ μικρὸν τὸν χρόνον,
Αἴας δ' ἀνεῖλεν ἑαυτὸν τοῦ Ἕκτορος τῷ ξίφει.
Ἀλλὰ ταυτὶ μὲν ὕστερα· τότε δὲ χωρισθέντες,
Αἴας ἀπῆλθεν Ἕλλησι, τοῖς δὲ Τρῶσιν ὁ Ἕκτωρ.
Ὁ δ' Ἀγαμέμνων θύσας βοῦν εὐώχει τοὺς ἀρίστους,
ἐτίμα δὲ τὸν Αἴαντα ῥάχιν βοὸς παρέχων.
Μετὰ τροφὴν ὁ Νέστωρ δὲ δημηγορεῖ γενέσθαι
συναγωγὴν τῇ αὔριον Ἑλλήνων τῶν σφαγέντων
καὶ τάφον ἕνα καὶ πυρὰν μίαν κοινὴν ἁπάντων,
καὶ πόλιν εἰς ἀσφάλειαν τῶν ζώντων καὶ τῶν πλοίων.
Ἀντήνωρ λέγει δὲ Τρωσὶν Ἑλένην ἀποδοῦναι,
μηδὲ ματαίως μάχεσθαι πατήσαντας τοὺς ὅρκους·
Ἀλέξανδρος δ' ἀντέλεξεν οὐχὶ διδοὺς Ἑλένην,
ὅσα δ' ἐξ Ἄργους ἔλαβε χρήματα δοῦναι λέγων,
καὶ ἔτι τούτων πλείονα. Πρίαμος δ' ἔφη τότε·
« Νῦν μὲν δειπνοποιήσασθε, καὶ φυλακὴν ποιεῖσθε·
« τῇ αὔριον Ἰδαῖος δὲ τοῖς Ἕλλησιν λεγέτω
« ὅσα φησὶν Ἀλέξανδρος τὰ νῦν περὶ Ἑλένης,
« καὶ παῦσιν αἰτησάσθω δὲ πολέμου παρ' ἐκείνων,
« ὡς κλαύσωμεν καὶ καύσωμεν νεκροὺς τοὺς πεπτωκότας ».
Ἐλθόντος τῇ ἐπαύριον παρ' Ἕλληνας Ἰδαίου
καὶ καταγγείλαντος αὐτοῖς τὴν γνώμην τὴν τῶν Τρώων,
ἤρεσε μόνον τὸ νεκρῶν στρατοῖς τοῖς ἀμφοτέροις,
Ἐφ' ἁμαξῶν δ' ἀθροίσαντες, καίουσιν ἄμφω τούτους,

(81) Ad παραρτήμασι schol. in C. αἰωρήμασι, κρεμαστῆρσι.
(86) B, ταῦτα.
(92) A, τὴν αὔριον. Sic A B, v. 100.
(103) B, καὶ κλαύσωμεν.
(104) A B C, τῇ.
(107) A C, ἐπ' ἁμαξῶν. A, ἀμφοτέρους.

τοὺς ἑαυτῶν ἑκάτεροι δακρύοντες ὡς δέον.
Ἕλληνες δὲ διέπραξαν ὥσπερ ὁ Νέστωρ εἶπε,
καὶ τάφον ἕνα καὶ πυρὰν δειμάμενοι καὶ πόλιν,
τὴν ἥνπερ ἀπειργάσαντο μονοημέρῳ πόνῳ,
ὥσπερ ὁ Σαρδανάπαλος Τάρσον καὶ Ἀγχιάλην,
ὁ Ἀσσυρίων βασιλεὺς παῖς Ἀνακυνδαράξου.
Ὁ Ποσειδῶν ὁ λέγων δὲ Διὶ περὶ τοῦ τείχους
ὅτι τὸ τεῖχος ἔκτισαν ἄνευ θεῶν θυσίας,
καὶ τοῦ Διὸς οἱ λόγοι δὲ ταῦτα δηλοῦσιν εἶναι·
ἐν τροπικοῖς οἱ Ἕλληνες ἦσαν πυργοποιοῦντες,
οὐχὶ χρηστὸν θεμάτιον κρατήσαντες ἀστέρων·
ὅθε συντόμως ἔμελλε καταπεσεῖν τὸ τεῖχος

(108) B C, δακρύσαντες.

(111) C, ἀπηργάσαντο μονοημέρω τάχει, superscripto πόνῳ, cum scholio. σημείωσαι ὅτι οἱ Ἕλληνες μιᾷ ἡμέρᾳ πολίχνην πλησίον τῆς Τροίας ἐτειχοποίησαν, ὡς ὁ Σαρδανάπαλος Τάρσον ἅμα καὶ Ἀγχιάλην.

(112) B, καίπερ.

(113) A, ἀνακινδαράξου.

(117) Consentiunt A B C. Cramerus in Anecd. Oxon. t. 3, p. 382, ante scholium a se repertum quodque ipse reperi in C, versum habet imperfectum, ἐν τροπικοῖς καταρχῶν, lemma fortasse poematis unde sequentia sunt deprompta. In C post lineolas duas prorsus evanidas sequitur fragmentum poetæ astrologi, Ammonis puto: Ἐν τροπικοῖς οὔτ' αὖ γαμέειν καλὸν οὔτε γάμοιο Ὥραν (hoc addo) μνησθείην ἐρατὴν (sic scribo pro ἐρατεινὴν) τελέειν, οὐ κτήσιος ὠνὴν (sic C. Cram., κτήσιος ἦν, et in nota exhibet compendii figuram prorsus malam). Μήτε δαημοσύνης τέχνης τινὸς ἄρχεο τῆμος. Εἰ δὲ καὶ ἄλλο τι πρᾶγμα θέλεις, μίμνειν ἐπὶ δηρόν. Μή συγε τοῦτ' ἔρξεις (hoc verbum quod exhibet Cramerus fere est in C, finis ξεις certus saltem), τροπικοῖς μήνης ἐλεούσης. Πάντα γὰρ ἐν τροπικοῖσι παλίντονα ἐκτελέουσι, καὶ χρησμοὶ καὶ ὄνειροι ψεύδοντ' ἐν τροπικοῖσι. Ῥηϊδίως ὁ λαβὼν καὶ ἀσπασίως ἀποτίσει. Εἰ δὲ ξένην πλώειν (Cram. et C. πλώην. Melius foret, εἰ δὲ ξείνην πλεῖν) καὶ ὁδεύειν γῆν ἐθέλησθα (Cram et C. ἦν. Sed γῆν et πλεῖν est subridiculum. Fortasse, εἰ δὲ ξείνῃ πλεῖν. « Quod si in extera regione mari terrave iter facere volueris »), Ἐν τροπικοῖς κέλομαι· νόστος δέ τοι ἔσσεται ὠκύς (est νόστος pro lectione scripta νοῦσος conjectura Dubneri v. d., confirmata versibus Ammonis a Tzetza citatis Exegesi p. 33; loquitur Ammon de solidis signis, στερεοῖς, quæ sunt τροπικοῖς contraria; quam adjectivi στερεὸς significationem in lexicis non reperio, nisi innuatur ab Hesychio loco mendoso: Στερεαί τινες τῶν δικαστικῶν ψήφων, ἄλλοι δὲ ἀστέρας. Vide Dorvill. ad Charit. Ammon igitur: Ἐν στερεοῖς ζώοις ξείνην εἰς γαῖαν ἐπειχθεὶς δηρὸν ἐκεῖ μενέεις, καί τοι νόστος βραδύς ἐστιν. Confer Manethonem 6, 359, 360), Καὶ εἰς οἶκον ἴθι τῆμος ξείνης (C et Cram. ξένης) ἀπὸ γαίης. Ἢν δὲ φύγῃ θεράπων κακομήχανος ἐν τροπικοῖσιν, Ἂψ εἰς οἶκον ἄνακτος ἐλεύσεται, οὐδ' ὑπαλύξει. Κλέψας δ' ἐν τροπικοῖσιν ἁλίσκεται, οὐδέ τε λήσει. Cf. liber M 5.

(119) A B, ὅθεν. Vide notata ad Prolegom. v. 389.

ἐπιφοραῖς ὑδάτων δὲ καὶ κύμασι θαλάσσης,
μετὰ τὴν ὑπονόστησιν Ἑλλήνων πρὸς Ἑλλάδα.
Ἐπεὶ βρονταὶ γεγόνασι τότε δὲ πυργουμένου,
αἱ δὲ βρονταὶ πεφύκασιν ὑδάτων καὶ ἀέρος,
εἰκότως ἄγει λέγοντα Διὶ τὸν Ποσειδῶνα.
Ὅτι δ' εἰσὶν εὐέμπτωτα τὰ τροπικοῖς πραχθέντα
πᾶς ἀστρολόγος ἐκβοᾷ, καὶ Καταρχαῖς ὁ Ἄμμων·
ἡλίου δ' ὄντος ἐν ζυγῷ τῶν τροπικῶν ζῳδίων,
οἱ Ἕλληνες ἐπύργωσαν ἐκείνην τὴν πολίχνην,
ἐν ὀκτοβρίῳ τῷ μηνί, κατὰ φωνὴν Λατίνων·
εἰ δ' ἦν τῷ τότε τροπικοῖς οὖσα καὶ ἡ σελήνη,
χωρὶς ἄλλης κακώσεως καὶ βλάβης τῶν ἀστέρων,
ἤρκεσαν ἂν κατάπτωσιν οὗτοι ταχέως πρᾶξαι.
Μετὰ δυσμὰς ἡλίου δὲ τοῦ τείχους πληρωθέντος,
ἐγένοντο βουσφάγια καὶ δεῖπνοι τῶν Ἑλλήνων.
Ἐλθέντων ἐκ τῆς Λήμνου δὲ καὶ πλοίων οἰνοφόρων,
ἅπερ ὁ Εὔνηος υἱὸς Ἰάσονος ἦν πέμψας,
ἔπινον ἐξωνούμενοι, δαινύμενοι παννύχως·
ὁμοίως καὶ οἱ Τρῶες δὲ πάλιν κατὰ τὴν Τροίαν.
Ὁ δ' οὐρανὸς παννύχιον ἐξαίσιον ἐβρόντα,
ὡς ὠχριᾶν τοὺς σύμπαντας τῷ φόβῳ ψυχρουμένους.
Εἶτα τῇ Εἱμαρμένῃ δὲ θύσαντες ἐκοιμῶντο.

(120) B, κύματι.
(125) A, εὐέπτωτα.
(126) A, κατ' ἀρχάς. C, κατ' αρχαῖς. B, καταρχαῖς. Hoc recepi. Innuitur astrologicus liber Ammonis pseudonymi, poemati similis Maximi περὶ καταρχῶν. Ad v. 117 fragmentum ex Ammone, ni fallor, fuit exhibitum.
(132) A, κατὰ πτῶσιν.
(134) C. ἐγίνοντο
(136) A, εὔηνος. Il. 7, 468: Ἰησονίδης Εὔνηος. A, ἴασος ἦν ὁ π.
(137) B, ἔπιον. A, ἔπεινον. C, ἔπινον. B, ἐξωνούμενος.
(140) B. καὶ ὠχρ. A, ὡς ὠχρειᾶ.
(141) B C, θύσαντας κοιμηθῆναι. Et hic τῇ Εἱμαρμένῃ respondet Homerico Κρονίων Il. 7, 481.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Θ (*).

Ἡμέρα μὲν ἐξήπλωτο πρὸς πάσης γῆς τὸ πλάτος·
ὁ Ζεὺς δὲ πᾶσι τοῖς θεοῖς ἐδημηγόρει λέγων·
« Μήτε θεά τις θήλεια, μήτε θεῶν ἀρρένων
« τοῖς Ἕλλησιν ἢ Τρώεσσι νῦν βοηθὸς γινέσθω,
« εἰ μὴ τὴν ἀγανάκτησιν ποθεῖ τὴν ἡμετέραν.
« Ἢ γὰρ εἰς οὐρανὸν ἔλθοι πληγεὶς ἀπρεπεστάτως,
« ἢ ῥίψω πρὸς τὸν Τάρταρον, ὡς γνοίη μοῦ τὸ κράτος.
« Εἰ βούλεσθε δ' ἀπόπειραν λαβεῖν μου τῆς ἰσχύος,
« σειρὰν χρυσῆν κρεμάσαντες πάντες καθέλκετέ με·
« ἀλλ' οὐ καθέλξετε πρὸς γῆν· ἐγὼ δ', ἅιπερ ἑλκύσω,
« ἀνάξω γῆν καὶ θάλασσαν· τοσοῦτον γὰρ ἰσχύω ».
Ταῦτα τοιαύτην ἔχουσι σοφὴν ἀλληγορίαν.
Μετὰ βροντὰς, ἃς εἴπομεν, ἐκείνας τὰς παννύχους,
ἡμέρας ἦν ὁ οὐρανὸς μέσως τεθολωμένος,
μὴ καθαρὸς, μηδ' ἔνομβρος, ἀλλ', ὥσπερ εἶπον, μέσως·
ὅπερ καὶ ἄκραν σιωπὴν θεῶν κατονομάζει,
ὅπερ καὶ κώλυμα φησὶν ἀμφοῖν τῆς βοηθείας.
Μετὰ μικρὸν δὲ κινηθεὶς βραχὺ φαιδρὸς ἐφάνη,

(*) Codicum lemmata similia superioribus.

(2) B, τοῖς λαοῖς.

(4) Pro τοῖς an τὶς ex Il. 8, 7? C, τρώεσσιν. A B, γενέσθω.

(6) Fortasse ἔλθῃ.

(7) A C, γνώσῃ.

(13) εἴπομεν, modo libro II, 139.

(14) A B, μέσον.

(15) A, B, ἄνομβρος. A B C, μέσος. Scripsi μέσως, ὥσπερ εἶπεν.

(16) κατονομάζει, Homerus libro 8, 28.

(17) Schol. in C: ἀμφοῖν, ἤγουν Ἑλλήνων καὶ Τρώων.

(18) B, μικρόν γε.

ὅπερ καὶ λόγους Ἀθηνᾶς καὶ γέλων Διὸς λέγει·
τὴν ἐπὶ πλεῖον κίνησιν ἵππους δὲ λέγει τούτου,
τὴν περὶ Ἴδην στάσιν τε, πύκνωσιν πάλιν νέφους,
ἐκ τῶν ἐνύδρων ποταμῶν τῆς πιδακώδους Ἴδης.
Ἐπεὶ γοῦν ἦσαν εὐτελῆ, τὸ τὰ τοιαῦτα γράφειν
εἰς ὄγκον, εἰς ἀξίωμα καὶ μέγεθος τῶν λόγων
ὁ Ὅμηρος ὁ πάνσοφος ῥητορικῶς ἀνάγων,
μιγνὺς τοῖς ῥητορεύμασι καὶ τὴν φιλοσοφίαν,
ποιεῖται νῦν τὴν σύγκρισιν στοιχείων τῶν τεσσάρων,
καὶ θέλων πάντων κρείττονα δεικνύειν τὸν ἀέρα,
ὡς τοῦ πυρώδους τὸ φαιδρὸν συγκρύπτοντα νεφώσει
καὶ ἀνασπῶντα τοὺς ἀτμοὺς ἐκ γῆς καὶ τῆς θαλάσσης
σὺν τῷ ἡλίῳ, τῇ χρυσῇ σειρᾷ τῇ λελεγμένῃ,
αὐτοῦ δὲ πρὸς τὸ κάταντες γῆς μὴ καθελκομένου,
ἀνθρωποπρεπωδέστερον νῦν προσωποποιήσας,
ὡς βασιλέα τῶν θεῶν πλάττει δημηγοροῦντα
μεγαληγόρῳ τῇ φωνῇ, καὶ λέγοντα τοιαῦτα.
Τοιοῦτον τὸ κατάστημα τῷ τότε μὲν ὑπῆρχεν·
οἱ δ' Ἕλληνες ὡπλίζοντο, τὸ πρῶτον ἐμφαγόντες·
ὁμοίως καὶ οἱ Τρῶες δέ, καὶ τῶν πυλῶν ἐξῆλθον
πεζός λαός τε καὶ ἱππεῖς, καὶ μάχην συνεκρότουν.
Καὶ μέχρι μεσημβρίας μὲν ἰσοπαλὴς ἡ μάχη,
ἐξ ἀμφοτέρων τῶν μερῶν πολλῶν ἀναιρουμένων.

(19) λόγους Ἀθηνᾶς. Cf. Il. 8, 30. A, διὸς γέλων. Cf. Il. 8, 38.

(20) ἵππους. Cf. Il. 8, 41.

(21) περὶ Ἴδην. Il. 8, 47, 50. B, περιόδων σύστασιν. C, στάσιν δε.

(22) A, πιδακόδους. Il. 8, 47: Ἴδην δ' ἵκανεν πολυπίδακα.

(23) B. εὐτελῶς.

(24) B C, τὸν λόγον. Ex A placuit τῶν λογων. Locus est impeditus, ac videtur esse mendum in versu 23. Quidquid sit, sic ordino verba data: Ὅμηρος ἀνάγων τὸ γράφειν τὰ τοιαῦτα εἰς..... μέγεθος τῶν λόγων.

(29) A B, συγκρύπτοντος. C, συγκρίπτοντα. Sæpius in hac syllaba peccatur.

(30) A B, ἀνασπῶντος. C, καὶ ἀν.

(31) A, λεγομένη. Conf. v. 9.

(36) C, τοιοῦτο.

Ἡ Εἱμαρμένη τότε δὲ κλίνει ζυγὸν Ἑλλήνων,
ἤγουν τροπὴν ἐδήλωσε τῷ γένει τῶν Ἑλλήνων.
Βροντῆς καταρραγείσης γὰρ μεγάλης, ἐξαισίας,
ὀργῆς κατήχθη κεραυνὸς στρατῷ τῷ τῶν Ἑλλήνων.
Λοιπὸν σὺν δέει σύμπαντες τῆς μάχης ὑπεχώρουν,
Ἰδομενεύς, Ἀτρείδης δέ, καὶ Αἴαντες οἱ δύο.
Ὁ Νέστωρ ἄκων ἔμενε, τοῦ ἵππου τοξευθέντος
ἐξ Ἀλεξάνδρου πρὸς αὐτῆς τῆς κορυφῆς τὰς τρίχας.
Καὶ δὴ μικρὸν ὑφ' Ἕκτορος νεκρὸς ἂν ἦν ὁ γέρων,

(42) Homericus Πατὴρ Il. 8, 69, poetastro allegoristæ dicitur ἡ Εἱμαρμένη de suore. — Κλίνει ζυγόν. Cf. Il. 8, 72. Scholium in C, et in Anecd. Oxon. t. 3, p. 382 : τὸ ζυγὸν νῦν τὸ ζυγὸν τρυτάνης (quod nomen addo e conjectura), ἀλλὰ καὶ ῷ (pro ῷ quod in C mihi divinare visus sum. Cramerus compendium exhibuit, in quo σ superimpositum literæ μ pede carenti) ζευγνύουσιν· ὑποζυγία παρ' Ὁμήρῳ καὶ τοῖς ἀρχαίοις οὐδετέρως λέγεται.

(45) Scholium in C, et in Anecd. Oxon. t. 3, p. 382 : εἴδη κεραυνῶν ἕξ. Ψολόεντες, πυρόεντες, σκηπτοὶ καὶ καταιβάται. Καὶ ἑλικίαι μετ' αὐτούς, καὶ σὺν αὐτοῖς ἀργῆται. Λέγεται δὲ καὶ ἀργὴς καὶ ἀργήτης. — A, ἀργεῖς. Permutatio fit vocalium η et. Tzetzes Chil. 7, 921 : ἢ ὡς χιὼν μὲν ψυχᾷ, Οὕτω καὶ λύπη τὰς ψυχάς. Invenerat K. ψύχη, quod emendavisse sibi visus est edito ψυχᾷ, sententiam juvans quidem, sed pessumdato metro. Notius aderat ejusdemque vocabulo ψύχη soni verbum ψύχει, quod et sensui erat aptum ac rhythmo. Invenio ψύχει in codice 2644. Plausibiliorem fecit versui medicinam Chil. 4, 188, cujus prius hemistichium syllaba carebat. Narrat Tzetzes Athenienses, Xerxe urbi obsidionem minante, Salamina conjuges, liberos ac pretiosissima quæque asportavisse : Ἦν δὲ τότε συμπάθεια καὶ τῶν ἡμέρων ζώων, Τρεχόντων τὴν θάλασσαν σὺν τοῖς αὐτῶν δεσπόταις. Inseruit τε editor ; τρεχόντων τε τὴν θάλασσαν. Codex multo melius τρ. πρὸς τ. Non æquor currebant, sed ad littus. Canis Xanthippi illius qui fuit Periclis pater, audacior insiluit fluctibus et natando navem sequebatur quæ vehebat dominum, sed cum defecerunt latera, et in ipso littore animam exspiravit. Cani sepulcrum erexit Xanthippus. Reique meminerat Asclepiades, Tzetze teste : Ἀσκληπιάδης τέ φησιν οὕτω κατ' ἔπος λέγων. « Ὃ καὶ κυνὸς καλοῦσι δυσμόρου σῆμα ». Qui versus in Scholiis ad Hecubæ v. 1249, Κυνὸς ταλαίνης σῆμα ναυτίλοις τέκμαρ, recitatur : περὶ τοῦ κυνὸς σήματος καὶ Ἀσκληπιάδης φησίν, ὅτι κυνὸς καλοῦσι δυσμόρου σῆμα. Ferme opinor Tzetzam quamvis μνημονέστατον erravisse, et ad Xanthippi canem male retulisse quod de Hecuba in caniculam mutata scripserat Asclepiades. Etenim verba κυνὸς δυσμόρου σῆμα manifestam produnt Euripidei loci imitationem. Atque ibidem in allegando Æliani loco lapsus est per errorem memoriæ. Vir doctissimus qui choliambicæ poeseos fragmenta collegit, non neglexit Asclepiadis versiculum, quem ex scholio tantum noverat, sed conjunctione ὅτι impeditus, edidit ὅπου, proponens etiam ὅκου κυνὸς καλεῦσι. Tzetzæ scriptura difficultatem removet.

(47) In C super Ἀτρείδης glossa, ὁ Ἀγαμέμνων.

(49) A, τῆς τροίας. B, τὰς κόρας. Lectionem C firmat locus Il. 8, 83 : Ἄκρην κακκορυφήν, ὅθι τε πρῶται τρίχες ἵππων. Firmat etiam B, qui non κόρας, sed κόμας in mente habuit.

εἰ μή περ τοῦτον κατιδὼν ὁ Διομήδης τότε·
τὸν Ὀδυσσέα φεύγοντα κέκραγε συνεργῆσαι·
ὡς δ' οὐδαμῶς ἠδύνατο πείθειν ἀνθυποστρέφειν,
μόνος στραφεὶς ἐξέσωσεν ἅρματι τῷ οἰκείῳ,
τὸ ἅρμα δὲ τοῦ γέροντος Σθένελος, Εὐρυμέδων,
κομίζοντες ἐξήνεγκαν εἰς τὸν στρατὸν Ἑλλήνων·
αὐτὸς δὲ σὺν τῷ γέροντι τοῦ Ἕκτορος ἀντίος
ἐλθὼν, ἀπέκτεινε δορὶ ἡνίοχον ἐκείνου,
Ἠνιοπέα πρὸς μαζὸν βαλὼν κατὰ τὸ στῆθος.
Ἕκτορι δ' Ἀρχεπτόλεμος ἡνίοχος ἀνῆλθε.
Καὶ Διομήδους μέλλοντος ἀνδραγαθεῖν καὶ πάλιν,
βροντὴ φρικώδης, σὺν αὐτῇ καὶ κεραυνὸς ἀργήτης
πρὸ τῶν ποδῶν ἐμπέπτωκε τῶν ἵππων Διομήδους.
Οἱ ἵπποι πτοηθέντες δὲ κρύπτονται πρὸς τὸ ἅρμα·
ἐκ τῶν χειρῶν δὲ Νέστορος ἔπεσον τὰ ἡνία,
καὶ πρὸς φυγὴν παρήλασε πείσας τὸν Διομήδην.
Ὡς δ' Ἕκτωρ ἀνεβόησε, « Φεύγεις, υἱὲ Τυδέως »,
ὁ Διομήδης ἔμελλε πάλιν τοὺς ἵππους στρέφειν,
καὶ τούτῳ συνεισφέρεσθαι πρὸς πόλεμον καὶ μάχην.
Τριστάκις ὥρμησεν αὐτὸ ποιῆσαι Διομήδης,
καὶ τρὶς ἐξ Ἴδης οὐρανὸς ἐβρόντησε μεγάλως
νίκην σημαίνων τοῖς Τρωσίν. Ἕκτωρ βοῶν δὲ μέγα
τοὺς ἑαυτοῦ παρώτρυνεν ἐμβαίνειν πρὸς τὸ τεῖχος,
καὶ πῦρ ζητεῖν ὡς πρήσωσιν Ἑλλήνων τὰς ὁλκάδας,
καὶ πρὸς τοὺς ἵππους τοὺς αὐτοῦ, τὸν Ξάνθον καὶ τὸν Λάμπον,

(51) A, μή πως.
(53) A, καὶ οὐδαμῶς.
(57) A, ἀντίως.
(59) A C, ἡνιοπέα. In B, spiritus nunc evanidus. Homero nomen tenuatur Il. 8, 120. B, βαλὼν τε κατὰ στῆθος.
(60) A, ἕκτορος.

(65) B, χειρῶν τοῦ.
(71) B, εβόντσε. A, ἐβρόντισε. Idem habuit βροντὶ v. 62. Permutatio soli a In Georgidæ Gnomologio p. 45 Anecdotorum Gr. t. I, pro reperto βραδὺς μὴ ἤσθη, scripsi β. μὴ ἴσθι, ac sic bene codex τοῦ Μηνᾶ v. d. nunc obtulit.

εἶτε μὴν καὶ πρὸς τέσσαρας ἵππους τοιάδε λέγει·
« Νῦν μοι τὴν ἐπιμέλειαν ἀπόδοτε, ὦ ἵπποι,
« ἥνπερ ἐμοῦ ἡ σύζυγος ὑμῶν ἐπεμελεῖτο,
« πάρος ἐμοῦ διδοῦσ' ὑμῖν σῖτον φαγεῖν καὶ οἶνον;
« ὁπόταν ἤθελεν αὐτός· ὅθε σπουδάσατέ μοι,
« ὡς τὴν χρυσῆν τοῦ Νέστορος κρατήσωμεν ἀσπίδα;
« καὶ Διομήδους θώρακα ἐξ ὤμων τῶν ἐκείνου.
« Εἰ ταῦτα λάβω, φεύγουσιν Ἕλληνες νῦν Ἑλλάδα:
Ἡ λαλιὰ τῆς Ἥρας δὲ καὶ στόνος Ποσειδῶνος
πνευμάτων κίνημα δηλοῖ καὶ μύκημα θαλάσσης.
Οἱ Ἕλληνες δὲ φεύγοντες ἐπλήρωσαν τὸν τόπον,
ὅσος ὑπῆρχεν ἐξ αὐτῆς τῆς τάφρου πρὸς τὸ τεῖχος,
ἔνθεν ἀπὸ τοῦ τείχους τε πάλιν ὡς πρὸς τὰ πλοῖα,
ὃ λέγεται πωμήριον κατα Λατίνων γλῶσσαν.
Καὶ δὴ πυρὶ κατέφλεξεν Ἕκτωρ Ἑλλήνων νῆας,
εἰ μὴ τὸν Ἀγαμέμνονα Ἥρα, ψυχὴ οἰκεία;

(76) Scholium in C, et in Anecd. Oxon. t. 3, p. 382 : ἐποχοῦντο γάρ τινες τῶν ὑπερόχων τὸ παλαιὸν καὶ τέτρασιν ἵπποις, ὡς Ἀβραδάτης ὕστερον τετραρρύμῳ ἅρματι ἐποχούμενος ἐξήπτων (imo ἐξ ἵππων) ὀκτὼ συνειστηκότι· Manifeste respicitur Xen. Cyr. 6, 1, 51.

(78) A, ἐπεμελεῖται. Il. 8, 188 : ἔθηκεν.

(79) A C, παρὸ ἐμοῦ διδοῦσα μοι. B, παρὸς ἐμοῦ διδοῦσα μοι. Correxi ex Il. 8, 188 : ὑμῖν γὰρ προτέροισι..... ἢ ἐμοί. A, ἄρτον. In C ἄρτον est scriptum super σῖτον.

(80) A, νῦν δὲ σπ. B, ὅθεν σπ.

(81) B, καὶ τὴν... κρατήσαιμεν,

(82) Schol. in C, et in Anecd. Oxon. t. 3, p. 383 : θώρακα. τὸν περὶ το στῆθος πολεμικὸν σιδηροῦν χιτῶνα. Ὁ Διομήδους δὲ θώραξ λωρίκιον ἦν, καὶ οὐ σωσάνιον; ἀλυσειδωτὸν γάρ. Ὁ Ὅμηρος οὕτω φησίν [Il 5, 113]. « Αἷμα δ' ἀνηκόντιζε διὰ στρεπτοῖο « χιτῶνος ». Στρεπτὸς δὲ ὁ ἀλυσειδωτος λέγεται. Ἔδειξα καὶ ὄπισθε [Proleg. 695 et n.] περὶ αὐτοῦ λέγων, εὑρεθέντος ἐν Λογγιβαρδίᾳ, ὅτι τὸ τῶν ζαβῶν πάχος ἰσοπαχὲς εἶχε μεσοπαχεῖ κονδύλῳ. Ὁ Μασιστίου δὲ θώραξ ἐν τοῖς περσικοῖς σωσάνιον ἦν· ὁλόχρυσον γὰρ αὐτὸν λεπιδωτὸν Ἡρόδοτος [9, c. 22] καὶ ἕτεροι φασὶν ἱστορικοί· δι' ὅνπερ θώρακα, τοῦ ἀνδρὸς ἀνῃρημένου, μάχη τοῖς Ἕλλησι πρὸς ἀλλήλους γέγονε καρτερά.

(83) A, λέγω. B C, ἑλλάδι.

(84) Cf. Il 8, 198, 208.

(85) A, πν. μύκημα... μήκημα B.

(87) B, ὅσον.

(88) A, τείχους δέ. B, καὶ πρός. Cf. n ad A, 75. In C scriptum οἰκείας super πλοῖα. Voluit οἰκίας. Cf. scholium proximum et n ad Z, 39.

(89) A, πρ. μήριον Scholium in C et in Anecd. Oxon. t. 3, p. 383 : πωμήριον λατινικῶς λέγεται, τὸ ἀπὸ τῆς τάφρου μέχρι τοῦ τείχους διάστημα, καὶ τὸ ἐντὸς ἀπὸ τοῦ τείχους μέχρι τῶν οἰκιῶν.

(91) Conf. Il. 8, 218.

παρώτρυνεν ὀνείδεσι στῆσαι τοὺς πεφευγότας,
λέγοντα πάντας Ἕλληνας Ἕκτορος οὐκ ἀξίους,
καί γε καταμεμφόμενον πολλὰ τῇ Εἱμαρμένῃ.
Τούτου δὲ σχετλιάσαντος διὰ τὰς ἀτυχίας,
ἐλάφου μόσχον ἀετὸς ἀπέρριψε βαστάζων·
οἱ δ᾽ Ἕλληνες θαρρήσαντες ἐπ᾽ ἀγαθῷ σημείῳ
κατὰ τῶν Τρώων ὥρμησαν καὶ μάχην συνεκρότουν.
Πρῶτος δὲ πάντων ἤλασε τοὺς ἵππους Διομήδης,
καὶ κτείνει παῖδα Φράδμονος, Ἀγέλαον τὴν κλῆσιν,
φεύγοντα, τὸ μετάφρενον δόρατι περονήσας.
Καὶ μετ᾽ αὐτὸν καὶ οἱ λοιποὶ χωροῦσι κατὰ Τρώων
Ἀτρεῖδαι τὲ καὶ Αἴαντες, Ἰδομενεὺς σὺν τούτοις,
ὁ Μόλου Μηριόνης τε μετὰ τοῦ Εὐρυπύλου.
Ἦλθε καὶ Τεῦκρος ἔννατος, τόξοις ηὐτρεπισμένος,
καὶ περιβλέπων ἔκτεινε τοξεύμασι τοὺς Τρῶας·
τοξεύων δ᾽ ὑπεκρύπτετο τῇ Αἴαντος ἀσπίδι,
ὥσπερ τὶς παῖς κρυπτόμενος ταῖς μητρικαῖς ἀγκάλαις.
Ὀκτὼ μὲν οὖν ἀνῄρηκεν οὗτος ἐκ τοξευμάτων,
Ὀρσίλοχον καὶ Ὅρμενον, Δαίτορα, Ὀφελέστην,
Χρόμιον καὶ Μελάνιππον, σὺν τούτοις Λυκοφόντην,
καὶ τούτου τὸν ἀκόλουθον τὸν Πολυαιμονίδην.
Ὁ Ἀγαμέμνων τοῦτον δὲ βλέπων ἐχάρη μέγα,
καὶ δωρεὰς ὑπέσχετο δοῦναι λαμπρὰς ὑστέρως.
Ὁ δὲ κατὰ τοῦ Ἕκτορος τόξευμα πέμψας ἄλλο,
ἀποτυχὼν ἀπέκτεινε νόθον υἱὸν Πριάμου,

(94) Εἱμαρμένῃ Jovi scilicet Il. 8, 286.
(95) A B, σχετλιάζοντος. A. κατά.
(100) B, τείνει Cf. Il. 8, 256.
(101) Glossa ad μετάφρενον in C : τὰς δυσωμίας. Cf. ad librum E, 34.—A, περοχήσας.
(105) B. ,ἔναντος. Homerus Il. 8, 266 : Τεῦκρος δ' εἴνατος ἦλθε. A B, ὅπλοις. Il. 8, 266 : παλίντονα τόξα τιταίνων.
(111) C, λυκοφρόντην. Cf. Il. 8. 275. A, λυκοφῶντα.

Καστιανείρας παλλακῆς ὄντα τῆς ἐξ Αἰσύμης,
τὴν κλῆσιν Γοργυθίωνα, βαλὼν κατὰ τὸ στῆθος·
ὁ δ' ἔκλινε τὴν κεφαλὴν ὡς ἔνδροσος κωδία.
Τεῦκρος δὲ πάλιν ἀστοχεῖ καθ' Ἕκτορος τοξεύσας,
ἡλίου βλάψαντος αὐτόν. Παρὰ μαζὸν βαλὼν δὲ
κτείνει τὸν Ἀρχεπτόλεμον ἡνίοχον ἐκείνου.
Πέπτωκε δ' ἐκ τοῦ ἅρματος· ταράσσονται οἱ ἵπποι,
τούτου συμβάντος. Ἕκτωρ δὲ μεγάλως ἐλυπήθη.
Καὶ τοὺς μὲν ἵππους ἀδελφῷ διδοῖ τῷ Κεβριόνῃ,
αὐτὸς δ' ἀπὸ τοῦ ἅρματος μέγα βοῶν κατῆλθε,
καί γε τὸν Τεῦκρον, μέλλοντα πάλιν τοξεύειν τοῦτον,
πρὸς στῆθος καὶ τὸν τράχηλον λίθῳ βαλὼν μεγάλῳ,
φοράδην ἔπεισεν αὐτὸν ἀχθῆναι πρὸς τὰς νῆας,
Ἀλάστορος βαστάζοντος τοῦτον καὶ Μηκιστέως.
Καὶ πάλιν Τρῶες τρέπουσιν Ἕλληνας πρὸς τὰς νῆας.
Ὁ ἔλεος τῆς Ἥρας δέ, καὶ Ἀθηνᾶς οἱ λόγοι,
οὕσπερ φησὶ δι' Ἡρακλῆ ἐξ ᾅδου σεσωσμένον,
καὶ ὅπερ λέγει πλήρωμα Θέτιδος ἱκεσίας,
καὶ ζεῦξις ἡ τοῦ ἅρματος τῆς Ἀθηνᾶς καὶ Ἥρας

(117) A, καστιανείρας. B C, καστιανείρης. Schol. Αἰσύμη ὄνομα πόλεως.

(118) A, γοργοθύονα. Cf. Il. 8, 302.

(119) C, κωδεία. Scholium in C, et in Anecd. Oxon. t. 3, p. 383 : κωδεία τὸ ὑπνωτικὸν φύτρον (Cramerus addit *sic* et nescio quid figuræ obscurioris pro compendio c dicis, mei saltem. Accentus solitus est φιτρὸς et φυτρὸν) παροξυτόνως, παρὰ τὸ κώματι ἤγουν (Cram. ἤ, compendio, opinor neglecto) δέειν καὶ δεσμεῖν. Κώδεια δὲ ἡ κεφαλὴ προπαροξυτόνως, παρὰ τὸ κεῖσθαι τὰ δέοντα ἐν αὐτῇ, ἤγουν (Cram. ἤτοι) τὸ λογιστικόν. Recepi in fine versus alteram lectionem κωδία. Nominum Κώδεια et Κωδία accentus est vulgo illius antepenultimus, hujus penultimus, ut illud clausulæ versus non conveniat. Utrumque dicitur de papaveris capite. In hoc loco is est omnino vocabuli sensus. Homerus enim Il. 8, 306 : Μήκων δ' ὡς ἑτέρωσε κάρη βάλεν. Alibi poeta transtulit ad hominem, Il. 14, 499 : κώδειαν ἀνασχών.

(121) A, B, περὶ 8, 313 : βάλε στῆθος παρὰ μαζόν.

(122) A, ἐκείνου glossa in C, τοῦ Ἕκτορος.

(126) A B, κατήχθη.

(130) A μικησταῖος. Cf. Il. 8, 333.

(132) Il. 8, 350 : Τοὺς δὲ ἰδοῦσ' ἐλέησε θεὰ λευκώλενος Ἥρη... Il. 8, 357 : τὴν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη.

(134) Cf. Il. 8, 370.

(135) Cf. Il. 8, 382.

ἀποστολή τε Ἴριδος πρὸς τὸ κωλῦσαι ταύτας,
καὶ τοῦ Διὸς ἡ δίφρευσις πρὸς οὐρανὸν ἐξ Ἴδης,
ἐκ Ποσειδῶνος λύσις τε Διὸς ἁρμάτων ἵππων,
καὶ τὰ τοιαῦτα σύμπαντα τοιῶσδε συνεγράφη.
Ὁ Ὅμηρος, ὡς χρονικὸς καὶ συγγραφεὺς τῶν τότε,
ἅπαν μὲν γράφει τὸ πραχθὲν καὶ τὸ συμβὰν τῷ τότε·
τὰ δέ γε περιπέζια καὶ τῶν εὐτελεστέρων
τρέπων ὡς πρὸς ἀξίωμα καὶ μέγεθος τοῦ λόγου
σεμνῶς συγγράφει καὶ δεινῶς, δεινὸς ὢν λογογράφος.
Μετὰ βροντὰς ἃς εἶπον γὰρ καὶ τοὺς δεινοὺς ἀργῆτας
πνεῦμα λεπτὸν ἀπήρξατο καθαίρειν τὸν ἀέρα·
μετὰ μικρὸν ἐφάνη δὲ τῷ οὐρανῷ ἡ Ἶρις,
εἶτα καὶ νέφος κάθυγρον ἐξαναχθὲν ἐξ Ἴδης
τὸν οὐρανὸν ἐπλήρωσεν· εἶτα ῥαγέντος ὄμβρου,
ὃ λύσις ἐστὶ τῶν Διὸς ἁρμάτων Ποσειδῶνι,
χρυσοειδὴς ὁ οὐρανὸς ἐκ πνεύματος ἐφάνη,
οἷα συμβαίνει γίνεσθαι πάντως ὀμβροευδίαις,
καὶ μᾶλλον καταστήμασι φθινοπωρινωτάτοις.
Ταῦτα μὲν ἦν ἐκ τῶν πεζῶν καὶ τῶν ἀφελεστάτων,
ἔθε τὴν ἀνακάθαρσιν ἐκείνην τὴν ἀέρος
Ἥραν καλεῖ καὶ Ἀθηνᾶν, καὶ ἔλεος Ἑλλήνων,
καὶ ζεῦξιν Ἥρας, Ἀθηνᾶς, ἁρμάτων χρυσαμπύκων.

(136) Cf. Il. 8, 398. — A, ἴριδος... καλέσαι.
(137) Cf. Il. 8, 438.
(138) Cf. Il. 8, 440.
(139) A, τοίως δὲ συνεγράφει.
(140) B, ὡς συγγρ. ὡς χρονικός. A, χρ. καὶ συγγρ. τῶ τοτε. C, χρ. ὡς σ.
(142) B, ἀτελεστέρων.
(145) Cf. liber II, 139. A, ἀργήτας. B C, ἀργῆτας. Scholium in C, et Anecd. Oxon. t. 3, p. 483 : λέγεται καὶ ἀργὴς καὶ ἀργήτης· Ὅθεν ἀργῆτας τὸ γῆ, καὶ ὀξύνειν δεῖ καὶ περισπᾶν. Brevius esse videtur id scholium. Ὀξύνειν δεῖ γέ καὶ περισπᾶν γη, ἀργέτας ab ἀργής, ἀργῆτας ab ἀργήτης. Vel ὀξύνειν γη in nominativo ἀργήτης, περισπᾶν in accusativo ἀργῆτας. Cf. n. ad Θ, 45.
(147) B, καὶ οὐρανῷ.
(148) A B, ὅθεν.
(157) A B, ζεῦξις. Mendosus iste nominativus, ortus ex præcedente ἔλεος. Sed ἔλεος nunc est neuter accusativus τὸ ἔλεος. C, χρυσαμπύκων, superscripto χρυσοχαλίνων, quod nomen non potest esse varians lectio, est autem glossa, sed ea mala, quum utriusque vocabuli diversa sit significatio.

Ὁ Ἡρακλῆς ὁ ἥλιος ἐστὶν ἐν τοῖς ἐνθάδε
ὡς κλέος Ἥρας, καὶ τῆς γῆς, ὃν Εὐρυσθεὺς ἐκπέμπει,
ἡ σφαῖρα ἡ οὐράνιος ἥτις εὐρέως θέει,
ἄθλους τελέσαι δώδεκα, τὸν χρόνον ἐκπληρῶσαι
δώδεκα περιτρέχοντα τμήματα τῶν ζωδίων,
Κριὸν, Ταῦρον καὶ Δίδυμον, Καρκῖνον, Λέοντά τε,
Παρθένον ἅμα καὶ Ζυγὸν, Σκορπιὸν καὶ Τοξότην,
Αἰγόκερων, Ὑδρόχουν τε, καὶ σὺν αὐτοῖς Ἰχθύας·
οὓς ἄθλους ἀπεργάζεται, τρέχων οἰκείους δρόμους
δυσμόθε πρὸς ἀνατολὰς, τῆς σφαίρας ἐναντίος,
οὗτος οἰκεῖος δρόμος γὰρ τυγχάνει τῶν πλανήτων.
Ἔστι καὶ δρόμος ἕτερος τούτου, τῶν ἀνοικείων,
ὃν καθ' ἑκάστην τρέχει μὲν ἐξ ἕως πρὸς τὴν δύσιν,
ἄκων περιφερόμενος σφαίρᾳ τῇ οὐρανίῳ,
δύνων καὶ ἀνερχόμενος ποιῶν τὰς νυχθημέρους,
τὰς ὥσπερ δύσεις κάθοδον πρὸς ᾅδην εἶναι λέγει,
Ἅδου δὲ κύνα τὸ ὑγρὸν καὶ τῶν ὑδάτων φύσιν,
ἐξ ὧνπερ ἀπαρύεται ἥλιος, γῆς ἐκτρέχων.
Ἐκ γοῦν τοῦ λέγειν Ὅμηρος ἐξ Ἀθηνᾶς τοιαῦτα,
ὡς, εἰ μὴ τοῦτον ἔσωζεν, οὐκ ἂν ἀνῆλθεν αὖθις,
ἐξ ἀναθυμιάσεων δοκεῖ κινεῖν τὴν σφαῖραν,
ὡς οἱ λοιποὶ φιλόσοφοι, πλὴν Ἀριστοτελείων.

(158) De Hercule et Eurystheo Il. 8, 362... Scholium in C, et in Anecd. Oxon. t. 3, p. 383 : Ἡρακλῆς ὡς κλέος Ἥρας καὶ τῆς γῆς. Τὸ σχῆμα παρετυμολογία καλεῖται.
(160) B, εὐθέως.
(161) B, ἄλλους.
(162) C, περιέχοντα,
(163) A B C, δίδυμον. Dixit δίδυμον, quum διδύμου; lex metrica rejiceret.
(165) A, αἰγόκερον.
(167) A B, δυσμόθεν. A C, ἐναντίως. Ovidii Phœbus : « contrarius evehor orbi ».
(169) In C glossa super τούτου : τοῦ ἡλίου.
(170) B, μὲν τρέχει.
(173) Homerus scilicet λέγει, Il. 8, 367.
(174) Cf. Il. 8, 368.
(175) A, ἀπερρύεται. B, ἀπαρρύεται... ἐκτρέχει.
(176) A, τῶν.
(177) B, καὶ εἰ.
(179) B, καὶ οἱ λ. C, ὡς καὶ λ.

Ἀριστοτέλης δ' ἄναρχον εἶναι τὴν σφαῖραν λέγει,
αὐτοκινήτως ὑφ' αὐτῆς κινεῖσθαι δογματίζων.
Τῆς ἱκεσίας Θέτιδος ἡ πλήρωσις τυγχάνει
τὸ γεγονέναι κάθυγρον τὸν οὐρανόν, ὡς εἶπον.
Τὰ δ' ἄλλα πάντα σοι σαφῆ μακρηγορεῖν οὐ πρέπει.
Μετὰ γοῦν τὸ κατάστημα τοῦτο νυκτὸς ἐλθούσης
Ἕκτωρ ἐδημηγόρησε τροφὰς ἐκ Τροίας ἄξαι
ὅσα τε τούτοις ἕτερα τῶν χρειωδῶν ὑπάρχει
ἔξωθε δὲ τῆς πόλεως πάντας δειπνοποιεῖσθαι,
πυρκαϊὰς ἀνάπτειν τε μέχρι καὶ τῆς ἡμέρας,
μὴ κατὰ νύκτα φύγωσιν Ἕλληνες ταῖς ὁλκάσι·
τοῖς κήρυξι δ' ἐκέλευσε συλλέγειν κατὰ Τροίαν
τοὺς παῖδας καὶ τοὺς γέροντας εἰς φυλακὴν τῶν πύργων,
τῶν γυναικῶν ἑκάστην τε πῦρ ἔχειν ἐν οἰκίαις,
καὶ φυλακὴν καὶ προσοχὴν ἀκριβεστάτην εἶναι,
μὴ λάθῃ λόχος ἔνεδρα δραμεῖν ὡς πρὸς τὴν πόλιν,
καὶ ταύτην ἐκπορθήσωσιν, ἀπόντων στρατευμάτων.
Οὕτως εἰπόντος Ἕκτορος ἀπεπληροῦτο πάντα.
Μέσον δὲ τοῦ Σκαμάνδρου τε καὶ τείχους τῶν Ἑλλήνων
οἱ Τρῶες ἦσαν καίοντες πυρκαϊὰς χιλίας,

(180) A, λέγων. Cf. De cœlo 1, 9, etc.
(181) A, δογματίζει.
(182) Cf. supra v. 148.
(184) B, πρέπον.
(188) A B, ἔξωθεν.
(193) A B, δέ. Scholium in C : λείπει τὸ λέγειν, ἵν' ᾖ ἐκέλευσε λέγειν πῦρ ἔχειν ἐν οἰκίαις. Nulla fit ellipsis.
(195) B, καὶ πρός. Cf. n. ad A, 75.— Sedes nominis ἐνεδρα lectorem metricum a pronunciatione solita, ἐνέδρα, aberrare cogit, et tonum antepenultimæ imponere. Sic pronuntiavisse Tzetzam manifestum est ex alio loco Chil. 12, 519 : Λόχος δὲ καὶ ἡ ἔνεδρα κάλυμμα καλεῖται. Quod vitium notaverunt doctissimi editores Thesauri Græci novi. Est enim a longum in ἐνέδρα, teste Arcadio p. 194 : τὰ εἰς ρα μετ' ἐπιπλοκῆς συμφώνου ἐκτείνει τὸ α, ἐνέδρα... Ipse etiam Tzetzes regulam bene noverat, cujus hoc est scholium in Crameri Anecdotis Oxon. t. 3, p. 361, ad epistolam XIII (imo 14) : τὰ εἰς ρα θηλυκὰ μονοφθόγγῳ παραλήγοντα ἐκτείνει τὸ α, χώρα, ὥρα, χήρα· διφθόγγῳ δὲ, συστέλλει αὐτό, μοῖρα, σπεῖρα, καὶ τὰ ὅμοια. Τὰ δὲ μετ' ἐπιπλοκῆς συμφώνων, εἴτε μονοφθόγγῳ εἴτε διφθόγγῳ παραλήγοντα ἐκτείνει τὸ α, οἷον Φλέγρα, Φαίδρα, ἐγκλεῖστρα, πέτρα, καὶ τὰ ὅμοια.
(197) A C, ἀπεπληροῦντο.

*ἄνδρες δ' ἦσαν πεντήκοντα πυρκαϊῶν ἑκάστῃ.*
*Τῶν ἐγχωρίων τὸ ποσὸν Τρώων ἐνταῦθα γράφει,*
*πεντήκοντα χιλίους σοι λέγων τοὺς πάντας εἶναι,*
*πλὴν μέντοι τῶν συμμάχων τε καὶ τῶν ἐπικουρούντων·*
*οὗτοι γὰρ τριπλασίονες τῶν ἐγχωρίων ἦσαν·*
*ὅτε δ' ὁ Μέμνων ἅμα τε καὶ Πολυδάμας ἦλθε,*
*τίς ἀριθμήσει τὸν στρατὸν τὸν συνηγμένον τότε;*

(203) A B, ἐπικουρίων.

(204) Schol. in A C, et in Anecd. Oxon. t. 3, p. 383: μετὰ τοῦ Αἰθίοπος Μέμνονος ὕστερον σύμμαχος ἦλθε τῇ Τροίᾳ Πολυδάμας ὁ Ἰνδός. Ὁ γὰρ Τρωϊκὸς Πολυδάμας ὁ Πάνθου υἱός μιᾷ νυκτὶ γεννηθεὶς ὅτε καὶ Ἕκτωρ, ὁ καὶ Τρωϊκὸς βουληφόρος ἀεὶ τῇ Τροίᾳ παρῆν. Τέως σημείωσαι ὅτι Ἕκτωρ νυκτὸς γεννηθεὶς ἀρεϊκὸς ἦν, καί, τὸν γενέθλιον Ἄρην ἔχων αἱρετὴν καὶ οὐ παναιρέτην (C, παναιρίτην), γενναῖος ἦν τὰ πολεμικὰ διὰ τοῦτο.

(205) A C, ὅταν, Mox A, τότε συν.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Ι (*).

Οὕτως οἱ Τρῶες μὴ φυγεῖν τοὺς Ἕλληνας ἐτήρουν.
Ἕλληνες πάντες δὲ φυγῇ κατείχοντο καὶ φόβῳ,
πένθος δ' ἀνυπομόνητον εἶχε τοὺς ἀριστέας.
Καθάπερ ὁ Βορέας δὲ πνεύσας ὁμοῦ καὶ Νότος
ταράσσουσι τὴν θάλασσαν, ὑψοῦται δὲ τὸ κῦμα,
οὕτω μερίμναις καὶ αὐτοὶ διπλαῖς ἐκυματοῦντο.
Ὁ βασιλεὺς, μεγάλῃ δὲ τῇ λύπῃ βεβλημένος,
ἁπανταχοῦ διήρχετο, τοῖς κήρυξι κελεύων
καλεῖν εἰς τὸ συνέδριον ὀνομαστὶ τοὺς πάντας,
ἄνευ βοῆς. Τῶν πάντων δὲ τότε συνηθροισμένων
καὶ περὶ τὸ συνέδριον ἐν θλίψει καθεσθέντων,
ὁ Ἀγαμέμνων ἀναστὰς, δάκρυα χέων, λέγει·
« Ὦ στρατηγοὶ καὶ βασιλεῖς Ἑλλήνων πεφιλμένοι,
« ὁ Ζεὺς, ἡ εἱμαρμένη, με μεγάλως ἀεὶ βλάπτει.
« Λοιπὸν, ὦ φίλοι, φεύγωμεν πλοίοις εἰς τὰς πατρίδας·
« οὐκέτι τὴν πλατύοδον πορθήσομεν γὰρ Τροίαν ».
Πάντων ἡσυχασάντων δὲ, φησὶν ὁ Διομήδης·
« Οὕτω δοκεῖς ἀπόλεμον τὸ γένος τῶν Ἑλλήνων;
« Εἴπερ αὐτὸς, ὦ βασιλεῦ, ἀνθυποστρέφειν θέλεις,

(*) Lemmata codicum similia præcedentibus.

(3, B, ἀριστῆας.

(7) C, μεγάλως. A B, τῇ λύπῃ δὲ μεγάλως βεβλ. Il. 9, 9 : Ἀτρείδης δ' ἄχεϊ μεγάλῳ βεβολημένος ἦτορ. B, ἐν λύπῃ.

(14) Pronomen non bene junctum est priori hemistichio. Fortasse Tzetzes scripsit ipse : M. ἀεὶ βλάπτει με ὁ Ζ. ἡ εἱμ.

« ἀπέρχου· πάρεστιν ὁδός· πλησίον τῆς θαλάσσης
« ὁλκάδες ἅσπερ ἤγαγες πολλὰς ἐκ τῆς Μυκήνης.
« Ἄλλοι δὲ καρτερήσουσιν εἰς πόρθησιν τῆς Τροίας.
« Εἰ δὲ καὶ οὗτοι θέλουσι, φευγέτωσαν οἱ πάντες·
« ἐγὼ δὲ καὶ ὁ Σθένελος ἐγκαρτεροῦμεν μόνοι ».
Πάντες μὲν οὖν ἐβόησαν θαυμάσαντες τὸν λόγον.
Ἀνέστη καὶ ὁ Νέστωρ δέ, καί, τοῦτον ἐπαινέσας,
λόγον παρέρριψε δεινῶς ῥητορικῷ τῷ τρόπῳ,
τὴν ἔριν Ἀγαμέμνονος σύρων καὶ Ἀχιλλέως.
Εἶπε γάρ· « Ὅστις ἔρωτα μάχης ἐμφύλου τρέφει
« χωρὶς ὑπάρχει συγγενῶν, ἄδικός τε καὶ πένης.
« Ἀλλὰ πεισθῶμεν νῦν νυκτί, νυκτερινὸν φαγόντες
« φύλακας δὲ χωρίσωμεν ἔξω πρὸς τάφρον μένειν.
« Σύ, βασιλεῦ, πρὸς τράπεζαν κάλει δὲ τοὺς ἀρίστους
« καὶ συμβούλευσον μετ' αὐτῶν. Χρεία βουλῆς μεγάλης·
« ἐγγὺς γὰρ οἱ πολέμιοι πῦρ καίοντες παννύχως
« Ἡ νὺξ δὲ σώσει τὸν στρατόν, ἢ φθείρει πάντως αὕτη ».
Οὕτως εἰπόντος ὥρμησαν εἰς φυλακὴν ἐνόπλως
φύλακες ἑπτακόσιοι, ἑπτὰ δὲ στρατηγέται,

(21) B, ὀλκάδας. A, ὀλκάσιν. Confer. Il. 9, 43.

(22) A. καρτερήσωσιν.

(26) Ad τοῦτον in C glossa interlinearis : τὸν Διομήδην.

(29) C, ἐμφίλου. Sic olim in Planudis Ovidiana Metamorphosi p. 276 corruptum notavi ἐμφιλίῳ πολέμῳ pro ἐμφυλ. Anonymus in Georgidæ Gnomologio t. 1, p. 15 Anecdotorum Gr. meorum : βαρβαρικὸν φίλον καὶ βάρβαρον τὸ φιλάνθρωπον. Sententiæ sensum reddit lectio codicis τοῦ Μηνᾶ ; βαρβ. φῦλον καὶ βάρβαρον ἀφιλάνθρωπον. Nomen auctoris adscriptum est sic, ἀντιοχ. Sententiæ alii, δι' ἀκοῆς μὴ μέμψῃ ποτέ τινά, quam p. 28 edidi anonymam, codex idem nomen tribuit auctoris, Αντιο. Hanc quæsivi in Antiochi monachi Pandecte S. Scripturæ, reperique cap. 31. Citat Antiochus velut ex Proverbiis verba quæ sumta indicavi ex Sapientia Sirach, et cum varietate minimi momenti. Sirach et Antiochus et τοῦ Μηνᾶ liber exhibent ἐν μέσῳ λόγων, ipse, codici meo, ni fallor, obsequutus, ἐν μέσῳ λόγῳ. Priorem sententiam, Antiochum cursim quidem evolvens, non inveni. Illum fortasse rursus adibo ; non est despiciendus.

(32) A B, χωρήσωμεν.

(36) B, νύξ γέ.

(37) B, ὥρμησεν. Ἐνόπλως adverbium rarum. Hesychius : περιχορίζειν ἐνόπλως συντόνως ὀρχεῖσθαι. Conjecit v. d. ἐν ὅπλοις, cui bono? Rarius πανόπλως occurret libro M, 31.

Ἀσκάλαφος, Ἰάλμενος, ἅμα καὶ Θρασυμήδης,
ὁ Μηριόνης, Ἀφαρεὺς, Δηίπυρος σὺν τούτοις,
καὶ Λυκομήδης Κρέοντος φίλος υἱὸς ὑπάρχων.
Ἐλθόντες δ' ἐκαθέσθησαν τείχους καὶ τάφρου μέσον,
καὶ πῦρ ἀνάψαντες ἐκεῖ νυκτερινῶς σιτοῦνται.
Ὁ βασιλεὺς καλέσας δὲ τοὺς πρώτους τῆς συγκλήτου
ἁβραῖς τραπέζαις καὶ τρυφαῖς δέχεται βασιλείοις.
Μετὰ τροφὴν ἀνέστη δὲ Νέστωρ βουλεύων τάδε·
ἐξευμενίσαι τῷ στρατῷ παντὶ τὸν Ἀχιλέα
ἐν λαμπροτάταις δωρεαῖς καὶ λόγοις πραοτάτοις.
Συγκατετέθη τοῦ λοιποῦ τοῖς λόγοις Ἀγαμέμνων,
ἑπτὰ μὲν δοῦναι τρίποδας μήπω πρὸς πῦρ τεθέντας,
ἑξήκοντα νομίσματος χρυσίου χιλιάδας,
λέβητας εἴκοσι, πρὸς πῦρ καὶ πρὸς λουτρὰ χρησίμους,
ἵππους ἐκκρίτους ἀθλητὰς δώδεκα, νικηφόρους,

(40) A, δηίπυλος. Cf. B. 9, 83.

(44) A, κελεύσας.

(45) A C, τροφαῖς. B, τρυφαῖς. Electio difficilis. Cf. v. 139. Permutatio illorum nominum passim obvia, de qua agere nec breviter memini ad Eunapium. Eustathius utrumque junxit 1, p. 14 : τὰ δὲ περὶ τροφὰς καὶ τρυφὰς τί δεῖ κατὰ μέρος φιλοκρινεῖν. Lego φυλοκρινεῖν. De qua confusione monui ad Planudem Met. p. 276, ad Æneam Gazeum p. 183. Verbum φιλοκρινεῖν tuetur in Thucydide vir doctissimus et cujus opinioni multum semper tribui ac tribuam.

(47) B, ἐξευμενῆσαι.

(49) B, συγκατεσχέθη, quod nunc vix potest divinari ex reliquiis, συγ τε χεθη. Cf. v. 57.

(50) Schol, in C et in Anecd. Oxon. t. 3, p. 383. τρίποδας, ὑδροδόχα δοχεῖα. Τινὰ μὲν εἰς μαντείας χρησιμεύονται, τινὰ δὲ εἰς ἐπίχυσιν θερμῶν λουτρῶν. Οὔπω γὰρ λουτρῶνες τοῖς παλαιοῖς ἐγνωρίζοντο· ἀλλὰ τοῖς τρίποσι τούτοις τὸ ὕδωρ θερμαίνοντες ἐλούοντο, ὡς Ὅμηρος δείκνυσι διὰ Ἀνδρομάχην λέγων [Il. 22, 442. Cramerus citati loci tria tantum apposuit verba]. « Κέκλετο δ' ἀμφιπόλοισιν ἐϋπλοκάμοις κατὰ δῶμα Ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα πέλοιτο Ἕκτορι θερμὰ λοετρὰ μάχης ἐκνοστήσαντι ». Ἐκ γὰρ τῶν περὶ Ἑλλήνων λεγομένων, οὐκ ἔστι ῥᾳδίως τοῦτο τινὰ συμβαλεῖν. Ἴσως γὰρ ἄν τις ἐρεῖ· ἀπεξενωμένοι τῆς πατρίδος, καὶ μὴ εὑρίσκοντες λουτρῶνας, οὕτω τοῖς τρίποσιν ἐλούοντο. Ἐκ δὲ οὗ εἴπομεν περὶ Ἕκτορος, βασιλέως τε ὄντος καὶ ἐν τῇ οἰκείᾳ πατρίδι ὑπάρχοντος, κατάδηλον γίνεται ὅτι οὐκ ἦσαν λουτρῶνες τοῖς παλαιοῖς. Cf. scholium infra ad libr. K, 75.

(51) C, νομίσματα.

(52) Scholium in C et in Anecd. Oxon. t. 3, p. 384 : ὁ λουτρὼν λέγεται τὸ βαλανεῖον ἀρσενικῶς· τὸ λουτρὸν δὲ τὸ θερμὸν ὕδωρ ᾧ (C ὧ δ) λουόμεσθα (Cram. λουόμεθα), καὶ τὸ ψυχρόν.

(53) De equis Achilli promissis ab Agamemnone ἀστεϊσμοὺς Tzetzæ et παρῳδίαν videsis in Chil. 10, Hist. 319. Res

ποικιλεργοὺς ὡραίας δὲ κόρας ἑπτὰ Λεσβίδας,
σὺν αἷς καὶ Ἱπποδάμειαν ὀγδόην τὴν Βρισέως,
ὀμόσας τι τὸ σύνολον αὐτῇ μὴ συνειδέναι.
Ταῦτα δοθῆναι Ἀχιλεῖ καθυπεσχέθη τότε·
μετὰ δὲ Τροίας πόρθησιν καθυπισχνεῖτο πάλιν
πλεῖον χρυσοῦ τε καὶ χαλκοῦ πλῆρες αὐτῷ δοθῆναι,
καὶ αἰχμαλώτους Τρωϊκὰς εἴκοσι τῶν ὡραίων,
εἰς Ἄργος δ' ὑποστρέψαντα γαμβρὸν αὐτὸν ποιῆσαι,
ἰσότιμον ποιῆσαι τε Ὀρέστῃ τῷ φιλτάτῳ,
λαβόντα τούτου τῶν τριῶν ἣν θέλει θυγατέρα,
τὴν πρώτην τὴν Χρυσόθεμιν, εἴτε τὴν Λαοδίκην,
εἴτε τὴν Ἰφιάνασσαν· φερνὴν δ' αὐτῷ δοθῆναι
πόλεις ἑπτὰ πρὸς θάλασσαν κειμένας τὰς ἁπάσας,
Πήδασον, Αἴπειαν, Φηράς, Ἄνθειαν καὶ Ἐνόπην,
τὴν βοτανώδη τε Ἱρήν, ὁμοῦ καὶ Καρδαμύλην.
Ἐν τούτοις πρέσβεις πέμπουσιν ὡς πρὸς τὸν Ἀχιλέα,
Φοίνικα καὶ τὸν Αἴαντα μετὰ τοῦ Ὀδυσσέως,
καὶ κήρυκας Ταλθύβιον ἅμα καὶ Εὐρυβάτην,
ὅπως τοῖς δώροις τὴν ὀργὴν πείσωσιν ἀποθέσθαι.
Πολλὰ δ' εἰπόντος πρὸς αὐτὸν πρῶτα τοῦ Ὀδυσσέως,

est parvi momenti; attamen miror ne verbulo quidem fuisse indicatam in Heyniana farragine.

(54) B, ὡραίους. A, λεσβῖδας.

(61) A, ἄρνους ὑποστρέψαντες. C, δ' ὑποστρέψαντας.

(62) A B, δέ.

(63) C, θέλεις. B, θυγατέρων.

(64) A B, εἴτε καί.

(65) A B, φέρνην αὐτῷ.

(66) Scholium in C: αὗται πᾶσαι παραθαλάσσιοι πόλεις εἰσὶν Ἀρκαδίας.

(68) A, βροτανόην τε. A B C, ἅμα. In C super ἅμα scriptum ὁμοῦ elegi quum mox redeat ἅμα.

(70) Non est in C.

(71) Scholium in C, et in Anecd. Oxon. t. 3, p. 384: κήρυκας, μανδάτορας, μᾶλλον δὲ τοὺς νῦν λεγομένους τζαουσίους. Est τζαούσιος nomen barbarum, Turcicum, quod Leunclavius apud Cangium latine reddit Commissarium aulicum. Apud Pachymerem τζαούσιοι nonnulli nominantur. In illo ipso capite Acropolitæ, quod auxi n. ad librum Γ, 16, agitur de Constantino Margarita, qui fuit τζαούσιος. De τζαουσίων officiis (vernacule eos vocamus *chiaoux*) Turnefortius utilia monuit Itineris Epistola 13. Zalyces Lexico: « *chiaoux*, Τζαούσης.»

ὁ Ἀχιλεὺς ἀντέλεξε σφοδρῶς τε καὶ τραχέως.
Καὶ Φοίνικος δακρύοντος ἐλεεινολογίαις,
καὶ τὴν φυγὴν τὴν ἐκ πατρὸς τῶν ἑαυτοῦ λαλοῦντος
διὰ τὴν μίξιν παλλακῆς τῆς τοῦ πατρὸς συμβᾶσαν,
καὶ πῶς αὐτὸν ἀνέθρεψεν ἐκ βρεφικῶν σπαργάνων,
καὶ δεομένου καὶ αὐτοῦ τὴν μῆνιν ἀπορρῖψαι,
λέγοντος μετατρέπεσθαι καὶ τοὺς θεοὺς θυσίαις,
ἤγουν ἐν λόγοις ἐπωδῶν τὴν φύσιν τῶν στοιχείων,
ἡ εἱμαρμένην φυσικήν, ὡς Πτολεμαῖος γράφει.
Διττὰς αὐτὸς γὰρ βούλεται τὰς εἱμαρμένας εἶναι
θείαν, τὴν ἀμετάτρεπτον, καὶ τὴν φυσικωτάτην,
ἥνπερ καὶ μετατρέπεσθαι φησὶν ὡς κλιμακτῆρας·
ὁ μὲν γὰρ ὄμβρους τῶν σοφῶν, ὁ δ' ἔπαυσεν ἀνέμους,
Ὀρφεὺς καὶ Πυθαγόρας τε σὺν τῷ Ἀναξαγόρᾳ,
Ἐμπεδοκλῆς Μελίτωνος ὁ καὶ Κωλυσανέμας,
ὁ πανδαὴς Δημόκριτος, ὁ Τυανεὺς ὑστέρως.
Τοιαῦτα καὶ τοῦ Φοίνικος δάκρυσι δεομένου,
ὡς τοῦ θυμοῦ κατάπαυσιν ποιήσαιτο τοῖς δώροις
καὶ τιμηθῇ τὰ μέγιστα τοῖς σύμπασιν Ἀργείοις,
μή, ἄνευ παρακλήσεως μόνος ἐλθὼν ὑστέρως,
πάθοι ταὐτὸν ὃ πέπονθε Μελέαγρος ἐκεῖνος.

(74) A B, ταχέως.

(78) A, ἐν βρεφικοῖς σπαργάνοις.

(83) Scholium in C : σημείωσαι πόσαι εἱμαρμέναι κατὰ Πτολεμαῖον. A B, γὰρ αὐτός.

(84) A B, θόαν. B, καὶ φ.

(85) A B C, κλημακτῆρας. Et C κλημακτῆρες in hocce scholio ; μετατρέπονται γὰρ αἱ φυσικαὶ εἱμαρμέναι, καθάπερ οἱ κλιμακτῆρες.

(87) A, πυγόρας.

(88) Idem versus legitur in Tzetzæ Chiliade 4, 526, loco conferendo, et Chil. 2, 899. Illustrationem præbebit abunde Sturz. Empedocle p. 48, ubi de Philosophi magia.

(89) Dicitur Tzetzæ Democritus πανδαὴς et Chiliad. 4, 529. Atque ibid. 2, 989 recitat Diogenis Laertii epigramma Democritum vocantis παντοδαῆ. — A, θυανιεύς. De Tyanensi Apollonio nonnulla huc facientia quære n. ad librum A, 65.

(91) A B, καὶ τοῦ. Sic 82, B, καὶ πτολεμαῖος. C, ποιῆσαι τό.

(93) A C, μόνως.

Οὗτος υἱὸς ὑπάρχων γὰρ Οἰνέως καὶ Ἀλθαίας,
ὡς ἀνερράγη πόλεμος, χάριν τοῦ χοίρου τότε,
Ἀμβρακιώταις καὶ αὐτῶν τῶν Αἰτολῶν τῷ γένει,
ἀφεὶς τὴν μάχην, ὡς θλιβεὶς ἐκ τῆς μητρὸς Ἀλθαίας,
τῇ ἑαυτοῦ συνήδρευε συζύγῳ Κλεοπάτρᾳ.
Κουρῆτες, Ἀκαρνᾶνες δὲ, ἤγουν Ἀμβρακιῶται,
τοὺς οὕσπερ μετεκάλεσε Καῖσαρ Νικοπολίτας,
νικήσας τὸν Ἀντώνιον ἐκεῖ καὶ Κλεοπάτραν,
ἔβαλον πύργους Αἰτωλῶν καὶ πύλας τὰς ἐκείνων,
τὴν Καλυδῶνα, Ναύπακτον αὐτὴν, πυργομαχοῦντες.
Πάντες λοιπὸν οἱ τῆς βουλῆς καὶ μεγιστᾶνες πάντες,
καὶ ἱερεῖς οἱ τῶν θεῶν καὶ προύχοντες ἁπάντων,
καὶ ἀδελφαὶ καὶ ἀδελφοὶ, καὶ ὁ πατὴρ ὁ τούτου,
γονυκλιτοῦντες, καὶ πολλὰ δῶρα διδόντες τούτῳ,
γῆν περισσὴν φυτεύσιμον καὶ γῆν τῶν ἀροσίμων,
ὡς πρὸς τὴν μάχην ἐξελθεῖν οὐκ ἔπειθον ἐκεῖνον.
Ὕστερον βαλλομένου δὲ καὶ τοῦ κοιτῶνος τούτου
ἐν λίθοις καὶ τοῖς βέλεσι, καὶ πυργομαχομένου,
τοῖς τῆς ἰδίας γυναικὸς θρηνοῖς ἐκβὰς πρὸς μάχην
καὶ συμβολῇ πολέμου δὲ τρέψας τοὺς Ἀκαρνᾶνας,
τὴν δωρεὰν οὐκ ἔλαβεν· οὐ γὰρ ἐξῆλθε τότε
ὅταν αὐτὸν οἱ σύμπαντες γονυκλιτοῦντες ἦσαν.
Τοιαῦτα καὶ τοῦ Φοίνικος τῷ τότε δεομένου
καὶ Μελεάργῳ μὴ παθεῖν τὰ ἴσα παραινοῦντος,

(95) A, ἀλθέας. C, οἰναίως.
(96, 97, 98) Desunt in B, propter homœoteleutum in Ἀλθαίας. — A, αὐτῶν.
(101) Vide notam Pinedi ad Stephani Νικόπολις.
(103) A B, ἐκείνου. Cf. Il. 9, 569
(104) A, καλυδόνα. Meletius Geographia t. 2, p. 292, de Ἀετῷ Κάστρῳ, quod ad diœcesin pertinet metropolitæ Naupacti: τινὲς θέλουσιν ὅτι τὸ αὐτὸ νὰ εἶναι ἡ Καλυδών. Aliter Pouquevillius.
(107) A B, τούτων.
(110) A B, καὶ πρός. Cf. ad librum A, 75.
(114) A C, συμβολή. C, ἀκαρνᾶνας, superscripta varietate ἐναντίους.
(116) C, ἦσαν γονυκλιτ.
(117) A B, τοῦ τότε.

ὡς πρὸς αὐτὸν ὁ Ἀχιλλεὺς τούσδε φησὶ τοὺς λόγους·
« Παύου, τροφεῦ μοι γηραιὲ, παύου, τροφεῦ μοι, Φοῖνιξ.
« Μὴ τὴν καρδίαν τὴν ἐμὴν σοῖς θρήνοις τήκειν θέλε,
« χάριν ποιῶν τῷ βασιλεῖ· τοῦτον οὐ χρὴ φιλεῖν σε,
« ὅπως μὴ μισηθείης μοι, πάμπολλα σὲ φιλοῦντι.
« Καλὸν ὑπάρχει σὺν ἐμοὶ θλίβειν τὸν θλίβοντά με.
« Ἀλλὰ σὺ μεῖνον μεθ' ἡμῶν· αὐτοὶ δ' ἀπαγγελοῦσι ».
Πρὸς οὖν τοὺς λόγους τὸ λοιπὸν τούτους ὁ Αἴας εἶπεν·
« Ἀπέλθωμεν· εἰς μάτην γὰρ, ὡς ἔοικε, ληροῦμεν.
« Οὗτος σκληρόψυχος ἐστὶ διὰ γυναῖκα ποίαν·
« ἑπτὰ δὲ νῦν παρέχομεν ἀρίστας ἀντ' ἐκείνης
« καὶ σὺν αὐταῖς ἐκείνην δέ· οὗτος δ' ὀργὴν οὐ παύει ».
Ταῦτα τοῖς πᾶσιν Ἕλλησι λέγουσιν ἀπελθόντες
ἅπερ αὐτοῖς ὁ Ἀχιλεὺς πρεσβεύουσιν ἀντεῖπε.
Πρὸς ταῦτα Διομήδης δὲ φησὶ πρὸς τὸν Ἀτρέως·
« Ὦ βασιλεῦ, μὴ ὤφελες ἄνδρα τῶν ἀλαζόνων
« παρακαλεῖν πρὸς πόλεμον, τὸν Ἀχιλέα λέγω·
« ἀεὶ τῶν ἀλαζόνων γὰρ ὑπάρχοντα τὸν ἄνδρα
« τὰ νῦν ἀλαζονέστερον ἐποίησας καὶ πλέον.
« Καταλειφθήτω μὲν αὐτός· ἡμεῖς δὲ κοιμηθῶμεν,
« οἴνου καὶ σίτου καὶ τρυφῆς ἁπάσης κορεσθέντες.
« Ὅταν δ' αὐγάζειν ἄρξηται τὸ φῶς τὸ τῆς ἡμέρας,

(119) A B C, καὶ πρός. Motas tot exemplis permutatorum καὶ et ὡ; jam memoratis, et inopportunitate hic loci conjunctionis καί, correxi ὡς πρὸς, quæ formula plane Tzetzica est.

(124) A B, ὑπάρχειν.

(126) B, πρὸς δέ.

(127) A, ἀπέλθομεν, C, ἔοικεν. B, πληροῦμεν.

(131) A B, πρὸς ταῦτα πᾶσιν. Librariorum oculi aberrabant ad versum ab hinc secundum.

(134) B, ἀτρέα.

(135) A, λέγων.

(138) B, καταληφθήτω.

(139) A C, τροφῆς. B, τρυφῆς. Cf. n. ad v. 45

(140) A B, ἄρχηται.

« σπουδάζων πάντα τὸν στρατὸν παράταττε πρὸς μάχην,
« καὶ σὺ σὺν τοῖς προμάχοις δὲ μάχου καὶ πρωτοστάταις ».
Πάντες ἐπῄνεσαν λοιπὸν τοὺς λόγους Διομήδους,
καὶ παρελθὼν ἐν ταῖς σκηναῖς ἕκαστος κατηυνάσθη.

(141) A B, παράταττε εἰς. (144) A, συνευνάσθη. B, κατευν.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Κ (*).

Ἄλλοι μὲν πάντες ἀριστεῖς ἐκάθευδον παννύχως·
ὁ δ᾽ Ἀγαμέμνων ἄγρυπνος ὑπῆρχε ταῖς φροντίσιν,
ἀπὸ καρδίας συνεχῶς δίκην βροντῆς στενάζων.
Πυρκαϊὰς δὲ βλέπων μὲν ἐν τοῖς Τρῶσιν ἀπείρους,
ἀκούων δὲ καὶ σύμφωνον μέλος αὐλῶν, συρίγγων,
καὶ τῶν ἀνδρῶν τὸν θόρυβον ἐθαύμαζε μεγάλως·
στραφεὶς δὲ πρὸς τοὺς Ἕλληνας καὶ βλέψας πρὸς τὰ πλοῖα,
ἀνέσπα τρίχας κεφαλῆς τῆς ἑαυτοῦ προρρίζους.
Λοιπὸν γοῦν ἔδοξεν αὐτῷ πολλὰ λογιζομένῳ
ἐλθεῖν ὡς πρὸς τὸν Νέστορα χάριν βουλῆς γενναίας.
Δέρμα βαλὼν δὲ λέοντος γνώρισμα καὶ σημεῖον,
λαβὼν καὶ δόρυ τὸ αὐτοῦ συνάμα καὶ τὸ ξίφος,
ἔμελλε πρὸς τὸν Νέστορα ποιεῖσθαι τὴν πορείαν,
ὡς ἴδωσι τοὺς φύλακας τοὺς ὄντας πάρα τάφρον,
μὴ καταρραθυμήσωσι καὶ κρατηθῶσιν ὕπνῳ.
Ὁμοίως καὶ Μενέλαος ἄγρυπνος ὢν φροντίσι,

(*) Lemmata codicum similia præcedentibus.

(1) B, ὅλοι. C, ἑλλήνων superscripta variante παννύχως. Il. 10, 2: εὗδον παννύχιοι.

(4) B, sine δέ.

(11) A, λαβών

(15) A B, καταραθυμήσωσι. Theodorus Prodromus Rhod. 5, p. 202: Μὴ γοῦν (sic bene Gaulminus pro ἤγουν), κἂν ἐστὶν ἀσθενὴς ὁ Μιστύλος Καταρραθυμοίσητε τῆς φίλης μάχης. Corrigendum iotacismi vitium, lecto καταρραθυμήσητε. De vitio metrico ne sit sollicitus lector. Syllabæ numerantur; non de quantitate agitur, sed quotitate. Pachymeres Progymn. p. 585, 16: οὐ διὰ τὴν συνενεχθησομένην πολλάκις ἀπότευξιν καταρραθυμοῦμεν τῆς ἐργασίας. Nilus Epist. 315: μὴ ἀμελῶμεν, μὴ καταρραθυμῶμεν τῆς οἰκείας ἐπιμελείας. Quibus verbis utitur et Epist. 1, p. 6.

πτοούμενος μὴ πάθῃ τι τὸ στράτευμα Ἑλλήνων,
νώτοις παρδάλεως δορὰν εἰς γνώρισμα φορέσας,
καὶ περικεφαλαίαν δὲ πρὸς κεφαλὴν ἁρμόσας,
καὶ δόρυ φέρων τῇ χειρὶ, δραμὼν ὡς ἐξεγείρων
τὸν βασιλέα, εὕρηκεν οὕτως ηὐτρεπισμένον.
Ὃν ἀδελφὸν Μενέλαον ὁ βασιλεὺς ἐκπέμπει
Ἰδομενέα καὶ αὐτὸν τὸν Αἴαντα καλέσαι,
εἰπὼν, ὅποι διέρχοιτο, λαλεῖν ἐγρηγορέναι,
ἀπὸ πατρὸς καὶ γενεᾶς καλοῦντα τὸν καθένα,
μηδὲν σοβαρευόμενον, τοὺς σύμπαντας τιμῶντα.
Αὐτὸς δ' ἐλθὼν ὁ βασιλεὺς οὗπερ κατῴκει Νέστωρ,
ἀνήγειρε τὸν Νέστορα, καὶ σὺν ἐκείνῳ πάλιν
τὸν Ὀδυσσέα πρῶτα μὲν, εἶτα καὶ Διομήδην·
ὁ Διομήδης Μέγητα καὶ τὸν Λοκρὸν ἐγείρει.
Ὡς δὲ παρὰ τοὺς φύλακας ἦλθον εἰς τάφρον πάντες,
τοὺς τῶν φυλάκων ἀρχηγοὺς καθεύδοντας οὐχ εὗρον,
ἐνόπλους πάντας, ὄντας δὲ πάντας ἐγρηγορότας,
οὕσπερ ὁ γέρων κατιδὼν, ὥσπερ θαρσύνας, χαίρων
τὴν τάφρον διεπέρασε σὺν τοῖς λοιποῖς στρατάρχαις,
καὶ σὺν αὐτοῖς ὁ Νέστορος υἱὸς καὶ Μηριόνης.

Πάντων ἑδριασθέντων δὲ πάλιν φησὶν ὁ Νέστωρ·
« Ὦ ἄνδρες, φίλοι Ἕλληνες, τίς τῶν θαρσυκαρδίων
« κατάσκοπος τολμήσειε γενέσθαι πρὸς τοὺς Τρῶας

(17) A B, στράτευμα τῶν ἑλλήνων. Conf. liber Γ, 18 ubi codd. consentiunt.
(21) Habent codd. εὕρ. et ηὔτρεπ.
(23) Αἴαντα, cum glossa in C, τὸν μέγαν. B, αἴαντα τὸν μέγαν recepta glossa in versus serie et omisso καλέσαι. Conf. Il. 10, 53.
(27) A, οὐδέν.
(29) A B, πρῶτον.
(34) A, οὕσπερ θρασύνας. B, ὥσπερ θρασ. C, θαρσ. Il. 10, 190 : Θάρσυνέ τε μύθῳ.
(36) Ad Νέστορος υἱὸς Scholium in C, et in Anecd. Oxon. t. 3, p. 384 : ὁ Θρασυμήδης, ὡς τῶν φυλάκων ἡγεμόνες. Legendum, ὁ Θρασυμήδης καὶ Μηριόνης ὡς. Conf. liber ἰῶτα, 38.
(37) B, πάλιν ἑδρ. δὲ παλιν.

« ἐπὶ τιμαῖς μεγάλαις τε καὶ δώροις ἁρμοδίοις » ;
Πάντων ἡσυχαζόντων δὲ, φησὶν ὁ Διομήδης·
« Ἐγὼ κατάσκοπος θαρρῶ τοῖς Τρώεσσι γενέσθαι,
« ἄνπερ ἀνήρ τις ἕτερος ἐστὶν ἀκολουθῶν μοι ».
Πολλῶν προθυμησάντων δὲ, προκρίνει Ὀδυσσέα.
Καὶ ὁπλισθέντες ὥρμησαν χωρεῖν κατὰ τῶν Τρώων.
Ἐρωδιὸς δὲ δεξιὸς, ἤγουν ἐκ τῆς ἑῴας,
πετάσας τούτοις ἀφανὴς ἔκλαγξε δι' ἀέρος.
Οὗτοι δ' ἐχώρησαν λοιπὸν ἐπ' ἀγαθῷ σημείῳ.
Ζώϊλος γέρων δὲ μαθὼν τὴν οἰωνοσκοπίαν,
πρὸς τὰς εὐτραπελίας δὲ καὶ φάμουσα νοῦν ἔχων,
ληρεῖ κἀνταῦθα φληναφῶν· ἀλλ' ἐατέον τοῦτον.
Ἕκτωρ δ' ἐπίσης Ἕλλησι κατάσκοπον ἐκπέμπει,
Δόλωνα κήρυκος υἱὸν, ἄνδρα τινὰ τῶν Τρώων,
δώσειν εἰπὼν σὺν ἅρματι τοὺς ἵππους Ἀχιλέως·
ὅνπερ κρατοῦσιν Ὀδυσσεὺς ἅμα καὶ Διομήδης.
Ἐξ οὗ μαθόντες ἅπαντα βουλεύματα τῶν Τρώων,
γελῶσι πρῶτα μὲν τρανῶς δι' ἵππους Ἀχιλέως
ἐκείνῳ παρὰ Ἕκτορος δῶρον ὑποσχεθέντας·

(44) C, κρίνει τὸν Ὀδ., superscripta variante, προκρίνει.

(46) B, δεξιὸς ἐξαίφνης ἐκ τῆς ἕω.

(47) A, ἀφανῶς ἔκλαγξε διακόρως.

(49) Vix crediderim a Tzetza ipsos Zoili libros fuisse lectos. Legebat excerptos inde locos a commentatoribus Homeri. Exempli caûsa in Scholiis Venetis ad Il. 10, 274, discere est e Porphyrio Zoilum illum Homeromastiga Homeri de erodio inventum, reprehendisse : οὗτος ἄλλα τε πολλὰ Ὁμήρου κατηγορεῖ, καὶ τὰ περὶ τοῦ ἐρωδιοῦ. In C scholium : εἰρωνεία τὸ σχῆμα. Ἔστι δὲ τοῦ ἤθους ἐνέδρας. Non præstiterim me ultimum vocabulum bene legisse. Potest ὄρας tantum legi facile.

(50) Scholium in C, et in Anecd. Oxon. t. 3, p. 384 ; φάμουσα, φλυαρίαι καὶ ὕβρεις (sic corrigo lectionem C et Crameri ὕλεις) ἔγγραφοι. Explicat ipse Tzetzes optime id nomen, e latino *famosus* sumptum, Chil. 13, 487 : Φάμουσα δέ μοι λέγεσθαι τοῖς νομογράφοις νόει Τὰ ἔγγραφα ληρήματα κατὰ τῶν ὑπερόχων, Ἅπερ λαθραίως καὶ κρυφῇ ταῖς ἀγοραῖς ῥιπτοῦνται, Εἴτε καὶ μέσοις τοῖς ναοῖς, εἴτ' οὖν ἑτέροις τόποις. Οἱ νόμοι τιμωροῦνται δὲ τοὺς ταῦτα γεγραφότας. Ibi est scholium in codice 2644: τιμωρῶ τὸ βοηθῶ, καὶ (omissum est καὶ in Anecdotis Oxon. t. 3, p. 375.) συντάσσεται δοτικῇ, ὡς τὸ τιμωρῶ πατρί· τιμωροῦμαι δὲ τὸ κολάζω, αἰτιατικῇ.

(51) C, φλυαρῶν.

(53) Il. 10, 315.

(57) A, πρῶτον.

(58) A, ἐκεῖνο.

εἶτα δὲ κτείνουσιν αὐτὸν οὗπερ καὶ συναντῶσι,
καὶ τὴν δορὰν τὴν λύκειον ἐκείνου καὶ τὰ τόξα,
ὑποστροφαῖς ὡς λάβωσιν, ἔθεντο πρὸς μυρίκην.
Ἔπειτα λόγους ὁδηγοὺς ἔχοντες τοὺς ἐκείνου,
ἐλθόντες εἰς τὸ στράτευμα τῶν Τρώων, ἀναιροῦσι
δώδεκα Θρᾷκας ἀρχηγοὺς τοὺς ὑπεροχωτάτους,
καὶ σὺν αὐτοῖς τὸν Ῥῆσον δε τὸν τούτων βασιλέα,
χρυσῆν αὐτοῦ τὴν σύμπασαν ἔχοντα πανοπλίαν,
ἅρμα χρυσοκατάδετον, ἵππους ἀπαραμίλλους,
χιόνος λευκοτέρους μέν, ἀνέμων ταχυτέρους,
οὓς καὶ λαβόντες ἤγαγον εἰς τὸν στρατὸν Ἑλλήνων.
Καὶ τούτους μὲν ἀπήγαγον εἰς φάτνας Διομήδους,
τὰ τόξα δὲ τοῦ Δόλωνος καὶ τὴν δορὰν τοῦ λύκου
ὁ Ὀδυσσεὺς κατέθηκεν ὁλκάδι τῇ οἰκείᾳ.
Αὐτοὶ δ᾽ ἐμβάντες ἔπλυναν θαλάσσῃ τὸν ἱδρῶτα·
εἶτα δὲ καὶ λουσάμενοι θερμόν, ἀλλ᾽ ἐν ταῖς σκάφαις
(οὔπω γὰρ ἦσαν γνώριμοι τοῖς παλαιοῖς λουτρῶνες),
ἐλαίῳ τε χρισάμενοι μετὰ λουτρὸν ῥοδίνῳ,
εἰς βρῶσιν κατεκλίνθησαν, ἔστησαν δὲ κρατῆρα,
ἐξ οὗπερ ἀρυόμενοι ἔθυον τῇ Φρονήσει.

(61) Α, εἰς λάβωσιν. Schol. in C: μυρίκη εἶδος δένδρου μεταξὺ κυπαρίσσου καὶ ἐρείκης τὴν ἰδέαν τῶν φύλλων ἔχοντος. Jam legimus de Myrica arbore scholium ad librum Z, 29.

(65) A B, ῥῆσον τε.

(67) C, χρυσοκατάδεκτον.

(73) Α, δὲ πάντες. C, ἔπλυνον.

(75) Vide scholium ad librum I, 50.

(77) A B, κατεκλίθησαν. Cf. de forma aoristi cum litera ny schol. ad II. 16.

(78) Il. Κ 378: ἀπὸ δὲ κρατῆρος Ἀθήνῃ... λεῖβον, μελιηδέα οἶνον. Schol. in C: τῇ παρ᾽ Ὁμήρῳ Ἀθηνᾷ.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Λ (*).

Ἡμέρα μὲν ἐξέτρεχεν ἐκ Τιθωνοῦ τῆς κοίτης·
ἤτοι, μετὰ τὴν θέσιν δε πάντων τῶν πολουμένων,
τὸ πρωϊνὸν κατάστημα, ὁ Τιθωνὸς καλεῖται,
ἡμέρα μὲν ἐπλάτυνεν ἀνθρώποις καὶ στοιχείοις·
ἡ Εἱμαρμένη δὲ δεινὴν ἀνήγειρε τὴν μάχην
ἐν Ὀδυσσέως τῇ νηῒ μέσῃ πασῶν ἑστώσῃ.
Δεινὴ δὲ γέγονε βοὴ τῆς μάχης κροτουμένης·
τοῖς Ἕλλησι δ' ὁ πόλεμος γλυκύτερος ἐφάνη
τοῦ ὑποστρέφειν ἐν ναυσὶν εἰς τὰς αὐτῶν πατρίδας.
Ὁ Βασιλεὺς δ' ἐβόησεν ὁπλίζεσθαι τοὺς πάντας·
ὡπλίσθη τότε καὶ αὐτὸς τὴν πᾶσαν πανοπλίαν,
πρῶτον ὑποδησάμενος ἐν τοῖς ποσὶ κνημῖδας,
δεύτερον ἐν τοῖς στήθεσιν ἐνδὺς τερπνὸν χιτῶνα
τὸν ὃν Κινύρης ἔδωκεν ὡς μὴ στρατεύσῃ Τροίᾳ,
οὗτινος δέκα μὲν γραμμαὶ εἰσὶν ἐξ ὀρειχάλκου,
ἀπὸ χρυσοῦ δὲ δώδεκα, εἴκοσι κασσιτέρου·
ἐξ ὀρειχάλκου δράκοντας εἶχεν ἐγγεγραμμένους,

(*) Lemmata codicum similia præcedentibus.

(2) B, ἤτι. B C, πωλουμένων.

(3) Il. 11, 1: Ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο Ὤρνυτο.

(5) Scholium in C: νῦν γὰρ παρ' Ὁμήρῳ Ζεὺς ἡ εἱμαρμένη.

(6) A B, μέσον πάντων. Cf. Il. 11, 6.

(9) A, ἀποστρέφειν. B, νηυσίν.

(12) A, κνημήδας. B C, κνημίδας. Scholium in C: καλταῖς σιδηρᾶς (cod. fere σιδηροῦς) τὰς Φραγγικῶν καὶ Καρτζικῶν, νῦν λεγομέμας κάτζας.

(14) C, στρατεύσοι.

(15) Ad οὗτινος glossa in C, θώρακος.

(17) Ad ὀρειχάλκου, quod nomen re-

ὡς πρὸς τὸν τράχηλον αὐτοῦ δοκοῦντας ὑφαπλοῦσθαι
ἐξ ἑκατέρου μέρους, τρεῖς, ἴρισι παρομοίους·
τοῖς ὤμοις περιέθηκε ξίφος τῶν χρυσοήλων
καὶ ξιφοθήκην ἀργυρᾶν, χρυσοῖς ἐν κρημαστῆρσιν·
ἔλαβεν ἀμφιβρότην δὲ πολεμικὴν ἀσπίδα,
μανδύα δίκην σκέπουσαν ἔμπροσθεν ὀπισθίως,
δέκα μὲν ἔχουσαν τροχοὺς καὶ κύκλους χαλκηλάτους,
εἴκοσι δὲ τοὺς ὀμφαλοὺς, ἥλους ἐκ κασσιτέρου·
ἐν μέσοις δὲ τοῖς ὀμφαλοῖς τοῖς λευκοτάτοις τούτοις
ἄλλος ἦν μέγας ὀμφαλὸς μέλανος ὀρειχάλκου.
Ἦσαν ἐν τῇ ἀσπίδι δὲ ταύτῃ ζωγραφηθέντα
Γοργὼν ἄγριον βλέπουσα, καὶ Δεῖμός τε καὶ Φόβος.
Ὁ κρεμαστὴρ ἦν ἀργυροῦς ἐκείνης τῆς ἀσπίδος
εἰς δράκοντα τρικέφαλον καλῶς ἐξειργασμένος.
Τῇ κεφαλῇ δὲ κάλλιστον ἐπέθηκε τὸ κράνος.
Οὕτω τοῖς πᾶσιν ὡπλισθεὶς καὶ δόρατα λαμβάνει.
Βροντὴ δ' εὔδιος γέγονεν, ὁ Ἀθηνᾶ καὶ Ἥρα,
σημεῖον νίκης τῆς αὐτοῦ καὶ τῆς ἀνδραγαθίας.
Οἱ πλείους μὲν ἀπέβησαν τῶν ἵππων, τῶν ἁρμάτων,
μετὰ βοῆς ἐξώρμων δὲ πεζοὶ συντεταγμένοι,
μεγάλως δὲ προέφθασαν πρὸς τάφρον τοὺς ἱππέας·
οἱ δὲ ἱππεῖς κατόπισθεν ἐχώρουν βραδυτέρως.

spondet Homericis verbis, Il. 11, 24, μέλανος κυάνοιο, scholium in C : ὁ κύανος καὶ ὀρειχαλκος εἶδος χειμεύσεως (imo χήμ. Cf. n. ad Malal. 16, p. 109) ἐστίν.

(20) B, χρυσοκόλλων. Il. 11, 29 : ἐν δέ οἱ ἧλοι χρύσειοι πάμφαινον.

(23) A, ὀσθίως. Scholium in C, et in Anecd. Oxon t. 3, p. 384 : μανδύας, τοῦ μανδύα καὶ μανδύου. Ἵνα δὲ μὴ νομίσῃ τις οὐδέτερον εἶναι, μανδύα ἔκλινα καὶ οὐ μανδύου. Τὸ δὲ μανδύα δίκην ἑρμηνευτικόν ἐστιν τοῦ ἀμφιβρότη. Homerus scilicet Il. 11, 32 : ἕλετ' ἀμφιβρότην ἀσπίδα. Cavere puto ne quis de neutro μάνδυον cogitet, propter compositum παραμάνδυον. Vide et Possinum Glossario ad Pachymerem ; Chilmead. ad Malalam Chron. p. 38

(29) A, ὁ δῆμος τέ. B, ὁ δεῖμος τέ. Ac sic sæpissime encliticis tonus imponitur, quod monere supersedeo.

(34) A B, ὅ. C, ὁ. Il. 11 45 : ἐπὶ δ' ἐγδούπησαν Ἀθηναίη τε καὶ Ἥρη. Scholium in C : εἶπον γὰρ ὄπισθεν περὶ βρόντης ὅτι [ἐν] ὑγρῷ νέφει, ξηρῷ καὶ λεπτῷ ἀέρι γίνεται.

Ἡ εἱμαρμένη δὲ δεινὴν ἀνήγειρε τὴν μάχην
ἐξ οὐρανοῦ δ' ἐψέκασεν ὄμβρους αἱμάτων τότε.
Ἐκ τοῦ ἑτέρου μέρους δὲ ὡπλίσθησαν οἱ Τρῶες
περὶ τὸν Πολυδάμαντα καὶ Ἕκτορα τὸν μέγαν,
καὶ τὸν Αἰνείαν, καὶ αὐτοὺς τοὺς τρεῖς Ἀντηνορίδας,
Ἀκάμαντα καὶ Πόλυβον, Ἀγήνορα σὺν τούτοις.
Πρὸ πάντων Ἕκτωρ πρῶτος δέ, φέρων στρογγύλον σάκος,
ἐξώρμα καὶ προέτρεχεν εἰς συρραγὴν πολέμου.
Ὥσπερ δ' ὁ κύναστρος ἀστὴρ λάμπει λαμπρὸν ἐκ νέφους
καὶ πάλιν ἀφανίζεται κρυπτόμενος τῷ νέφει,
οὕτως ὁ Ἕκτωρ ἔμπροσθε ποτὲ καθεωρᾶτο,
ποτὲ δ' ἐν τοῖς στρατεύμασιν ἐκείνου τοῖς ὑστέροις,
κελεύων, παροτρύνων τε πάντας ὡς πρὸς τὴν μάχην,
διατασσόμενος καλῶς πᾶσι τὰ τοῦ πολέμου·
ὡς ἀστραπὴ δ' ἀπέλαμπεν αὐτοῦ τῇ πανοπλίᾳ.
Ὥσπερ δ' ἐν θέρει θερισταὶ στάντες ἐξ ἐναντίας
ἐρίζουσι θερίζοντες στάχυς κριθῶν ἢ σίτων,
εἰς γῆν δὲ τὰ χειρόβολα συνεχεστέρως πίπτει,
οὕτω Τρῶες καὶ Ἕλληνες συνέκοπτον ἀλλήλους.
Φυγῆς δ' οὐκ ἦν ἀνάμνησις, ἰσοκεφάλοις δ' εἶχον.
Ἔρις δ' ἡ πολυστένακτος ἔχαιρεν εἰσορῶσα·
θεοὶ δ' οἱ ἄλλοι σύμπαντες ἦσαν ἀποδημοῦντες.
Ἐκεῖ γὰρ οὐ κατίσχυε φρόνησις, πανουργία,

(40) Homero Κρονίδης Il. 11, 53, est Tzetzæ ἡ Εἱμαρμένη. E vestigiis scripturæ turbatæ codicis B, videtur fuisse ἐπέτεινε. Ibi et sequens versus plane corruptus.

(44) A, ἀντινορίδας. Il. 11, 59: τρεῖς Ἀντηνορίδας.

(46) A, πρ. ἕκτ. B sine πρῶτος.

(47) A C, προέτρεχε πρός.

(48) B, καίπερ δ' ὡς κ.

(50) A B, ἔμπροσθεν. A, καθεωρῶτε.

(52) A B, καὶ πρός. Cf. ad A, 75.

(54) A B, καὶ ἀστραπή.

(55) A B, πάντες. Il. 11, 67.

(59) Il. 11, 72: Ἴσας δ' ὑσμίνη κεφαλὰς ἔχον.

(61) A, ἀδημονοῦντες. Il. 11, 75: Οἱ δ' ἄλλοι οὔ σφιν πάρεσαν θεοί.

οὐδ' εὑρεσιλογία τις ἑρμαϊκῶν ἐκ δώρων,
οὐδὲ θεός τις ἕτερος τὴν μάχην παρακρούων.
Καὶ μέχρι μεσημβρίας μὲν ἰσοπαλὴς ἡ μάχη,
εἶτα δὲ γίνεται τροπὴ στρατεύματι τῶν Τρώων.
Ὁ Ἀγαμέμνων πρῶτος δὲ Βιήνορα φονεύει,
εἶτα τὸν Ὀϊλέα δε τρώσας δορὶ μετώπῳ.
Καὶ τούτους μὲν κατέλειψεν ἐκεῖσε κατακεῖσθαι,
τοὺς λάμποντας ἐν στήθεσι χιτῶνας ἀποδύσας.
Τὸν Ἶσόν τε καὶ Ἄντιφον κτείνει τοὺς Πριαμίδας
πλήξας τοῦ μὲν δορὶ μαζὸν, ξίφει δὲ οὖς Ἀντίφου,
σπουδαίως δ' ἀπεγύμνωσε καὶ τούτων πανοπλίας.
Εἶτα καὶ τὸν Ἱππόλοχον καὶ Πείσανδρον ἀνεῖλε,
τοῦ Ἀντιμάχου τοὺς υἱοὺς, τοῦ πρίν ποτε τῇ Τροίᾳ
σπεύδοντος τὸν Μενέλαον ἐν δόλοις κατακτεῖναι·
τὸν Πείσανδρον παρ' ἅρματι δορὶ βαλὼν τῷ στήθει,
Ἱππόλοχον δ' ἀπέκτεινεν ἅρματος ἀποβάντα,
τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ πόδας ξίφει κόψας,
τὸν ὅλμον δ', ἤτοι θώρακα, κυλίεσθαι παρῆκε.
Νῦν γὰρ αὐτὸς μὴ πλανηθῇς ὅλμον τὴν ἴγδην λέγειν,
ὡς οἱ σοφοὶ σχολιασταὶ τῶν λέξεων Ὁμήρου·
ἀλλ' ὅλμον νῦν τὸν θώρακα λέγε, καθώσπερ εἶπον.
Τούτους μὲν οὕτως ἔκτεινεν, ὡς εἶπον, Ἀγαμέμνων,

(63) B sine οὐδ'.
(64) Ad θεός τις ἕτερος, scholium in C : ἑτέρα ψυχικὴ δύναμις.
(71) A B, τοῦ πριάμου. Scholium in C et in Anecd. Oxon. t. 1, p. 384 : ὁ Ἄντιφος γνήσιος παῖς Πριάμου, ὁ δὲ Ἶσος νόθος.
(75) A, τοὺς πρίν .... σπεύδοντας. Sed cf. Il. 11, 123, 138.
(77) A B, ἐν ἅρματι. Cf. Il. 11, 143.
(79) A B, καὶ γ. B, ξίφει πόδας κόψας.
(80) A, ἦτι.
(81) A, ὅλμην. B C, sine αὐτός. A B, πλανηθείς.
(82) A, καὶ οἱ. Sic enim scholiastæ, verbi causa, Veneti et Didymus. Favet quidem Tzetzicæ interpretationi Pollux 2, 162, de partibus corporis, θώραξ καὶ ὅλμος, sed repugnat Homerus ipse, qui habet ὅλμος δ' ὥς, quod adverbium comparationis est omnino, « mortariumque tanquam. »
(84) A B, καθ. εἶπ. λέγει.

*πρὸς δὲ τοὺς ἄλλους ὥρμησε καὶ τὴν πληθὺν τῶν* Τρώων,
*οὗ τοὺς πεζοὺς μὲν οἱ πεζοί, ἱππεῖς δ' ἱππεῖς ἀνῄρουν.*
Ὁ Ἀγαμέμνων *δ' εἵπετο σπουδαστικὸν κελεύων,*
*ἀεὶ δὲ τὸν ὀπίσθιον ἀνῄρει τῶν φευγόντων.*
Ἴριδος *τότε δὲ λοιπὸν ἐξ οὐρανοῦ φανείσης,*
Ἕκτωρ *ὁρμήσας τὸν στρατὸν πρὸς πόλεμον καὶ μάχην,*
*ἀνέρρωσε τὴν δύναμιν ἐκείνων πρὶν φευγόντων.*
Τῆς *μάχης συρραγείσης δὲ πάλιν, ὁ* Ἀγαμέμνων
*ἀνεῖλεν* Ἰφιδάμαντα, *πλήξας αὐχένα ξίφει.*
Κόων *δὲ τούτου ἀδελφὸς δορὶ πρὸς τὸν ἀγκῶνα*
*ἔτρωσεν* Ἀγαμέμνονα, *διῆλθε δὲ τὸ δόρυ.*
Μέγιστα *δειλιάσας δέ, ὅμως οὐχ ὑπεχώρει,*
*ἀλλ' ἐφορμήσας καὶ αὐτὸν τὸν* Κόωνα *ἀνεῖλεν.*
Ὀδυνηθεὶς *τὴν χεῖρα δέ, τοῦ ἅρματος ἐπέβη,*
*καὶ πρὸς τὰς νῆας ἤλαυνε τοῖς ἄλλοις παραγγείλας.*
Ἕκτωρ *δ' ἐγείρας τὸν στρατὸν τῶν* Τρώων *καθ'* Ἑλλήνων,
*πρὸς πόλεμον ἐξώρμησεν, ἴσος σφοδρῷ ἀνέμῳ*
*ὃς ἐμπεσὼν εἰς θάλασσαν μεγάλα κλυδωνίζει.*
Ἀπέκτεινεν Ἀσαῖον *δέ,* Αὐτόνοον, Ὀπίτην,
Ὀφέλτιον, Ἀγέλαον, *καὶ* Δόλοπα Κλυτίδην,
Ἱππόνοον *καὶ* Αἴσυμνον· *ἀπέκτεινε καὶ* Ὧρον,
*τοὺς πάντας τούτους στρατηγοὺς* Ἑλλήνων *ἡγεμένας,*
Πληθὺν *δ'· ὥσπερ ὁ ζέφυρος τὰ νέφη συνταράσσει,*

(86) A, οὕτω.

(87) A B, σπουδαστικῶς.

(89) A B, τότε τὸ λ. Nonnulla videntur excidisse de Iridis ministerio. Cf. Il. 11, 185.

(90) A B, Ἕκτωρ δ' ὁρμ.

(100) B, ἀγείρας.

(101) A, ἴσως. Cf. Il. 11, 297.

(102) A B, μεγάλως. A, κλυδονίζει.

(107) A B C, πληθὺν δ'. Est particula δὲ enclitica, ut in versibus Tzetzæ sæpissime. Tzetzes verbi causa Chil. 3, 904: Τὴν τοῦ θηρὸς τηρήσαντες κοίτην καὶ τὰς νομὰς δέ. Scribendum omnino νομάς δε. Chiliade 7, 918: Παραβολῆς διαφορὰ καὶ παραδείγματος δέ. Scribendum omnino, παραδείγματός δε. Jam plus simplici vice de hac orthographia versuum politicorum monui, ad Pselli Opuscula p. 295, ad Theophylactum Simoc. pp. 282, 284. Et jam de tantilla re contentus monuisse, volebam ad reliqua

ἀργέτου νότου πνέοντος ἀπὸ θατέρου μέρους,
οὕτω πυκνῶς αἱ κεφαλαὶ κατέπιπτον ἐκ τούτου.
Ὁ Διομήδης ἔκτεινε τότε δὲ τὸν Θυμβραῖον·
ὁ Ὀδυσσεὺς Μολίονα τούτου δὲ δοῦλον κτείνει.
Υἱοὺς δύο τοῦ Μέροπος ἀνεῖλε Διομήδης·
ὁ δ' Ὀδυσσεὺς Ἱππόδαμον μετὰ τοῦ Ὑπερόχου.
Οἱ δ' Ἕλληνες ἀνέπνεον τὸν Ἕκτορα φυγόντες.
Πάλιν Ἀγάστροφον δορὶ βαλὼν πρὸς τὸ ἰσχίον
ὁ Διομήδης ἔκτεινεν. Ἕκτωρ δ' ἰδὼν ἐκείνους
μέγα κραυγάζων κατ' αὐτῶν σὺν τοῖς Τρωσὶν ἐχώρει.
Τυδείδης τοῦτον δὲ βαλὼν τῇ περικεφαλαίᾳ,
κἄνπερ οὐκ ἐξεπέρασε τὸ δόρυ τριπλῆν οὖσαν,
ὅμως πλέθρον ἐποίησε δραμεῖν ἐξοπισθίως,
καὶ πρὸς τὰ γόνατα πεσεῖν, ὄμματα σκοτωθέντα·

pergere; sed inter plurima exempla unum et alterum addere videtur operæ pretium. Tzetzes igitur Chil. 8, 961: Ἐπὶ μεγάλαις δωρεαῖς φαμὲν τὴν παροιμίαν, Τὴν λέγουσαν ὑπὲρ χρυσὸν καὶ τὸ τοπάζιον δέ. Legendum τοπάζιόν δε, et animadverto in bono codice 2644, esse τὸ πάζιόν δε, omissa syllaba το ob articuli τὸ vicinitatem, unde fit hemistichium brevius. Tum Tzetzes: Τὸ δὲ τόπαζιόν ἐστι λίθος τῶν πρασοχρόων. Sic edidit Kiessling. e correctione Schæferi pro vulgato, τὸ δὲ πάζιόν ἐστι. Sed Schæferum correctionis pœnituit, ac proposuit: Τὸ γὰρ πάσιόν ἐστί τις λίθος τ. πρ. Sed in hac sede ἐστί τις non potest ferri, melius foret ἔστι τὶς λ., non sine incommodo in clausula syllabæ τις quæ omnino sit jungenda alteri hemistichio. Cf. ad librum M, 130. Malim, Ὑπάρχει γὰρ τὸ πάζιον λίθ. Si versu 962 editum fuit τοπάζιον e codice, manifestum est articulum causam omissionis fuisse in C, et mendum illud prius peperit alterum; unde bona videtur Schæferi prior correctio. Tzetzes Chil. 3, 869, historiolam narrat civium Romanorum, temporibus Antonini vel Adriani, Ὥνπερ τὸ εὐεργέτημα ἡμέραις παρεγράφη. Οὗτοι τὸν δῆμον οἴκοθεν ἔτρεφον τὸν τῆς Ῥώμης, Ἡμέρας ὀκτωκαίδεκα Κάλανδος κατὰ μῆνα, Νοννος ἡμέρας δὲ ὀκτὼ, τὰς τέσσαρας Εἰδὸς δέ. Legendum Εἰδός δε. Testes insulsissimæ narrationis a Tzetza producuntur: Ἡσύχιος Ἰλλούστριος, Πλούταρχός τε καὶ Δίων, Καὶ Διονύσιος ὁμοῦ γράφουσι ταῦτα πάντα. Ad Ἰλλούστριος, dignitatis titulum non infrequentem temporibus Byzantinis, cujus significatio non ubique eadem est, scholium marginale codicis 2644 hic adponere non inutile visum est: μάγιστρος ῥωμαϊκῶς.

(108) A, ἀργήτου. C, ἐκ τοῦ θατέρου.

(109) A, οὕτως.

(111) A, μολίωνα. B, μιλίωνα. Cf. Il. 11, 322.

(113) A B sine δ'. A, ἱππολόχου. Cf. Il. 11, 335.

(115) C, ἰσχύον.

(120) Explicat Homericum ἀπέλεθρον, Il. 11, 354. Ἕκτωρ δ' ὦκ' ἀπέλεθρον ἀνέδραμε.

ὁρμῶντες τοῦτον κτεῖναι δὲ τότε τοῦ Διομήδους,
αὐτὸς ὁ Ἕκτωρ, ἐπιβὰς ἐφ᾽ ἅρματος, ἦν φεύγων·
ὁ Διομήδης δ᾽ ἀπειλῶν ἐκόμπαζε τοῖς λόγοις.
Τέλος αὐτὸν Ἀγάστροφον γυμνοῦντα πανοπλίας
πρὸς τὸν τάρσον τὸν δεξιὸν Ἀλέξανδρος τοξεύει·
τὸ βέλος δ᾽ οὗτος ἐκβαλών, ἤλαυνε πρὸς τὰς νῆας.
Μόνον δὲ περιέκλεισαν οἱ Τρῶες Ὀδυσσέα.
Δορὶ κατ᾽ ὦμον δὲ βαλὼν κτείνει Δηϊοπίτην,
εἶτα δὲ καὶ τὸν Θόωνα καὶ Ὅρμενον ἀνεῖλε·
δορὶ δὲ κατὰ πρότμησιν, ὃν ὀμφαλὸν καλοῦσι,
τρώσας καὶ Χερσιδάμαντα, κτείνει σὺν τοῖς ἑτέροις.
Ἀπέκτεινε καὶ Χάροπα υἱὸν τὸν τοῦ Ἱππάσου·
Σῶκος δ᾽ ὁ τούτου ἀδελφός, κατὰ πλευρία τρώσας,
ἀπέπαυε τοῦ μάχεσθαι τότε τὸν Ὀδυσσέα,
κἂν ἀνῃρέθη καὶ αὐτὸς αὐτῷ πληγεὶς τὴν ῥάχιν.
Ἐξ Ὀδυσσέως δὲ πλευρῶν Τρῶες ἰδόντες αἷμα,
ὥρμησαν πάντες ἐπ᾽ αὐτόν· ὁ δ᾽ ἐξοπίσω φεύγων
τρὶς μὲν ἐβόησε τρανῶς ὡς τύχῃ βοηθείας.
Μενέλαος ἀκούσας δὲ σὺν Αἴαντι παρέστη
καὶ τοῦτον μέλλοντα θανεῖν ἐξέσωσαν ἐκ Τρώων·
ὁ Αἴας δὲ τοῖς Τρώεσσιν ὡς λέων ἐμπηδήσας,
ἀπέκτεινε τὸν Δόρυκλον, νόθον υἱὸν Πριάμου,
καὶ Πάνδοκον, καὶ Λύσανδρον, καὶ Πύρασον, Πυλάρτην.

(124) A B sine δ᾽. A, ἐκόλπαζε.
(125) Ad αὐτὸν glossa in C, τὸν Διομήδην.
(129) A, ὤμων τὸν δηϊππείτην. B, κτ. δηϊπύτην. Cf. Il. 11, 420.
(130) A, ὅρματνον. C, ὅρμενον. Cf. Il. 11, 422, in varietate lectionis.
(132) A, χεριδάμαντα. Cf. Il. 11, 423.
(133) A, Χάρωπον. B, Χάροπον. Cf. Il. 11, 426.
(134) B C, καταπλευρίως. A, κατὰ πλευρίως. Scripsi κατὰ πλευρία.
(135) C, ἀπέπαυσε.
(136) Κἂν nihil juvat sententiam. Fortasse κ᾽ αὖ. In Theocrito Idyll. 11, 10, Varietas δ᾽ αὖ ῥόδῳ, pro δὲ ῥόδῳ librario deberi videtur, qui δὲ necessario corripi opinabatur ante ῥόδῳ.
(138) B, πρὸς αὐτόν.
(139) A, τύχει. A B, σωτηρίας
(144) A, πάνδικον... πύρας πελαργίαν. Cf. Il. 11, 490, 491.

Ὡς δὲ χειμάρρους ποταμὸς ἐξ ὄμβρων πλημμυρήσας,
δρῦς κατασύρει μετ' ἀφροῦ καὶ πεύκας τῇ θαλάσσῃ,
οὕτω τῷ τότε παρορμῶν ὁ Αἴας συνεκλόνει,
ἱππεῖς καὶ ἵππους καὶ πεζοὺς πάντας ὁμοῦ συγκόπτων.
Ἀριστεροῖς ὁ Ἕκτωρ δὲ τὴν μάχην συνεκρότει,
ὄχθαις Σκαμάνδρου ποταμοῦ θόρυβος ὅπου μέγας,
ὅπου περ ἔπιπτον ἀνδρῶν αἱ κεφαλαὶ πρὸς πλέον
περὶ τὸν μέγαν Νέστορα καὶ τὸν Ἰδομενέα.
Ἀλέξανδρος τοξεύει δὲ Μαχάονα τῷ τότε,
καὶ παύει τοῦτον τόλμης τε καὶ τῆς ἀνδραγαθίας,
βαλὼν κατ' ὦμον δεξιὸν ἐν τριβελεῖ τῷ βέλει·
ὃν Νέστωρ ἐν τῷ ἅρματι ἐξάγει τοῦ πολέμου.
Ὁ Κεβριόνης δὲ ἰδὼν τοὺς Τρῶας κλονουμένους
ἡνιοχῶν τῷ Ἕκτορι φησὶν ὡς πρὸς ἐκεῖνον·
« Ἡμεῖς μὲν πρὸς τὰ ἔσχατα στρεφόμεθα τῆς μάχης,
« οἱ δ' ἄλλοι Τρῶες συμμιγῶς, ἱππεῖς, πεζοί, καὶ ἵπποι
« συγκόπτονται παρ' Αἴαντος. Ἔγνων καλῶς ἐκεῖνον·
« φέρει περὶ τοὺς ὤμους γὰρ οὗτος πλατὺ τὸ σάκος.
« Ἐκεῖ γοῦν ἄρτι καὶ ἡμεῖς ἐλάσωμεν τὸ ἅρμα
« ὅπου πεζοί τε καὶ ἱππεῖς πολέμῳ βαρυτάτῳ
« ἀλλήλους κατασφάττουσι, βοὴ δ' ἐστὶ μεγάλη ».
Οὕτως εἰπὼν ἐξήλασε διὰ νεκρῶν τὸ ἅρμα,
συγκόπτων τούτους τοῖς τροχοῖς καὶ τοῖς ποσὶ τῶν ἵππων.
Καὶ τῶν λοιπῶν ἐπήρχετο τάξεις Ἑλλήνων Ἕκτωρ
ἐν ξίφει τε καὶ δόρατι καὶ λίθοις βαρυτάτοις,

(147) A B, τῷ τόπῳ.
(149) Ἀριστεροῖς. Cf. Il. 11, 498.
(151) B, ὅπουπερ ἀνδρῶν κεφαλαί, versu imperfecto. C, ὅπερ, superscripto ποῦ.
(154) B, πόλεμεῖν, ἀνδραγαθεῖν ὡσαύτως.
(156) B, ὁ νέστωρ.
(157) A, καὶ βριώνης. Idem mendum libro M, 41, et N, 157...
(158) A B, φησὶ καὶ πρός.
(163) A, ἐλάσσομεν. B, ἐλάσομεν.
(167) A, τούτοις.

βαλλόμενος τοῖς Ἀχαιοῖς, ὠθούμενος μακρόθεν·
τοῦ Αἴαντος δ' ἐξέφευγε τὴν κατὰ χεῖρας μάχην.
Ὁ Ζεύς, ἡ εἱμαρμένη δὲ τὸν Αἴαντα δειλαίνει.
Ἔστη δὲ μόνος ἐκπλαγείς, καί, θεὶς ὀπίσω σάκος,
φεύγει περιβλεψάμενος ἐν ἠρεμαίᾳ βάσει.
Σὺν τοῖς Τρωσὶ δ' ἐπίκουροι, μέσον τὸ σάκος τούτου
τοῖς δόρασι τιτρώσκοντες, κάτοπιν ἠκολούθουν.
Οὗτος δ' ὑπέστρεφε ποτὲ καὶ μάχην συνεκρότει,
ποτὲ δὲ πάλιν ἔφευγεν, εἶργε δ' ὡς εἶχε Τρῶας,
μέσος αὐτὸς ἱστάμενος Ἑλλήνων τε καὶ Τρώων.
Τὰ ξίφη δὲ καὶ δόρατα καὶ βέλη τὰ παντοῖα,
ἄλλα τῷ σάκει τούτου μὲν ἦσαν ἐμπεπαρμένα,
πολλὰ δ' εἰς γῆν ἐμπέπηκτο θέλοντα τοῦτον τρῶσαι.
Τοῦτον δὲ βιαζόμενον τοῖς βέλεσιν ὡς εἶδε,
στὰς παρ' αὐτὸν Εὐρύπυλος πέμπει τὸ δόρυ τούτου,
καὶ Ἀπισάονα βαλὼν ἀνεῖλε τὸν Φαυσίου.
Ὁρμήσας τοῦτον δὲ γυμνοῦν αὐτοῦ τῆς πανοπλίας
τὸν δεξιὸν τοξεύεται μηρὸν ἐξ Ἀλεξάνδρου·
καὶ τὸ τοῦ βέλους ξύλον μὲν εὐθέως ἀπεκλάσθη,
τὸν δὲ μηρὸν Εὐρύπυλος ὀδυνηθεὶς μεγάλως
ἔφευγε πρὸς τοὺς Ἕλληνας μέγα βοῶν καὶ κράζων·
« Ὦ στρατηγοί, συστράφητε πάντες οἱ τῶν Ἑλλήνων
« καὶ στάντες βοηθήσατε· ὁ Αἴας κινδυνεύει
« πνιγόμενος τοῖς βέλεσιν, οὐδὲ φυγεῖν δοκεῖ μοι ».
Οὕτως εἶπεν Εὐρύπυλος· οἱ δ' ἔστησαν πλησίον

(170) Hic versus abest a B C, nec habet fundum in Homerica narratione.
(171) A, ἐξέφυγε.
(174) A, ἠρημαία.
(179) A B, δ' αὐτός.
(180) A B, ξίφη τε.
(182) B, ἐμπέπτηκτο.
(183) C, τοῖς βέλεσι, superscripta variante, πυκναῖς βολαῖς. Homerus Il. 11, 575 ; πυκινοῖσι βιαζόμενον βελέεσσι.
(193) A, δοκεῖν.
(194) A, εἰπών.

αὐτῶν τοῖς ὤμοις θέμενοι ἕκαστος τὰς ἀσπίδας,
ἐκτείνοντες τὰ δόρατα. Ἦλθε δ' αὐτοῖς ὁ Αἴας,
ὥσπερ καρκῖνος ὄπισθε ποιούμενος τὴν βάσιν.
Ἐπὰν δ' αὐτοῖς προσήγγισεν, εὐθέως μετεστράφη.
Οὕτως οἱ μὲν ἐμάχοντο θερμῶς καὶ διαπύρως·
Νέστορος δὲ Μαχάονα ἐξάγοντος πολέμου,
ὁ Ἀχιλεὺς τὸν Πάτροκλον πέμπει μαθεῖν τίς εἴη.
Ὁ δὲ πρὸς Νέστορος σκηνὰς παραδραμὼν εὐθέως,
ἐκείνους πίνοντας εὑρὼν, Μαχάονα γνωρίζει·
πολλὰ δὲ παρὰ Νέστορος νουθετηθεὶς πρεπόντως,
ἢ πεῖσαι λόγοις ἐξελθεῖν εἰς μάχην Ἀχιλέα,
εἴτουν αὐτὸν φορέσαντα τὴν τούτου πανοπλίαν,
τοῦτον τοῖς λόγοις ἔπεισεν· ὃς ὑποστρέφων πάλιν,
εὑρὼν Εὐρύπυλον μηρὸν τῷ βέλει τοξευθέντα,
καίπερ σπουδάζων παρ' αὐτὸν ἐλθεῖν τὸν Ἀχιλέα,
ὅμως αὐτὸν ἰάτρευσε. Τὸ βέλος ἐκβαλὼν γαρ
ἐν χλιαρῷ τῷ ὕδατι ἀπένιψε τὸ αἷμα,
τρίψας δὲ ῥίζαν τὴν πικρὰν τὴν τῆς ἀριστολόχου
τὴν παυστικὴν τῶν ὀδυνῶν, ἐνέβαλε τῷ ἕλκει,
ἥτις πάσας ἀπέπαυσεν ἐκείνου τὰς ὀδύνας·
τὸ ἕλκος ἐξηράνθη μὲν, ἐπαύθη δὲ τὸ αἷμα.

(195) A B, αὐτῶν γὰρ ὤμοις.
(196) A, αὐτός.
(197) A B, ὄπισθεν.
(206) C, φορέσαντες.
(207) Sic A B C. Syntaxis non potest institui. Tzetzes versus componebat ex tempore, ac fluit sæpius lutulentus. Nexus sententiæ legitimus poscit, τούτου λόγοις ἐπείθετο· ὑποστρέφων δὲ πάλιν, vel simile quid.
(210) B, ἐκβαλὼν γάρ.
(212) B C, τὴν τοῦ ἀρ. A, τῆς quod prætuli, intellecto ἡ Ἀριστόλοχος de Diana, de Λοχίᾳ Ἀρτέμιδι. Homerus tacet de herba aristolochia.
(213) A, ἀνέπαυσεν.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Μ (*).

Οὕτω σκηναῖς ὁ Πάτροκλος Εὐρύπυλον ἰᾶτο,
Οἱ δ' Ἕλληνες ἐμάχοντο καὶ Τρῶες κατὰ πλήθη.
Τὸ τῶν Ἑλλήνων ἔμελλε τεῖχος δὲ καταπίπτειν.
Ἐκτίσθη παρὰ γνώμην γὰρ θεῶν τῶν ἀθανάτων,
εἰς κάκιστον θεμάτιον ἐν τροπικοῖς, ὡς εἶπον·
διὸ καὶ οὐ μακρόχρονον ἔμελλε πεφυκέναι.
Μετὰ γὰρ ὑπονόστησιν Ἑλλήνων εἰς πατρίδας
ὁ Ποσειδῶν Ἀπόλλων τε — τὸ ὕδωρ, καὶ ὁ χρόνος
ὅστις ἐκ τῆς κινήσεως πληροῦται τοῦ ἡλίου,
τὴν σφαῖραν περιτρέχοντες ἐν δρόμοις τοῖς οἰκείοις
πρὸς τὴν ἑῴαν ἐκ δυσμῶν, ὅπερ πλανήτων δρόμοι —
ἔμελλον βουλευόμενοι τὸ τεῖχος ἀφανίσαι,
τόσους ἐξ Ἴδης ποταμοὺς πληρώσαντες ὑδάτων,
τὸν Ῥῆσον, τὸν Ἑπτάπορον, Ῥόδιον, Κάρησόν τε,
τὸν Γρήνικον καὶ Αἴσηπον, Σκάμανδρον καὶ Σιμοῦντα,

(*) Lemmata similia præcedentibus.

(2) A B, καὶ τά. Homerus Il. 12, 3, ὁμιλαδόν, quod non male reddit lectio C.

(3) A, τείχισμα κατ.

(4) A B, γνώμην δέ. C, γάρ. Permutantur illæ conjunctiones in Luciani Dial. D. 2, 1, Jove Amori dicente : ἐμοῦ δὲ ὅλως οὐδεμίαν ἥντινα ἐρασθῆναι πεποίηκας, οὐδὲ συνῆκα ἡδὺς γυναικὶ διὰ σὲ γεγενημένος. Inveni, quod malim, in codice 1310 : πεποίηκας· οὐ γὰρ συνῆκα.

(5) ὡς εἶπον, scilicet libro 11, 117, ubi nota.

(11) A, εἴπερ. Fortasse ἧπερ.

(12) Inter 12 et 13 A inserit : τόσους ἐξ Ἴδης βουλευόμενοι τὸ τεῖχος ἀφ.

(14) A, ῥῦσον.

(15) A, σιμοῦντον.

ὅπου πολλαὶ μὲν ἔπεσον ἀσπίδες καὶ κυνέαι,
ὅπου περ πίπτει θερισθὲν γένος ἀνδρῶν, ἡρώων·
τούτους τοὺς πάντας ποταμοὺς ἀναστομώσας χρόνος
ἐνναημέρως ἔπεμπε ῥέοντας πρὸς τὸ τεῖχος,
ὀμβροῦντος ἅμα σὺν αὐτοῖς καὶ οὐρανοῦ, Διός δε,
καὶ Ποσειδῶνος πλήττοντος τὰ τείχη τῇ τριαίνῃ·
ἤγουν καὶ τρικυμίαις δε μεγάλαις τῆς θαλάσσης
ποιησαμένης προσβολάς, τὸ τεῖχος ἠφανίσθη.

Ταῦτα μὲν οὕτως ἔμελλεν ὑστέρως γεγονέναι·
τότε δὲ πόλεμος σφοδρὸς ἐρράγη πρὸς τὸ τεῖχος,
ἐκτύπει δὲ βαλλόμενα ξύλα τῶν πυργωμάτων.
Ἀργεῖοι δὲ τὸν Ἕκτορα δεινῶς ἐπτοημένοι,
συγκεκλεισμένοι ταῖς ναυσὶν ἄκοντες ἐκαρτέρουν.
Ὁ δὲ Τρωσὶν ἐκέλευσε τὴν τάφρον ὑπερβαίνειν.
Οἱ ἵπποι δ' ἐχρεμέτιζον τοῖς χείλεσι τῆς τάφρου·
περᾶν γὰρ ἐδειλαίνοντο τῶν κατακρήμνων οὖσαν,
πυκνοὺς ὀξεῖς τε σκόλοπας ἔχουσαν πεπηγμένους.
Ὁ Πολυδάμας Ἕκτορι τότε δὲ συμβουλεύει
πεζεύσαντας τοὺς σύμπαντας, πανόπλως ὡπλισμένους
καὶ φραξαμένους πυργηδὸν, χωρεῖν ὡς πρὸς τὸ τεῖχος.
Οὕτως εἰπόντος, ἅπαντες ἀπέβησαν τῶν ἵππων,
πρώτου πρὸ πάντων Ἕκτορος ἅρματος ἀποβάντος.
Εἰς πέντε στραταρχίας δὲ καλῶς συντεταγμένοι,
οἱ πλεῖστοι μὲν καὶ ἄριστοι καὶ πνέοντες πολέμου,

(16) C, ἐννεαημέρως. B, ἐννεαημέρως, indicata signo hyphen vocalium synizesi. Sed id violatæ legis metricæ remedium non hic videtur accipiendum. Scripsi ἐνναημέρως ex A. Ipse Tzetzes Chil. 2, 43, dabit exemplum, qui id exhibet hemistichium, καὶ ἐνναήμερον καιρόν, nec contradicit bonus codex.

(21) A, τροιαίνῃ.

(22) C, τρικυμίας δε μεγάλης..... ποιησαμένης. A B, τρικυμίαν δὲ μεγάλην. Scripsi τρικυμίαις μεγάλαις.

(30) A, τοῦ τάφρου.

(32) A, ὀξεῖς τοὺς σκ.

(35) A B, καὶ πρός. Cf. ad libr. A, 75.

(38) A, τετραρχίας. Cf. Il. 12, 87.

*καὶ τεῖχος ῥῆξαι σπεύδοντες καὶ μάχεσθαι τοῖς πλοίοις*
*μετά τε Πολυδάμαντος, Ἕκτορος, Κεβριόνου·*
*οἱ δὲ μετὰ τοῦ Πάριδος, Ἀγήνορος, Ἀλκάθου·*
*μετὰ δ' Ἑλένου ἕτεροι, Ἀσίου, Δηϊφόβου·*
*ἄλλοι μετ' Ἀρχελόχου τε Ἀκάμαντος, Αἰνείου·*
*οἱ πέμπτοι δὲ, τὰ ξενικὰ καὶ τὰ τῶν ἐπικούρων,*
*σὺν Σαρπήδονι στρατηγῷ, Ἀστεροπαίῳ, Γλαύκῳ,*
*συνασπισμὸν ποιήσαντες, πύκνωσιν τῶν ἀσπίδων,*
*ὥρμων δοκοῦντες Ἕλληνας πάντας ναυστάθμοις κτεῖναι.*
*Βουλαῖς δὲ Πολυδάμαντος πάντων πεζῶν χωρούντων,*
*Ἄσιος μόνος τῶν λοιπῶν ἱππεὺς ἁρματηλάτης*
*θρασὺς ἐχώρει σοβαρὸς ὡς πρὸς αὐτὸ τεῖχος·*
*πρὸς πλοίων δὲ ἀριστερὸν ὥρμησαν οὗτοι μέρος*
*ὅπου περ ἦσαν Ἕλληνες φεύγοντες ἐκ πεδίου.*

(40) C, τοῖς πλείοις.

(41) A, καὶ βριόνου, et sic A, 157, prima syllaba mendosa et a ceteris male divulsa. Non sine utilitate vocem sic male truncatam reparabo in Luciano Dial. Meretr. q : ἐσπάραττε τότε τὰς κόμας καὶ τὰ στέρνα ἐτύπτετο. Melius codex 2956, ἐσπαράττετό τε, quæ forma media cum ἐτύπτετο consentit. Paulo superius pro vetere lectione παρμένωνα idem codex exhibet παρμένοντα quod nunc est receptum. Helladius Photii cod. 279, p. 1588, 24, servos ait et ex indole habuisse nomina, Παρμένωνα, Πιστόν, Δρόμωνα. Est enim παρμένων quasi παραμένων, et potuit per casus obliquos flecti ut participium ipsum. Sic Ἑρμίππου τοῦ Ἐπιτυγχάνοντος in Inscriptione Reinesiana, quam inter multa exempla participiorum nominascentium protuli olim dissertatione epigraphica Classici Diarii t. 17, p. 377, vel inter Holstenii a me editas Epistolas p. 434. Nec aliter Latini participiis sunt suis usi, apud quos nomina occurrunt, Restitutus, Benegestus, alia; quibus nondum velim tamen addere Delibutus, quod proprio pro nomine habuit vir doct. in hacce inscriptione taurobolica et criobolica: DEO MAGNO MITHRÆ POLLENTI ..... M. PHILONIVS PHILOMVSVS EUGENIANUS DELIBUTUS SACRATISSIMIS MYSTERIIS PER OIA PROBATISSIMUS. Mihi quidem delibutus epithetum esse videtur Eugeniani istius taurobolisti, qui, per sexcentas rimas tabularum sub quibus defossus latebat, vestibus, et vultu, et ore, et corpore toto, sanguinei imbris guttas ad unam omnes combiberat, ut perlutus ad ossa delibutusque penitus madesceret.

(42) A, ἀλγήνορος, ἀλγάρου. B posuit 42 ante 43, non recte. Cf. Il. 12, 88 sqq.

(46) A, σαρπήδωνι· C, πλαύκω.

(48) A B, δοκοῦντας. B, ναυπάκτους. C, ναυστάθμων.

(49) C, παιζῶν.

(50) B, ἄσιμος. Cf. Il. 12, 110.

(51) B, στιβαρός. A B, καὶ πρός. Cf. ad v. 35.

(52) A, ἀριστερῶν. Fortasse ὥρμησεν οὗτος. Cf. Il. 12, 118. Statim, οὗτος παρήλαυνε. Sed ὥρμησαν οὗτοι erunt τοὶ δ' ἅμ' ἕποντο Homeri, Tzetzæ οἱ δ' ἤρχοντο κατόπισθε.

(53) A, ὅπερ. C, φεύγ. Ἑλλ.

Οὗτος ἐκεῖ παρήλαυνε τὸ ἅρμα καὶ τοὺς ἵππους·
κομπαστικῶς οἱ δ' ἤρχοντο κατόπισθε βοῶντες·
ἤλπιζον γὰρ οἱ ἄφρονες Ἕλληνας παραυτίκα
πάντας ὁρμῆσαι πρὸς φυγὴν, μηδ' ὑποστῆναι τούτους.
Εὗρον ἠνεῳγμένας δὲ πύλας Ἑλλήνων τείχους·
ἄνδρες αὐτὰς κατεῖχον δὲ σώζοντες πεφευγότας.
Εὗρον καὶ δύο στρατηγοὺς τῶν Λαπιθῶν ἐν πύλαις,
τὸν μέγαν Πολυποίτην τε καί γε τὸν Λεοντέα,
τὸν μὲν Ἱπποδαμείας τε υἱὸν καὶ Πειριθόου,
τὸν Λεοντέα παῖδα δὲ Κορώνου, Κλεοβούλης.
Οὗτοι πρὸ τῶν πυλῶν ἦσαν τῶν ὑψηλῶν ἑστῶτες,
ὡς ὑπερμήκεις κραταιαὶ καὶ τῶν εὐρίζων δρύες,
αἵπερ ἀνέμους ὄρεσι καὶ ὄμβρους καρτεροῦσιν·
οὕτω καὶ οὗτοι ταῖς χερσὶ θαῤῥοῦντες ἐκαρτέρουν.
Οἱ δὲ περὶ τὸν Ἄσιον, Ἰάμενον, Ὀρέστην,
Ἀδάμαντα καὶ Θόωνα, μετὰ τοῦ Οἰνομάου,
εἰς ὕψος ἀνατείναντες ἀσπίδας βοοδέρμους,
μετὰ μεγάλης τῆς κραυγῆς ἐχώρουν πρὸς τὸ τεῖχος.
Ὁ μέγας Πολυποίτης δὲ μετὰ τοῦ Λεοντέως,
μέχρι τινὸς ὑπάρχοντες ἔνδον ἑστῶτες τείχους,
ὑπὲρ τῶν πλοίων πολεμεῖν τοὺς Ἕλληνας παρώρμων.
Ἀφ' οὗ τοὺς Τρῶας εἶδον δὲ πρὸς πύλας ὁρμηθέντας,
τοὺς Ἕλληνας δὲ φεύγοντας μετὰ κραυγῆς μεγάλης,
ἔμπροσθε στάντες τῶν πυλῶν τὴν μάχην συνεκρότουν·

(55) B, οἱ δ' ἔρχονται. A, ἔρχοντο. A B, κατόπισθεν.
(57) B, τούτου.
(61) A. μέσον.
(62) A C, πυριθόου. Cf. Il. 12, 129; 2, 741.
(63) A B, τὲ. A, χρόνου καὶ κλ. Cf. Il, 2, 746.
(65) B, ὑπὲρ νίκης καθαρᾶς. A, ὑπὲρ μήκεις.
(67) C, χερσίν.
(69) A B C, ἀδάμαντα. Cf. Il. 12, 140, in varietate.
(72) B, τε.
(77) Codices A B, ἔμπροσθεν. cod. B, πάντες.

κτύπος ὑπῆρχε δὲ πολὺς ἀσπίδων καὶ θωράκων
καὶ περικεφαλαιῶν δε συχνάκις βαλλομένων
ἐκ τῶν ξιφῶν, καὶ τῶν πετρῶν καὶ τῶν βελῶν ἁπάντων,
δίκην χιόνος συνεχοῦς, χειρῶν ἐκ πεμπομένων.
Ἄλλοι παρ' ἄλλας πύλας δὲ τὴν μάχην συνεκρότουν·
πρὸς πᾶν τὸ τεῖχος δὲ τὸ πῦρ ἔλαμπεν ἐκ τῶν ὅπλων.
Ὁ Πολυποίτης τότε δὲ τῇ περικεφαλαίᾳ
δορὶ βαλὼν τὸν Δάμασον ἐδάμασεν αὐτίκα,
ἔπειτα καὶ τὸν Πύλωνα καὶ Ὄρμενον ἀνεῖλεν.
Ὁ Λεοντεὺς δ' Ἱππόμαχον βαλὼν κατὰ ζωστῆρα,
ἑλκύσας καὶ τὸ ξίφος δε κτείνει τὸν Ἀντιφάτην,
ἔπειτα καὶ τὸν Μένωνα, Ἰάμενον, Ὀρέστην.
Ἕως τούτους ἀπέκτεινον οἱ περὶ Πολυποίτην,
τοῖς σὺν τῷ Πολυδάμαντι καὶ Ἕκτορι ἀρίστοις
μέριμνα γίνεται δεινὴ παρὰ τὴν τάφρον οὖσι.
Τέρας ἐφάνη γὰρ αὐτοῖς ἀπὸ τῶν ἀπαισίων.
Δράκοντα φέρων ἀετὸς ζῶντα, δηχθεὶς ἐκ τούτου,
μέσον τῶν Τρώων ἔρριψε, καὶ κλάγξας ὑπεχώρει·
φόβος δὲ μέγας τοῖς Τρωσὶν ἡ τοῦ συμβάντος θέα.
Τοῦ Πολυδάμαντος λοιπὸν νοήσαντος τὸ τέρας,
ὅτι Τρωσὶ γενήσεται δεινὴ παλιντροπία,
Τρῶές τε πέσωσι πολλοὶ χερσὶ ταῖς τῶν Ἑλλήνων,
καὶ λέγοντος τὸν πόλεμον τῷ τότε καταλεῖψαι,
ὠργίσθη καὶ καθύβρισεν Ἕκτωρ πικρῶς ἐκεῖνον,

(81) C, χίονος.
(82) A B, παρὰ πύλας δέ.
(85) Lusui non bono Δάμασον ἐδάμασε praeibat Poeta; saltem vocabula intervallo trium versum in Iliade disjuncta sunt.
(89) A, ἐμέωνα. B, ἐμένωνα. Cf. Il. 12, 193.
(91) A B, τοῖς ἐν τῷ. C, τοῖς σύν. Cf. ad Proleg. 407.
(92) A B, περι. A, τάφρ. πᾶσι.
(93) A. ἐπαισίων.
(95) B C, μέσω.
(99) A B, δέ. C, τε superscriptum.
(100) C, e correctione τῷ τότε. A, τὸν τότε.

μετὰ κραυγῆς δ' ἐξώρμησεν ὡς πρὸς αὐτὸ τὸ τεῖχος.
Καὶ ξυλοπύργους πρὸς αὐτὸ στήσαντες δὴ τὸ τεῖχος,
τὰς κρόσσας τε καὶ γόμφους τε, καὶ κρόσφους καλουμένους,
τοὺς προμαχῶνας πρὸς τὴν γῆν κατέβαλλον τοῦ τείχους,
καὶ πάντα τὰ κριώματα μοχλεύοντες ἐρρίπτουν.
Οἱ δ' Ἕλληνες συμφράξαντες ἀσπίσι προμαχῶνας,
ἔβαλον Τρῶας ἐξ αὐτῶν ὁρμῶντας πρὸς τὸ τεῖχος.
Ἀπανταχοῦ τῶν πύργων δὲ ὁ Αἴας περιτρέχων,
σὺν τῷ Λοκρῷ τῷ Αἴαντι κελεύων καὶ προστάσσων,
παρώτρυνε τοὺς Ἕλληνας ἐμβάλλων προθυμίαν,
λόγοις μὲν ἄλλον στερεοῖς, ἄλλον ἐν πράοις λόγοις.
Αἱ τῶν πετρῶν δὲ χάλαζαι τῶν Τρώων, τῶν Ἑλλήνων,
ὑπὲρ χιόνα κρύπτουσαν γῆν, ὄρη καὶ λιμένας.
Ὁ Σαρπηδὼν παρῄνει δὲ τότε τῷ Γλαύκῳ λέγων,
ὡς πρέπει τὸν τιμώμενον ἄρχοντα στρατιώτην,
τὸν ὄντα πρῶτον χρήμασι καὶ κτήμασι τοῖς ἄλλοις,
εἶναι καὶ πρὸς τὸν πόλεμον πρωτεύοντα τῶν ἄλλων,
ὅπως μὴ λέγῃ τις αὐτὸν εἰς μάτην δοξασθῆναι·
« Εἴπερ γὰρ τόνδε πόλεμον, ὦ Γλαῦκε, πεφευγότες
« ἐμέλλομεν ἀθάνατοι καὶ ἄνευ γήρως εἶναι,
« οὐκ ἂν μαχόμενος αὐτὸς ὑπῆρχον ἐν τοῖς πρώτοις,
« ἀλλ' οὐδέ σε παρώρμων ἂν εἰς πόλεμον καὶ μάχην.
« Ἐπεὶ δὲ τρόποι μέν εἰσι μυρίοι τοῦ θανάτου
« οὕσπερ οὐκ ἔστι δυνατὸν ἄνθρωπον πεφευγέναι,
« καρτερικῶς μαχόμενοι κτείνωμεν ἢ κτανθῶμεν. »
Οὕτως εἰπὼν παρώτρυνεν αὐτὸν καὶ τοὺς Λυκίους,

(102) A B, sine δ'.
(104) A, τοὺς κροσσωτοὺς καὶ γ. τε καὶ σκρόφους. B, γόμφους δὲ καὶ κρ. C, τοὺς κρόσσας.. γρόμφας.. σκρόφας.
(105) C, κατέβαλον.
(112) A, στερροῖς.
(116) C, ἄρχοντες.
(119) A C, λέγει.

καὶ πρὸς αὐτὸν ἐξώρμησε τὸν πύργον Μενεσθέως.
Ὁ Μενεσθεὺς δὲ πτοηθεὶς ἑώρα πρὸς τοὺς πύργους
τίς ἄρα στρατηγὸς ἀνὴρ προσβοηθήσοι τούτῳ.
Πλησίον δὲ τοὺς Αἴαντας ἰδὼν, ἀλλὰ καὶ Τεῦκρον,
βοῶν αὐτοὺς οὐκ ἴσχυε ποιῆσαι κατακοῦσαι·
εἰς οὐρανὸν ὁ κτύπος γὰρ ὁ τότε διϊκνεῖτο,
πύργων, πυλῶν καὶ τῶν τειχῶν συχνάκις βαλλομένων,
καὶ περικεφαλαιῶν δὲ σύναμα ταῖς ἀσπίσι.
Πέμψας Θοώτην ἔπειτα τὸν Αἴαντα καλεῖ δε,
ὅσπερ ἐλθὼν σὺν ἀδελφῷ, τῷ Τεύκρῳ τῷ τοξότῃ,
τὰ τόξα τούτου φέροντος Πανδίονος τῷ τότε,
πρὸς πύργον δ' ἀναβαίνοντας τετυχηκὼς Λυκίους,
λίθῳ τραχεῖ τὸν Ἐπικλῆ τὸν Σαρπηδόνος φίλον
βαλὼν ἐξ ὕψους ἔρριψεν ἀπὸ τοῦ πύργου κάτω
θλάσας ὁμοῦ τὴν κεφαλὴν καὶ περικεφαλαίαν.
Ὁ Τεῦκρος δὲ βραχίονι τὸν Γλαῦκον ἐκτοξεύει
πρὸς τεῖχος ἀνερχόμενον, ὃς πέφευγε πηδήσας.
Ὁ Σαρπηδὼν δ' Ἀλκμάονα τρώσας δορὶ φονεύει,
τὸν προμαχῶνά τε χερσὶν ἑλκύσας ἀποκόπτει,
ἀπογυμνοῖ τὸ τεῖχος δὲ, πᾶσιν ὁδὸν ποιήσας.
Τοῦτον ὁ Τεῦκρος δὲ βαλὼν βέλει πρὸς τελαμῶνα
(πρὸς τελαμῶνα δὲ φημὶ τοῦ θυρεοῦ, ἀσπίδος),
ὁ Αἴας τὴν ἀσπίδα δὲ τῷ δόρατι τρυπήσας
μικρόν τι παρεξέωσαν ἀπὸ τοῦ προμαχῶνος.

(130) A C, τίς ἄρα τούτῳ στρατηγὸς ἀνὴρ προσβοηθήσοι · mala hemistichiorum divisione, quum sic στρατηγὸς et ἀνὴρ cæsura divellantur.
(132) A, κατακούσσειν.
(133) A, ὁ πύργος.
(134) A, πολλῶν.
(137) A, τοξότι.
(138) A, πανδίωνος.
(139) A, τετυχικώς.
(140) A, σαρπηδῶνος.
(145) A, ἀλκάνορα. Cf. Il. 12, 394.
(149) A, θηραίου. Cavet ne cogitet lector de heroe Τελαμῶνι. In nomine proprio accentum retrahi vetat usus.
(151) A B, παρεξέωσεν.

Οὗτος δὲ πάλιν σὺν αὐτοῖς ὥρμησε τοῖς Λυκίοις,
καὶ συγκροτοῦσι καρτερὰν καὶ στερροτάτην μάχην·
ἁπανταχοῦ δ' οἱ πύργοι τε καὶ πάντες προμαχῶνες
ἐβάπτοντο τοῖς αἵμασιν Ἑλλήνων τε καὶ Τρώων.
Οἱ Τρῶες δὲ, τοῦ Ἕκτορος κελεύοντος ἐκείνοις,
ὁμοῦ πάντες ἀνέβαινον κλίμαξι πρὸς τὸ τεῖχος,
καὶ πύργοις, οἷσπερ εἴπομεν, ξυλίνοις ὑποτρόχοις.
Ἕκτωρ δὲ λίθον μέγιστον ἄρας εἰς ὕψος τότε,
οἷον ἐκ γῆς πρὸς ἅμαξαν μόλις ἂν θῶσι δύο,
μέσας τὰς πύλας ἔβαλε, τοὺς στρόφιγγας ἐκκόπτει·
ὁ λίθος ἔσω πέπτωκεν, ἐκρότησαν αἱ πύλαι,
σανὶς δὲ πᾶσα τῶν πυλῶν τμηθεῖσα διεσπάρη.
Δύο δὲ δόρατα κρατῶν, τῷ θώρακί τε λάμπων,
δεινὸς κατὰ τὸ πρόσωπον πῦρ ὀφθαλμῶν προπέμπων
ὁ Ἕκτωρ εἰσεπήδησεν ἔνδον τοῦ τείχους τότε
ὅνπερ οὐκ ἄν τις ἴσχυσεν ἄνευ θεῶν κωλῦσαι,
καὶ τοῖς Τρωσὶν ἐκέλευεν ἐμβαίνειν πρὸς τὸ τεῖχος.
Οὗτοι μὲν οὖν εἰσέβαινον ἐκ τῶν πυλῶν καὶ πύργων·
πρὸς δὲ τὰς νῆας ὁ στρατὸς ἦν φεύγων τῶν Ἑλλήνων.
Βοὴ δ' ἤρθη καὶ θόρυβος κατάπαυσιν οὐκ ἔχων.

(153) C, χαρτερὰν, superscripto κρ, id est κρατεράν.
(155) B C, ἑλλήνων καὶ τῶν Τρ.
(158) A, ὥσπερ... ἱπποτρόχοις.
(161) B, ἔβαλλε. AB, τάς.
(165) A, προλάμπων.
(167) A, ἴσχυεν. Comparetur Ilias extremo libro 12.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Ν (*).

Ὁ Ζεύς, ἡ εἱμαρμένη, δέ, σὺν Ἕκτορι τοὺς Τρῶας
ἀφ' οὗ πρὸς ναῦς εἰσήγαγεν, ἐκεῖσε καταλείπει
ἀδιαλείπτως πολεμεῖν καὶ πόνους ὑπομένειν.
Μέχρι γὰρ πλοίων κατελθεῖν ἦν εἱμαρμένον Τρῶας,
οὐ μὴν καὶ περαιτέρω δέ. Ὅθεν φησὶ τοιαῦτα·
Αὐτὸς ἑώρα Θρᾷκας δὲ ἄνδρας μαχιμωτάτους,
ἤγουν τοὺς ἐν ἑτέροις δὲ πολέμους καθεώρα
καὶ Σκύθας τοὺς ἀμέλγοντας τὸ γάλα τὸ τῶν ἵππων,
οὕσπερ ἀβίους τε καλεῖ καὶ τῶν δικαιοτάτων.
Ζῶσι σκηνίτην βίον γάρ, οὐ τῶν πολυχρημάτων,
καὶ πρὸς ἀλλήλους δὲ πολλῇ χρῶνται δικαιοσύνῃ,
ὑπὲρ ἡμᾶς τοὺς τῷ Χριστῷ τάχα δεδουλωμένους.
Κλέπτης αὐτοῖς οὐδείς ἐστιν ὡς κλέψαι τι θρεμμάτων·
ὁ λόγος βεβαιότερος τούτοις ἐστὶ τῶν ὅρκων

(*) Lemmata similia præcedentibus.

(2) C, προσήγαγεν.

(5) Φησί, Homerus scilicet Il. 13, 3, sqq.

(10) A B C, σκηνήτην. Sed A e correctione σκηνίτην.

(12) A, ἡμῶν τούς.

(14) Videtur meminisse Isocratis Ad Nicoclem § 7. διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν οὕτω φαίνου προτιμῶν, ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους ἢ τοὺς τῶν ἄλλων ὅρκους. Iterum Isocrates Ad Demon. p. 5 Corayanæ. Theodorus Hyrtacenus in meis Anecdotis gr. t. 2, p. 458: δέξαι τὸν λόγον ὡς ὅρκον, τὴν γνώμην ὡς πίστιν, τὸν τρόπον ὡς μάρτυρα. Ibi nota. Menander Hymnide apud Stobæum Tit. 37, 19: Τρόπος ἔσθ' ὁ πείθων τοῦ λέγοντος, οὐ λόγος. Qui versus positus fuit in Meinekiana priore, alteram non vidi, inter incerta fragmenta p. 201. Stobæus ibidem apophthegmata profert comparanda Lycurgi, Solonis, Demosthenis §§ 24, 31, 34. Hanc sententiam tractat Basilius Macedo Exhortationibus c. 16, ubi Damkius. Isidorus Pe-

οὓς ἂν ὁ Χαλκηδόνος τε ὁμέσῃ καὶ Κυζίκου.
Ὁμονοοῦσιν ἅπαντες καὶ ζῶσι κοινοβίως,
πολλά τε δικαιότητος τούτοις ἐστὶ σημεῖα.
Ὁ ἐκ θαλάσσης Ποσειδῶν, ὁ βοηθὸς Ἑλλήνων,
τοιουτοτρόπως βοηθεῖν τοῖς Ἕλλησιν ἐλέχθη·
νέφος παχύ τι πυκνωθὲν ἤρθη πρὸ Σαμοθράκης·
πρὸς ὄμβρον τοῦτο δὲ ῥαγέν, ἀνέμους τε κινῆσαν
κατεναντίους ταῖς ναυσίν, ἔσχε μὴ φεύγειν τούτους.
Ἔκτοτε γὰρ οἱ Αἴαντες, θαρσήσαντες μεγάλως,
γενναιοτέρως τοῖς Τρωσὶ τὴν μάχην συνεκρότουν·
οὐκ ἔτι γὰρ ὑπώπτευον ναυσὶ τοὺς ἄλλους φεύγειν.
Φυγῆς τόπον οὐκ ἔχοντες κἀκεῖνοι συνεμάχουν.
Οὕτω λοιπὸν οἱ Αἴαντες μετὰ τῶν ἀριστέων
συνασπισμὸν ποιήσαντες, πυκνώσαντες τοὺς λόχους,
τὰς περικεφαλαίας τε, τὰ δόρατα, τὰ σάκη,
τοὺς Τρῶας καὶ τὸν Ἕκτορα γενναίως ἐκαρτέρουν.
Οἱ Τρῶες πάντες δὲ ὁμοῦ τύπτουσι πρῶτοι τούτους,
ὁ δ' Ἕκτωρ πάντων πρώτιστος. Ὥσπερ στρογγύλος λίθος,
ὅνπερ χειμάρρους ποταμὸς ἐξ ὄρους ἀποκόψῃ,
πρὸς τὸ πρανὲς ἐξ ὄρους δε κυλίεται σὺν κτύπῳ,
κόπτων τὴν ὕλην, κατακλῶν, ἀναπηδῶν εἰς ὕψος,
ἕως οὗ πρὸς ἰσόπεδον φθάσῃ καὶ λεῖον τόπον,
τότε δ' οὐκ ἔτι δύναται κυλίεσθαι καὶ θρώσκειν·
οὕτως ὁ Ἕκτωρ ἀπειλῶν ἐκόμπαζε μεγάλως
εὐκόλως διελεύσεσθαι σκηνὰς τὰς τῶν Ἑλλήνων,

lusiotes 5, Epist. 213 : ὁ τρόπος γάρ ἐστι τοῦ πείθοντος ὁ αἰδέσιμος, οὐχ ὁ λόγος. Cujus legenda præsertim Epist. 414, cum nota Schotti.

(15) B C, Καλχηδόνος, permutationes frequenti.

(17) B, πολλά γε. C, πολλὰ τῆς.

(20) A, πρὸς ἀρμαθράκην. B C, πρὸς σαμοθράκην. Cf. II. 13, 12.

(25) A B, ὑπόπτευον.

(37) B, τότε δ' οὔτι δύναται.

(38) A, οὗτος.

σκηνὰς ὁμοῦ καὶ νῆας τε, μέχρι θαλάσσης κτείνων.
Τοιαῦτα μὲν ἐκόμπαζε μέχρι τινὸς τοῦ χρόνου·
ἀλλ' ὅτε δὴ προσήγγισεν Αἰάντων παρατάξει,
καὶ τῶν σακῶν τὴν πύκνωσιν εἶδε καὶ τῶν δοράτων
οἷα στερρὸν, εὐάρμεστον πύργον πυκνοῖς τοῖς λίθοις,
τὰ κράνη τε καὶ θώρακας, καὶ ξίφη τεθηγμένα,
καὶ σιδηρᾶν τὴν ἀστραπὴν ἐκπέμποντα τῇ στίλψει,
ἔστη μὴ θέλων ἔγγιστα· οἱ δ' Ἕλληνες ἀντίοι,
τοῖς ξίφεσι καὶ δόρασι τιτρώσκοντες ἐκεῖνον,
ἀφ' ἑαυτῶν ἀπήλασαν· σύντρομος δ' ὑπεχώρει,
τοῖς δὲ Τρωσὶν ἐβόησεν· « Ὀλίγον καρτερεῖτε·
« οὐ πρὸς μακρὸν οἱ Ἕλληνες κωλύουσί με χρόνον,
« κἄνπερ κατεπυκνώθησαν ὥσπερ στερρότης πύργου.
« Ἀλλὰ, νομίζω, πρὸς τροπὴν τῷ δόρατι κινήσω. »
Οὕτως εἰπὼν ἀνήγειρε τὴν Τρώων προθυμίαν.
Ὁ Μηριόνης τότε δὲ περιπατοῦντα γαῦρον
Δηίφοβον ἐφόβησε δορὶ βαλὼν ἀσπίδα,
τὸ πρόσθιον δὲ δόρατος συνθραύσας τοῦ οἰκείου,
πρὸς τὴν σκηνὴν ἀφώρμησεν ἄλλο κομίσαι δόρυ.
Οἱ δ' ἄλλοι πάντες σὺν βοῇ τὴν μάχην συνεκρότουν.
Ὁ Τεῦκρος δὲ τὸν Ἴμβριον πρῶτος τῶν ἄλλων κτείνει,
υἱὸν ὄντα τοῦ Μέντορος, γαμβρὸν δὲ τοῦ Πριάμου·
Μηδεσικάστην εἶχε γὰρ νόθην Πριάμου κόρην.
Τοῦτον τρώσας ἀπέκτεινε πρὸς οὖς τῷ δορατίῳ.
Ὡς δὲ φονεύσας ὥρμησεν ἐκεῖνον καὶ γυμνῶσαι,

(40) Cf. Il. 13, 143...
(42) B, δὲ... ἑλλήνω παρ.
(45) B C, κράνη δέ.
(46) B, σιδηρῶν.
(47) B, ἔστημα θέλων. A, ἔστη μέν.
(55) A, τάφρον. Quum Γ vocis Γαῦρον abiisset lapsu solito in Ταῦρον, correctori τάφρον videbatur proximum esse mendo ταῦρον, minimum scilicet pronunciationis τάφρον inter et τάβρον discrimen est.
(56) B, ἐβόησε.
(57) A, συνθλάσας.
(62) A, μηδεσικράτην. Cf. Il. 13, 173.

Ἕκτωρ τὸ δόρυ κατ' αὐτοῦ βαλὼν ἐκπεφευγότος,
στήθει βαλὼν ἀπέκτεινεν Ἀμφίμαχον Κτεάτου,
ἐξώρμησε καὶ κράνος δὲ τὸ τούτου καθαρπάξαι.
Αἴας δὲ τοῦτον τῷ δορὶ πρὸς ὀμφαλὸν ἀσπίδος
τρώσας, δυνάμει καρτερᾷ παρέτρεψεν ὀπίσω.
Τοὺς δὲ νεκροὺς οἱ Ἕλληνες ἀνείλοντο τοὺς δύο,
Ἀμφίμαχον μὲν Στίχιος μετὰ τοῦ Μενεσθέως·
τὸν Ἴμβριον δ' οἱ Αἴαντες βαστάζοντες ἐγύμνουν.
Ὁ δὲ Λόκρος ἀπέκοψε τὴν κεφαλὴν ἐκείνου,
καὶ δίκην σφαίρας ἔπεμψε πρὸς Ἕκτορος τοὺς πόδας.
Ὁ Ποσειδῶν ὠργίσθη δὲ χάριν τοῦ Ἀμφιμάχου,
καὶ συνεργῶν τοῖς Ἕλλησιν ἐχόλα κατὰ Τρώων.
Κτέατον δὲ μυθεύονται υἱὸν τοῦ Ποσειδῶνος,
ἀνθ' οὗ τοῦτον συνέλαβε πρὸς θάλασσαν ἡ μήτηρ.
Ἐπεὶ γοῦν, ὥσπερ ἔφημεν, ἡ θάλασσα συνήργει
τῷ μὴ παρέχειν ἐκφυγὴν τοῖς θέλουσιν ἐκφεύγειν,
καὶ πάντες πρὸς τὸν πόλεμον ἔστρεφον ἑκουσίως
μετ' Ἀντιμάχου θάνατον τοῦ υἱοῦ τοῦ Κτεάτου,
ὃν Ποσειδῶνος ἔφημεν παῖδα καλεῖσθαι πᾶσιν,
Ἰδομενεὺς ὡς ὥρμησε σὺν ἄλλοις πρὸς τὴν μάχην,
Ὅμηρος δι' Ἀμφίμαχον τὸν Ποσειδῶνα λέγει
ὀργίζεσθαι τοῖς Τρώεσσιν, Ἕλληνας παροτρύνειν,
καὶ τὸν Ἰδομενέα δὲ σὺν ἄλλοις τῶν Ἑλλήνων.

(65) A B, ἐκπεφευγότα. Cf. Il. 13, 184.
(67) B, καθαρπάσαι. Cf. v. 128.
(68) A B, πρὸ ὀφθαλμῶν. Cf. Il. 13, 192.
(69) A, κραταιά. B, κρατερᾷ. Cf. n. ad librum M, 153; et mox v. 162.
(76) A, ἐχώρα.
(77) Apollodorus Bibl. 2, 7, 2.
(79) A, ὡς. Ἔφημεν scilicet v. 23.
(80) A B, ἐκφυγεῖν. Est ἐκφυγὴ vox rara, effugium.
(81) B, πόλεμον ἔφ... reliqua verbi parte evanida.
(82) A, υἱὸν τοῦ του. B, υἱὸν τὸν τοῦ. C, υἱοῦ τοῦ τοῦ κτ. Transpositio fuit facienda.
(83) A, ποσειδῶν ὡς.
(85) λέγει, Homerus scilicet Il. 13, 206.

Ὁ Μηριόνης δὲ λαβὼν ἐκ τῆς σκηνῆς τὸ δόρυ,
τρέχων συντόμως πρὸς αὐτὸν ἦλθεν Ἰδομενέα·
ὁρμῶσι δ' ἄμφω πρὸς σκαιὸν μέρος τῆς πλείων μάχης
καὶ συρραγὴν συμβάλλουσι πολέμου κατὰ Τρώων.
Ἰδομενεὺς δ' ἀπέκτεινε πρῶτος Ὀθρυονέα,
ὅσπερ ἐκ Τροίας Ἕλληνας ὑπέσχετο διῶξαι
ἄνπερ ὁ Πρίαμος αὐτῷ σύνευνον δῷ Κασσάνδραν.
Ἀνεῖλε καὶ τὸν Ἄσιον ἐκείνῳ βοηθοῦντα
πρὸς τὸν λαιμὸν τῷ δόρατι βαλὼν ἀνθερεῶνα.
Τούτου δὲ τὸν ἡνίοχον Ἀντίλοχος ἀνεῖλεν
ἑστῶτα δίφρῳ, τῷ δορὶ πρὸς στῆθος περονήσας.
Τοὺς ἵππους δ' ὁ Ἀντίλοχος πρὸς Ἕλληνας κομίζει.
Δόρυ δ' ἀφεὶς Δηΐφοβος κατὰ Ἰδομενέως,
Ἰδομενέως κύψαντος, κρυβέντος τῇ ἀσπίδι,
βαλὼν πρὸς τὸ διάφραγμα, κτείνει τὸν Ἱππασίδην.
Δηΐφοβος δ' ἐκόμπασε μέγα βοήσας τότε·
« Ἔχει πρὸς ᾅδην ὁδηγὸν Ἄσιος ὃν παρέσχον. »
Τὸν μὲν νεκρὸν ἐξήγαγον ὁ Μηκιστεύς, Ἀλάστωρ.
Ἰδομενεὺς δ' ἀπέκτεινεν Ἀλκάθουν τὸν Αἰσύτου,
εἰς κόρην Ἱπποδάμειαν ὄντα γαμβρὸν Ἀγχίσου,
βαλὼν πρὸς στῆθος τῷ δορὶ δίκην ἑστῶτα στήλης.
Ἐν γὰρ θαλάσσῃ κρατηθεὶς τόπον φυγῆς οὐκ εἶχεν.
Ἰδομενεὺς δ' ἐβόησε τότε τῷ Δηϊφόβῳ·

(88) Conf. superius v. 58.
(90) A, πρὸς καιρόν. Cf. Il. 13, 326.
(94) A, σύναιμον. A B, κασάνδραν. Homerus Κασσάνδρην. Propter quod recepi ex C duo σσ. Utraque scriptura in hoc nomine ac pluribus aliis passim in optimis libris reperitur.
(95) A, ἄσιον οὐκ ἔγνω.
(96) A B C, λαιόν. Scripsi λαιμόν. Cf. Il. 13, 388.
(98) A, δορεί. Scholiastes Persarum explicans δορυκράνου λόγχης v. 148 : τοῖς ἐκ κρανίου ξύλου οὔσης. Lego : τῆς ἐκ κρανείου ξ.
(99) A, ἀντίοχος.
(100) B C, ἐφείς. Cf. Il. 13, 410.
(102) B, κτανών.
(105) B, ἐξήγαγεν.
(109) A B, ἑστώσης. A, στύλης. Cf. Il. 13, 437.

« Ὦ καυχητὰ Δηίφοβε, τρεῖς ἀνθ' ἑνὸς ἀνεῖλον.
« Ἀλλὰ καὶ σὺ πλησίον μου πορεύου καὶ νοήσεις. »
Δηίφοβος ἀπῆλθε δὲ σύμμαχον ἐρευνήσων.
Τὸν δὲ Αἰνείαν εὕρηκεν ἑστῶτα τοῖς ἐσχάτοις·
ἀεὶ γὰρ ἔτρεφεν ὀργὴν οὗτος κατὰ Πριάμου.
Γενναῖον τοῦτον ὄντα γὰρ Πρίαμος οὐκ ἐτίμα·
στὰς δὲ πλησίον ἔλεξε τὸν θάνατον Ἀλκάθου,
ὃς, ὢν γαμβρὸς ἐπ' ἀδελφῇ, ἀνέθρεψεν Αἰνείαν.
Καὶ δὴ Αἰνείας Πάρις τε, Δηίφοβος, Ἀγήνωρ,
ἀπὸ δὲ τοῦ στρατεύματος ἑτέρωθεν Ἑλλήνων
Ἰδομενεὺς καὶ Ἀφαρεὺς μετὰ τοῦ Μηριόνου,
Ἀσκάλαφος, Ἀντίλοχος, Δηίπυρος σὺν τούτοις,
σὺν τοῖς λαοῖς τοῖς ἑαυτῶν πόλεμον συνεκρότουν.
Αἰνείας ἀκοντίσας δὲ κατὰ Ἰδομενέως
ἐκείνου παρεκκλίναντος, βάλλει τὴν γῆν τῷ βέλει.
Ἰδομενεὺς δ' Οἰνόμαον βαλὼν κατὰ γαστέρα,
τούτου κενοῖ τὰ ἔντερα. Τούτου δ' ἀπερχομένου
ἀποτυχὼν, Δηίφοβος Ἀσκάλαφον ἀνεῖλε.
Δηίφοβος δ' ἀφήρπαξε τὸ κράνος Ἀσκαλάφου,
τῷ Μηριόνῃ δὲ πληγεὶς τὴν χεῖρα ῥίπτει τοῦτο.
Ὁ ἀδελφὸς Πολίτης δὲ τοῦτον ἐξάγει μάχης,
καὶ ἀναβὰς ἐφ' ἅρματος στενάζων ὑπεχώρει.
Αἰνείας Ἀφαρέα δὲ πλήξας λαιμῷ ἀνεῖλεν,
Ἀντίλοχος δὲ Θόωνα, κατὰ τὸν νῶτον τρώσας,

(114) A B C, εὕρηκεν.
(116) A B, ὄντα τοῦτον.
(123) A, ἑαυτοῦ.
(127) A, κενεῖ. B, κινεῖ.
(128) C, ἀπο.τυχῶν.
(129) B C, ἀφήρπασε. Cf. v. 67, et al libr. Γ, 22.
(130) A, μυριόνη..... τούτω. C, πρὸς χ.
(132) A, στενάχων. Et Homerus quidem Il. 13, 538, βαρέα στενάχοντα. Sed στενάζων in oratione Tzetzæ præferendum fuit.
(134) A, ὦμον. Cf. Il. 13, 545...

ἀπέδυσε καὶ τούτου δὲ πᾶσαν τὴν πανοπλίαν.
Οἱ Τρῶες δὲ κυκλώσαντες ἔπληττον τούτου σάκος·
ἐγγὺς ἐλθὼν Ἀδάμας τε καὶ οὗτος πλήττει σάκος·
θραυσθέντος δὲ τοῦ δόρατος τοῦτον ὑποχωροῦντα
κτείνει πρὸς ὑπογάστριον βαλὼν ὁ Μηριόνης·
Δηίπυρον δ' ὁ Ἕλενος ξίφει τὴν κόρσην πλήξας·
ἐκ τόξου βέλος πέμπει δὲ καὶ κατὰ Μενελάου,
ὃ ἐκ τοῦ θώρακος αὐτοῦ μακρὰν ἐξαπεκρούσθη.
Μενέλαος τὴν χεῖρα δὲ τιτρᾷ τῷ δορατίῳ,
ἣν ἐκκρεμάσας ἔφευγε συρὼν ὅμου τὸ δόρυ,
ὅπερ Ἀντήνωρ ἀνασπᾷ, δήσας καλῶς τὴν χεῖρα.
Μενέλαος ἠστόχησε βαλὼν κατὰ Πεισάνδρου·
νύξας δὲ καὶ ὁ Πείσανδρος τὸ σάκος Μενελάου,
ἐπίσης τούτῳ καὶ αὐτὸς ἠστόχησε τῇ τρώσει·
καὶ ἅμα πάλιν ὥρμησαν οἱ δύο κατ' ἀλλήλων.
Καὶ Πείσανδρος πελέκει μὲν πλήττει κατὰ τὸν λόφον,
Μενέλαος τῷ ξίφει δὲ μέτωπον πρὸς τὴν ῥῖνα·
οἱ ὀφθαλμοὶ δ' ἐχύθησαν, σχισθέντων τῶν ὀστέων.
Ὁ Ἁρπαλίων δέ, υἱὸς κρατοῦντος Παφλαγόνων,
νύξας τὸ σάκος ἀσθενῶς, ἔφευγε Μενελάου·
ὁ Μηριόνης τοῦτον δὲ κατὰ γλουτὸν τοξεύει,
τὸ βέλος δ' ἐξεπέρασεν ἔμπροσθεν πρὸς τὴν κύστιν.
Τούτου θανόντος θυμωθεὶς πέμπει καὶ Πάρις βέλος,
ἀπέκτεινε δ' Εὐχήνορα παρὰ τὸ οὖς τοξεύσας,
γένει Κορίνθιον, υἱὸν μάντεως Πολυΐδου,
ὃς καὶ προεμαντεύσατο τὰ πεπρωμένα τούτῳ.

(137) C, ἀδάμας δε.
(139) A, ἱπογαστριον... μυριόνης. B, μυ et supra ab eadem manu p.η.
(143) A B, τιτρώσκει δορ.
(145) Imo Ἀγήνωρ, Il. 13, 598.
(152) B, δ' ἐσχίσθησαν. Il. 13, 616: ὄσσε χαμαὶ πέσον.
(153) B, ἁρπαλίων. A, παφλαγόνος. Cf. Il. 13, 643.
(154) A, εὐσθενῶς. Cf. Il. 13, 647.
(156) A B C, ἔμπροσθεν. A, κύστην. Cf. Il. 13, 652.
(158) A, ἀγήνορα. A B, περί. Cf. Il. 13, 663.

Οὕτως οἱ μὲν ἐμάχοντο καρτερικῇ καρδίᾳ·
ὁ Ἕκτωρ ἐκαρτέρει δὲ οὗ ῥήξας ἦν τὸ τεῖχος,
βαρὺν ἐγείρων πόλεμον, μάχην καρτερωτάτην
ὅπου Πρωτεσιλάου τε καὶ Αἴαντος αἱ νῆες,
καὶ τεῖχος ἦν οὐχ ὑψηλόν, οὗ μάλιστα χρειώδεις
πεζοί τε πάντες καὶ ἱππεῖς ἐγίνοντο πρὸς μάχην,
ὅπου Λοκροὶ καὶ Βοιωτοί, καὶ Ἴωνες καὶ Φθῖοι,
πρὸ Φθίων Ἀθηναῖοι τε καὶ Ἐπειῶν τὰ ἔθνη,
δίκην πυρὸς τὸν Ἕκτορα σπουδαίως ἐφορμῶντα
ἀφ' ἑαυτῶν οὐκ ἔσθενον ὄπισθεν ἐξελάσαι,
ὁ Πετεῶο Μενεσθεύς, Στιχίος τε καὶ Φείδας,
Μέγης, Ἀμφίων, Δράκιος, Μέδων τε καὶ Ποδάρκης,
ἄριστοι πάντες στρατηγοὶ μετὰ τῶν στρατευμάτων,
καὶ σὺν αὐτοῖς οἱ Αἴαντες πλησίον ἑστηκότες.
Ἀλλὰ τῷ Τελαμῶνος μὲν ἄνδρες πολλοὶ παρῆσαν,
πολλοὶ καὶ κάλλιστοι ὁμοῦ, δεχόμενοι τὸ σάκος,
ὁπόταν κόπος καὶ ἱδρὼς κατέλαβεν ἐκεῖνον·
οἱ τοῦ Λοκροῦ δ' ὑπάρχοντες πάντες γυμνοὶ τοξόται,
ἄνευ δοράτων καὶ σακῶν καὶ δίχα κρανωμάτων,
τούτων Τρωσὶ καὶ Ἕκτορι συσταδὸν μαχομένων,
αὐτοὶ σφενδόναις βάλλοντες ἐτάραττον καὶ τόξοις.
Καὶ μετ' αἰσχρᾶς ἂν τῆς τροπῆς οἱ Τρῶες ὑπεχώρουν,
εἰ μήπερ εἶπεν Ἕκτορι τῷ τότε Πολυδάμας
συναγαγεῖν τοὺς ἀριστεῖς ἐκεῖ τῶν Τρώων πάντας.

(164) A, ὅπως. Cf. Il. 13, 681.
(168) A B C, προφθῖοι. Correxi ex Il. 13, 693, 699.
(171) A, πετεός. B, πετεώς ὁ μεν. Cf. Il. 13, 690. A, στιχῖτος τε. C, στίχίος τε. Ad calcem codicis C fol. 325 recto descripti sunt ab alia manu versus libri N postremi ab 150 ad finem; quod fragmentum indicabo littera D. D igitur, στιχιός τε. Cf. Il. 13, 691...
(172) B, μέσης... μένων.
(177) Sic A B C D. Et Il. 13, 711, sic singulare ἔχοιτο.
(181) B, σφενδόνας.
(184) D, πάντας ἐκεῖ τῶν Τρώων. C, πάντας ἐκεῖ τ. τρ.

Ὡς οὖν οἱ πάντες εἰς ταὐτὸ συνέδραμον ἐκεῖσε,
ἐπάγοντες τὸ στράτευμα, πυκνώσαντες τοὺς λόχους
οἱ περὶ Πολυδάμαντα, τὸν Ἕκτορα, τὸν Πάριν,
τὸν Κεβριόνην, Φάλκην τε, Ὀρθαῖον, Πολυφοίτην,
Μόρυν τὸν Ἱπποτίωνος, Ἀσκάνιον, τὸν Πάλμυν
οἵπερ κατὰ τὴν χθὲς ἦσαν ἐλθόντες ἐκ Νικαίας,
πόλεμον ἤγειραν δεινόν. Θυμοῦ δὲ πνέων Ἕκτωρ
πάντων προεπορεύετο δεινὴν ἀσπίδα φέρων·
τὸ κράνος δ' ὑπεσείετο κροτάφοις τοῖς ἐκείνου.
Πειράζων δὲ τὰς φάλαγγας Ἑλλήνων προεχώρει.
Αἴας δὲ τοῦτον προκαλεῖ πρῶτος εἰς μάχην λέγων·
« Ἐλθὲ πλησίον, ἄθλιε. Τί ἐκφοβεῖς Ἀργείους;
« ἆρα κρατῆσαι σὺ δοκεῖς τὰς ἡμετέρας νῆας;

(188) C D, ἀρθαῖον. A C, καὶ βριόνην. Sic jam peccavit. Cf. ad libr. Λ, 157.

(189) A, ἱπωτίωνος... πάλμην. Cf. Il. 13, 792.

(190) Νικαίας respondet Homerico Ἀσκανίης, Il. 13, 793. Conf. v. 74 libri Ξ. Meletius Geographia t. 2, p. 124 : ἡ Νικαία, κοινῶς ὑπὸ τῶν Τούρκων Ἰσνὶκ, πρὸς τὴν Ἀσκανίαν λίμνην κειμένη. Barbarum nomen Ἰσνὶκ, scribendum potius, saltem nitidius, Εἰσνὶκ, fecerunt Turci ex græca formula εἰς τὴν Νικαίαν· sic suam urbem Σταμπὸλ ex græco dicunt εἰς τὴν πόλιν. Videsis Corayum ad Isocratem plura id genus urbium nomina barbara recensentem et explicantem. Turnefortius Itinere t. 1, p. 192 ait balnea publica a Græcis ipsis vocari λουτρὰ, « non pas « staloutra comme prononcent les Francs ». Incolæ elegantiores, ut Turnefortio balbutienti placerent, dicebant λουτρὰ, sed ceteri, non tantum quos vocat *Francos*, compendiose pronunciabant σταλουτρὰ pro ἐς τὰ λουτρά. Sic antiquam Messeniæ urbem Pharas nunc Σταλουτρὰ ob grandes balneorum ruinas vocari, qui eam invisebat circa annum 1740 narrat Furmontus abbas t. 15 Memoriarum academiæ inscriptionum. Turnefortius iterum t. 3, p. 46 Francos vituperat, qui insulam Diam Cretæ vicinam appellant « mal « à propos Standia ». Non *Franci* tantum, sed Cretenses ipsi dicebant Στανδια pro ἐς τὰν Δίαν. Guilleterius Itinere in Candiam : « Nous passâmes entre l'Isle de Santa Pelagia et celle de Standia ». Meletius Geographia antiqua et nova t. 3, p. 33 : Δία νῆσος, κοινῶς Στάνδια. Camus ad Aristotelem insulam Coum nunc nominari ait *Stan-co*, audiendus magis quam Forcellinus, cui *Stingo* dicitur. Corayus scribit Στανκιό. Meletius quem typographus male videtur descripsisse : ἡ Κῶς νῆσος, κοινῶς Κῶ (unde Στανκῶ, et Cami *Stan-co*), Σταυκώϊ ὑπὸ τῶν Τούρκων, καὶ Λάγγο ὑπὸ τῶν Ἰταλῶν. Innotuerat id nomen Λάγγο Danvillio, quod exteris potest in usu esse quos *Francos* vocat Turnefortius.

(193) A, ὑποσείετο.

(194) προσεχώρει. B, παρεχώρει C D, προεχωρει. Il. 13, 806 807 : τὰς φάλαγγας ἐπειρᾶτο προποδίζων, προβιβῶντι.

(195) C, πρὸς μάχην. Displicebat repetitio προ πρω προς.

« Ἡμεῖς, ἴσθι, πορθήσομεν πρότερον τὴν πατρίδα.
« Σοὶ δὲ καιρὸς ἐστι φυγῆς, ὁπότε φεύγων εὔξῃ
« τοὺς ἵππους σοῦ ταχύτερον τῶν ἱεράκων τρέχειν. »
Ὁ δὲ φησὶν ὡς πρὸς αὐτόν· « Αἶαν καυχηματία,
« καὶ ἐπηρμένε τῇ βοῇ, καὶ γαυριῶν τῷ σάκει,
« ἡ νῦν ἡμέρα συμφορὰν Ἕλλησι πᾶσι φέρει,
« καὶ σὺ σαρξὶ κορέσεις δὲ τοὺς κύνας καὶ τοὺς γῦπας. »
Οὕτως εἰπόντες ἤγειραν μάχην καρτερωτάτην
τῶν στρατευμάτων σὺν βοῇ μεγάλῃ συρραγέντων,
ἥτις βοὴ πρὸς οὐρανὸν ἔφθασεν, ἀμφοτέρων.

(199) AB, ἐστι φυγεῖν. Prætuli φυγῆς ex C D. Cf. supra v. 80.

(204) B, τε. C D, δε. A, γε. Omnes γύπας pravo accentu.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Ξ (*).

Ἡ δὲ κραυγὴ τῷ Νέστορι καὶ πίνοντι ἠκούσθη.
Ἀφεὶς δὲ τὸν Μαχάονα καὶ πίνειν καὶ λουθῆναι,
ἦλθε πρὸς Ἀγαμέμνονα, Τυδείδην, Ὀδυσσέα.
Καὶ Ἀγαμέμνων εἰς φυγὴν εἶπε τὰ πλεῖα σύρειν.
Ὁ Ὀδυσσεὺς δ' ἀπέπαυσε ταύτης τῆς γνώμης τοῦτον.
Εἰπόντος Διομήδους δὲ χωροῦσι πρὸς τὴν μάχην,
τοὺς ῥαθυμοῦντας θέλοντες Ἑλλήνων παροτρύνειν.
Ὁ Ποσειδῶν καὶ Ἥρα δὲ τάδε δηλοῦσιν εἶναι·
Ἡ θάλασσα κεκίνητο πνεύμασιν ἐναντίοις
πρὸς τὰς πατρίδας Ἕλληνας φεύγειν δ' οὐ παρεχώρει,
παρώτρυνε τοὺς πάντας δὲ μάχεσθαι στερροτέρως·
ὃ πρακτικῶς γινόμενον ἰδὼν ὁ Ἀγαμέμνων
(ὁ κράτησις καθ' Ὅμηρον χειρὸς ἐκ Ποσειδῶνος),
ἐν τούτοις ἐλογίζετο πῶς Ἀχιλεὺς ἂν χαίροι.
Ἡ δὲ τῆς Ἥρας σὺν Διῒ μίξις ἡ μετ' ἀπάτης
εὔδιον τὸ κατάστημα δεικνύει γεγονέναι
καὶ πάλιν εὐμετάτρεπτον μετὰ βραχὺν τὸν χρόνον.

(*) In C ad calcem voluminis folio 325 verso descripsit librarius alius initium libri Ξ a versu primo ad quadragesimum. Quod fragmentum significabitur deinceps littera D.

(7) D, παροξύνειν.

(8) Conf. Il. 14, 135. A. ἦρα τε.

(10) A, sine δέ. C D, οὐχ ὑπεχώρει.

(13) Conf. Il. 14, 137.

(14) A, χαίρει. B, χαίρῃ.

(15) Il. 14, 161. Mirum est allegoristam splendidum episodium, quod putide Junonis cum Jove μίξιν vocat, fere intactum reliquisse. Et parcus fuit verborum in Homericis v. 207 sqq. Non siluit Heraclides.

(17) In hoc versu desinit folium 294 codicis C; sequens autem versus inchoat

Τότε λοιπὸν οἱ Ἕλληνες καλῶς συντεταγμένοι,
ἀλλήλων ἀνταλλάξαντες ἕκαστοί τε τὰ ὅπλα,
οἱ ἀριστεῖς τὰ κράτιστα, χείρονες δὲ τὰ χείρω,
κατὰ τῶν Τρώων ὥρμησαν, καὶ Τρῶες καθ' Ἑλλήνων.
Ἐξῆλθε μὲν ἡ θάλασσα πρὸς τὰς σκηνὰς καὶ νῆας,
οὗτοι θορύβῳ δὲ δεινῷ τὴν μάχην συνεκρότουν.
Οὐ τόσος κτύπος γίνεται κυμάτων θαλασσίων
πνοαῖς ἀνέμων χαλεπαῖς, οὔτε πυρός τις βρόμος
καίοντος ὄρος ὑψηλὸν καὶ βαθυτάτην ὕλην,
οὐδὲ σφοδρός τις ἄνεμος ἠχῶν ὡς πρὸς τοὺς δρύας,
οὐδὲ χειμάρρων ἐκροὴ πρὸς χαραδραίους τόπους,
ὁπόση γέγονε κραυγὴ τῶν Τρώων, τῶν Ἑλλήνων,
συγκροτησάντων καρτερὰν τὴν μάχην κατ' ἀλλήλων.
Καὶ πρῶτος μὲν κατ' Αἴαντος ἠκόντισεν ὁ Ἕκτωρ·
κατὰ τοῦ κρημαστῆρος δὲ τοῦ ξίφους καὶ ἀσπίδος
τὸ δόρυ τούτου προσραγὲν οὐκ ἔβλαψεν ἐκεῖνον.
Αἴας δὲ τοῦτον στρέφοντα κατόπιν πρὸς τοὺς Τρῶας
λίθῳ τραχεῖ καὶ στιβαρῷ βαλὼν παρὰ τὸ στῆθος,
ὡς στρόμβον περιέτρεψε περιδραμόντα πάντη.
Ὡς δρῦς δὲ πίπτει πρόρριζος ἐκ κεραυνοβολίας
βρόμος δὲ γίνεται πολὺς καὶ φόβος τοῖς ἰδοῦσιν,
οὕτως ὁ Ἕκτωρ πίπτει γῇ, ῥίπτει δὲ καὶ τὸ δόρυ,
τὸ σάκος δ' ἐπλαγίασεν, εἰς μέρος παρετράπη.
Μετὰ βοῆς δ' ἐπέδραμον οἱ Ἕλληνες κρατῆσαι,

folium 296, bibliopego folia transponente, qua de perturbatione infra sæpius monebitur.

(19) Conf. Il. 14, 371, 381.

(22) Cf. Il. 14, 392.

(27) A B, καὶ πρός. Cf. ad libr. Α, 75.

(33) C D, ἔβλαψαν.

(34) C D, στρέφοντες.

(35) B, βαρεῖ.

(36) Schol. in C, et in Anecd. Oxon. t. 3, p. 384 : στρόμβον, στρόβιλον, ἢ τὸ τῶν παιδῶν παίγνιον, ὃ νῦν βέμβικα καλοῦσι (Cram. καλοῦσιν.) — A B, πάλιν. Il. 14, 413 : περὶ δ' ἔδραμε πάντη.

(38) C D, βρόχος.

(41) A C, δ' οἱ Ἕλληνες ἐπέδραμον κρατῆσαι.

βάλλοντες καὶ τιτρώσκοντες τοῖς δόρασιν ἐκεῖνον.
Ἀλλ' οὔτις τοῦτον ἴσχυσεν οὐδὲ βαλεῖν ἢ τρῶσαι.
Οἱ ἄριστοι τῶν Τρώων γὰρ ἀνήρπασαν ἐκεῖνον
καὶ πρὸς τὴν Τροίαν ἔστελλον ἐφ' ἅρματος οἰκείου
μεγάλως ὀδυνώμενον, στενάζοντα βαρέως·
περὶ δὲ Ξάνθου ποταμὸν ἅρματος ἀποβάντα
ἀνέψυξαν ῥαντίσαντες ἐν ὕδατι τὸν ἄνδρα.
Ὁ δ' ἀναπνεύσας ἐκπετᾷ τοὺς ὀφθαλμοὺς καὶ βλέπει,
καὶ καθεσθεὶς ἐν γόνασιν ἐξήρασε μὲν αἷμα,
καὶ πίπτει πάλιν ὄπισθε τοὺς ὀφθαλμοὺς καλύψας.
Οἱ Ἕλληνες τοὺς Τρῶας δὲ μεγάλως συνεκλόνουν.
Πρῶτος δὲ πάντων ὁ Λοκρὸς κατὰ λαπάραν τρώσας
ἀπέκτεινε τὸν Σάτνιον τοῦ Ἤνοπος τὸν παῖδα.
Ὁ Πολυδάμας δὲ βαλὼν πρὸς δεξιὸν τὸν ὦμον
ἀνεῖλε Προθοήνορα υἱὸν Ἀρηϊλύκου.
Κατὰ δὲ Πολυδάμαντος Αἴας ὁ μέγας πέμψας,
ἐκείνου παρεκκλίναντος, Ἀρχέλοχον ἀνεῖλε,
τῆς κεφαλῆς τὸν σύνδεσμον βαλὼν καὶ τοῦ τραχήλου.
Τῇ δὲ δυνάμει τῆς χειρὸς καὶ τῆς βολῆς τῇ βίᾳ
ἡ κεφαλὴ προσήγγισε πρώτη τῇ γῇ πρὸ πάντων.
Ἀκάμας Ἀρχελόχου δὲ σύναιμος ἀνεῖλε
Πρόμαχον τὸν Βοιώτιον, τρώσας τῷ δορατίῳ.
Πηνέλεως δ' Ἀκάμαντος ἐξώρμησεν ἀντίος·
τοῦ δὲ φυγόντος, Φόρβαντος υἱὸν Ἰλιονέα
παρὰ τὸ ἄνω βλέφαρον πήξας τὸ δόρυ πρῶτον·

(48) A B, ὕδασι. Il. 14, 435 : κὰδ δέ οἱ ὕδωρ χεῦαν.

(51) A B, ὄπισθεν.

(53) B, λαπάρων. Voluisse λαπάραν monstrat accentus.

(58) A B, ἀρχέλαον. Homerus editus 14, 464, Ἀρχίλοχος quidem exhibet; sed in varietate est Ἀρχέλοχος. Inde accepi lectionem C. Et mox v. 62, A B C, consentiunt in ἀρχελόχου.

(61) πρὸ πάντων non perspicue dictum; scilicet πρὸ πάντων τῶν λοιπῶν μερῶν τοῦ σώματος. Cf. P. 14, 467.

(66) A B, περί.

ἔπειτα τούτου κεφαλὴν ἐξαποκόψας ξίφει,
ἐμπεπηγμένην δόρατι τοῖς Τρώεσσιν ἐδείκνυ.
Λοιπὸν τῷ τότε πρὸς φυγὴν ἐξώρμησαν οἱ πάντες.
Αἴας δ' ὁ μέγας ἔκτεινεν Ὕρτιον Γυρτιάδην,
τὸν Προυσαέων στρατηγὸν Μυσῶν τῶν Ὀλυμπίων.
τὸν Φάλκην δὲ καὶ Μέρμερον Ἀντίλοχος φονεύει.
Μόρυν σὺν Ἱπποτίωνι κτείνει δὲ Μηριόνης,
υἱὸν, πατέρα, Νικαεῖς ἐξ Ἀσκανίας λίμνης·
Τεῦκρος δὲ τὸν Προθόωνα ὁμοῦ καὶ Περιφήτην,
Ἀτρείδης Ὑπερήνορα βαλὼν κατὰ λαπάραν·
ἔντερα δ' ἐξεχύθησαν οὕτως ἐκείνου τοτε.
Ὁ δὲ Λοκρὸς ἀπέκτεινε πλείστους ποδῶν τῷ τάχει.

(68) A B, ἐμπεπηγμένος.
(74) Conf. n. ad librum N, 189.
(75) A B, περιφοίτην. Cf. Il. 14, 515.
(76) In C, super Ἀτρείδης, glossa ὁ Μενέλαος.
(78) Il. 14, 520: Αἴας ταχύς.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Ο (*).

Ἐπεὶ δ' οἱ Τρῶες φεύγοντες διέβησαν τὴν τάφρον,
πολλοὶ δὲ ἀνῃρέθησαν ὑπὸ χερσὶν Ἑλλήνων,
οἱ μὲν παρὰ τοῖς ἅρμασι μένοντες ἐκαρτέρουν
ὠχροί, τὸ περικάρδιον αἷμα ψυχθέντες φόβῳ.
Ἡ τοῦ Διὸς δ' ἀνέγερσις δηλοῖ παλιντροπίαν,
καὶ τοῦ ἀέρος σύγχυσιν Τρωσὶ προσβοηθοῦσαν,
ὡς οἰκουροῦσιν, ἔχουσι τὴν πᾶσαν εὐτροφίαν,
σκέπας, κλίνας, ἐνδύματα, καὶ τεθραμμένους ἵππους,
ὅπλα καινὰ καὶ βέλη δέ, καὶ τὰ χρειώδη πάντα,
τὸ μέγιστον ἁπάντων δέ, τέκνα, γυναῖκας, φίλους,
οὓς βλέπων τις ἀφροντιστεῖ καὶ τοῦ πικροῦ θανάτου·
τοὺς Ἕλληνας δὲ βλάπτουσαν μεγάλαις ἐπηρείαις
ἐν τοῖς ἐναντιώμασι τῆς Τρώων βοηθείας.
Τοῖς γὰρ στρατοπεδεύουσιν ὑπαίθροις ἐκστρατείαις,

(*) B, ἀρχὴ τῆς O ὁμ. et c. ut in præcedentium librorum lemmatis. A C. ὑποθ. τῆς οὗ ὁμ. et c. ut ante fuit.

(5) Conf. Il. 15, 4.

(13) A B, καὶ τοῖς ἐν. τῶν Τρ.

(14) A B, ἐκ στρατείας. Prætuli, idque merito, lectionem C. Voce ἐκστρατεία non semel est Tzetzes usus; vide Proleg. 453, 465. Epistola post Chiliadas p. 523, τῷ ἱερωτάτῳ μητροπολιτῶν Πατρῶν (reponendum omnino μητροπολίτῃ, ut est in optimo codice 2644): καὶ αὐτὸς γινώσκεις τὴν ἐκστρατείαν τοῦ κραταιοῦ ἡμῶν αὐτοκράτορος, τὴν πρὸς Κιλικίαν. Condes: καὶ αὐτὸς γενέσθαι γινώσκεις. Idem poemate De metris in Anecdotis Oxon. t. 3, p. 309, fratrem laudans verbis ornatissimis: Ἔρνος τὸ βρύον ἄνθεσι τῶν ἁπασῶν χαρίτων, Ἀστὴρ ἑῷος, ὁ ἐμὸς ὁ φεραυγὴς φωσφόρος. Κἂν νῦν παρ' ᾅδην ἀτυχῶς ἕσπερος κεῖται νέκυς Ἐν ἐκστρατίᾳ (bene cod. 2644, ἐκστρατείᾳ) μικρᾷ λυγρὸν ἰδὼν τὸν μόρον, Ὁ φίλος Ἰσαάκιος, ἐμὸς τερπνὸς συναίμων. Vid. et Chil. 13, 645. Gregorius Naz. Or. 4, p. 119: τῷ δὲ (Juliano) αἰσχρὰ μὲν τὰ τῆς ἐκστρατείας. Idem Or. 3, p. 68, de eodem: κατὰ πρόγνωσιν ἐπὶ τὴν

καὶ τῆς πατρίδος πόρρωθι διάγουσιν ἐν ξένῃ
ἐξ εἱμαρμένης καὶ χειμὼν πόλεμος καὶ καῦμα,
πλέον δὲ πάντων ὁ χειμὼν σὺν οἷσπερ εἶπον ἄλλοις,
βλάπτων τῶν τόξων τὰς νευράς, ἀποπτερῶν τὰ βέλη,
ἰῶν τὰ ξίφη. Τὰς λοιπὰς τίς οὐ γινώσκει βλάβας;
Εἵμαρται καὶ κεκύρωται (καὶ γὰρ δικαίως οὕτω)
τοῖς μὲν ἐγχώροις εὐπραγεῖν, κακοπραγεῖν τοὺς ξένους.
Οὕτως ἀὴρ ὁ ἔνομβρος Ἕλλησιν ἦν πρὸς βλάβην.
Τὴν Ἥραν οὐκ ἠγνόησας ὑπάρχειν τὸν αἰθέρα
ἄκμονας, γῆν καὶ θάλασσαν, ποσὶ προσδεδεμένους
χειρῶν δεσμὸν δὲ χρύσεον ὑπέκκαυμα πυρῶδες·
θεοὶ δὲ οἱ ῥιπτούμενοι, θέλοντες λύειν Ἥραν,
πῦρ, ὕδωρ, τὰ λοιπὰ πάντα τὰ δυσκρατοῦντα·
ὁ Ἡρακλῆς, ὁ ἥλιος, ὃς τῇ κοσμογενείᾳ
τῷ πόντῳ κατακέκρυπτο καὶ Κόῳ, τῇ κοιμήσει,
ἀφανισμῷ καὶ συγκρυβῇ, καὶ ζάλῃ τῶν στοιχείων,
ἕως αὐτὸν ἀνήγαγεν εἰς Ἄργος, εἰς τὸν κόσμον,
εἰς φανερὰν κατάστασιν καὶ γνώριμον τοῖς πᾶσιν,
ὁ Ζεύς, ἀὴρ ὁ εὔκρατος, ὁ πάντα διαρθρώσας,
ὥσπερ πολλάκις εἴπομεν, τὴν Ἥραν ἐκκρεμάσας,
ἤγουν ἀνωφερέστερον ποιήσας τὸν αἰθέρα,

ἐκστρατείαν ἀρθείς. Ἐκστρατεύειν Tzetzes habet scholio ad Proleg. 416.

(15) A, πόρροθοι διάγ ὡς ξένοι.

(23) A B, ἠγνόηκας.

(24.25) Cf. Il. 15. 19. Allegoria simili utitur Porphyrius ἄκμονας interpretaturus inter scholia Veneta ad hunc locum, ac Junonis δεσμὸν, et reliqua, quæ relinquo quærenda iis talia quibus non displicent. Multus est ibi Heraclitus ἀλληγορῶν, quem ignoravit Schowius suum esse Heraclidem, ignoravit et Heynius Epistola editioni Allegoriarum Heraclidearum præmissa, Schowio ferens eruditum auxilium. Relinquo, inquam, talis, monere contentus. Ex illis enim sunt opinionum commentis quæ delet dies.

(26) A B, ῥιπτόμενοι. Prætuli ex C ῥιπτούμενοι. Si verum est quod ait scholiastes Ajacis v. 235 ῥιπτεῖν de jactus violentia dici, Tzetzes verbo usus proprio fuerit.

(27) B C, καὶ λοιπά.

(29) A C, κατεκρύπτετο. A, καὶ νῆσος τῇ κινήσει. Cf. Il. 15, 27, 28.

(30) A B, συντριβῇ. C, συγκριβῇ.

(31) Cf. Il. 15, 29.

(34) Cf. Il. 15, 28.

ὑπέκκαυμα καὶ θάλασσαν καὶ γῆν δὲ διαρθρώσας.
Ὃς ἂν δὲ χρήζῃ μέθοδον δεινότητος μανθάνειν,
καὶ θέλῃ ῥήτορα δεινόν, καὶ θέλῃ λογογράφον,
καὶ μεταφράσει χρῆσθαι δέ, τῇ καὶ μεταποιήσει,
καί, λέγων πάλιν τὰ αὐτά, δοκεῖν ὡς ἄλλα λέγειν,
τὸν Ὅμηρον ἐχέτω μοι παράδειγμα τῆς τέχνης.
Ποσάκις εἶπε τοῦτο γάρ, ἄλλα δοκῶν διδάσκειν;
γάμους γὰρ πρὶν εἶπεν αὐτὸς Θέτιδος καὶ Πηλέως,
καὶ διὰ μῆλον θεαινῶν ἔριν μεγάλην εἶπεν,
εἶτα θεῶν ἐπιβουλὴν Δία σπευδόντων δῆσαι,
Ἡφαίστου ῥίψιν ἔπειτα τῇ Ἥρᾳ συνεργοῦντος,
Ἥφαιστον εἶτα τεύξαντα θεῶν τὰς κατοικίας,
εἶτα Δία καυχώμενον δυνάμει τῇ οἰκείᾳ
καὶ τοὺς θεούς, εἰ βούλοιτο, λέγοντα ταρταρῶσαι,
ἢ γῆν ὁμοῦ καὶ θάλασσαν σειρᾷ μετεωρίσαι,
ἔπειτα πάλιν Ἀθηνᾶν σώζουσαν Ἡρακλέα
ἐξ ἄθλων οὓς προσέταττεν ὁ Εὐρυσθεὺς ἐκείνῳ,
εἰς ᾅδου κατελεύσεως ἐκεῖνον ῥυομένην·
Ὠκεανὸν εἰς ἔπειτα πάντων γενάρχην λέγων,
Ὠκεανόν τε καὶ Τηθὺν ἐκθρέψαντας τὴν Ἥραν,
καὶ νῦν δὲ Ἥραν δέσμιον διὰ τὸν Ἡρακλέα.
Εἶτα πάλιν εἰσάξει σοι τοῦτον, ὡς Ποσειδῶνα,

(38) A, θέλει bis. Fortasse, καὶ εἶναι λογ.
(39) A, καὶ τῇ.
(40) B, λέγει.
(42) A, διδάσκει.
(43) A B C, αὐτό. Scripsi αὐτός.
(45) Abest a B. A, σπ. εἶπεν.
(46) Conf. Il. 1, 591.
(47) Cf. Il. 1, 606.
(48) A, εἶτα καὶ δία. Cf. Il. 8, 17.
(49) Cf. Il. 8, 13.
(50) Cf. Il. 8, 24.
(51) Cf. Il. 8, 363.
(53) Cf. Il. 8, 367. B, τῆς εἰς ᾅδου. C, ᾅδου τε κατ. B, ῥυομένη.
(54) B C, εἰσέπειτα. Cf. Ilias libro 14, 246.
(55) A B, ἐκθρέψαντα. A, τιθὺν. B C, τηθῦν. Cf. Il. 14, 201, 302.
(56) Cf. Il. 15, 18.
(57) Super τοῦτον est in C glossa, τὸν λόγον, si tamen bene legi. Si mutatio facienda, proponam τοῦτον. Sed aliud latere puto. — A B, καὶ Πο. Cf. Il. 15, 187.

τρεῖς ἐκ τοῦ Κρόνου λέγοντα τοὺς ἀδελφοὺς γενέσθαι
Δία καὶ Ποσειδῶνα δέ, Ἅδην ἐν τούτοις τρίτον,
ἅπαντα λέγοντα τριπλῶς αὐτοῖς ἐκνεμηθῆναι·
Ἥφαιστον πάλιν ὡς χωλὸν κρυπτόμενον τῇ Ἥρᾳ,
ὃν τῷ πεσεῖν διέσωζε Θέτις καὶ Εὐρυνόμη,
ἐν αἷς καὶ παρεχάλκευεν ἐνναετῶς ποικίλα.
Τοῦ Ἀχιλέως ἔπειτα πάλιν ἀσπίδα λέξει,
Ἡφαίστου ταύτην τεύξαντος, ἐν τῷ πυρὶ βαλόντος
χαλκόν, χρυσόν, κασσίτερον, καὶ τὰς λοιπὰς τὰς ὕλας,
ἅπερ ἐκεῖσε νόει μοι τὰ τέσσαρα στοιχεῖα.
Ἥραν ἐξαπατήσασαν εἶτα τὸν Δία λέγει,
πάλιν Ἥραν κρατήσασαν τοὺς τοκετοὺς Ἀλκμήνης,
τοῖς Ἡρακλέους τοκετοῖς καὶ Εὐρυσθέως ἅμα·
ἔπειτα Ποσειδῶνα τε Ἀπόλλω τε λαλοῦντας
πόσα τῇ Λαομέδοντος ἔπαθον πρὶν θητείᾳ.
Καὶ καθ' ἑτέρους τόπους δὲ πόσους κενώσας λόγους,
τὴν μίαν τὴν ὑπόθεσιν ποικίλως διαγράφει
περὶ τοῦ τῆδε σύμπαντος καὶ τῆς κοσμογενείας.
Οὕτως ἀέρος γέγονε τότε παλιντροπία·
παρέπλεξε καὶ λόγους δὲ περὶ κοσμογενείας,

(58) A, λέγοντος.
(61) A B, καὶ χ. A, χολόν. Cf. Il. 18, 397.
(62) A, τό. A B, δὲ ἔσωζε.
(63) Displicet verbum παραχαλκεύω, natum, opinor, e male intellecto versu Homerico Il. 18, 400 : Τῇσι παρ' εἰνάετες χάλκευον δαίδαλα πολλά. Non videtur mihi quidem παρ per tmesin pertinere ad verbum, sed pronomini τῇσι jungendum, « quas apud ». Libro Σ, 308, in narratione eadem id potui corrigere. Nunc est retinendum, et Σ, 538. De ἐν αἷς vide n. ad Proleg. 119. A, ἐνναετῶς. A B, ποικίλως.
(64) Homerus λέξει Il. 18, 478...
(65) B, Ἥφ. πάλιν τεύξ. Cf. Il. 18, 474.
(66) A B C, κασσίτηρον.
(68) Homerus λέγει Il. 19, 106.
(69) Cf. Il. 19, 119.
(71) Cf. Il. 21, 435...
(73) A B, τρόπους.
(76,77) Desunt in A B, propter ὁμοιοτέλευτον κοσμογενείας. Fons est homœoteleuton mendorum plurimorum. Tzetzes Chil. 8, 42, de Hesiodi sententia nobili Opp. 265, sibi ipsimet dare mala qui det aliis : Τὸν ἀδικούμενόν φησι μηδόλως ἀδικεῖσθαι, Τὸν δ' ἀδικοῦντα μᾶλλον δὲ μεγάλως ἀδικεῖσθαι. In Codice 2644 posterior versus omissus est, homœo-

παραγαγὼν ἐμπρόσωπον λέγοντα τὸν ἀέρα.
Ἄρης τὰ νῦν ἀρεϊκὸν σέλας ἐν τῷ ἀέρι,
οὗπερ τὸ κράνος Ἀθηνᾶ τῆς κεφαλῆς ἁρπάζει
ὁρμῶντος πρὸς ἐκδίκησιν υἱοῦ τοῦ Ἀσκαλάφου.
Ἀπόλλων δὲ ὁ ἥλιος, Ἶρις νεφῶδες τόξον.
Ἡ Ποσειδῶνος κέλευσις ἐξ Ἴριδος ὑπάρχει,
ἢ πρὸς τὴν θάλασσαν αὐτὸν, ἢ πρὸς θεοὺς καλοῦσα·
ὅπερ φησὶν Ἐμπεδοκλῆς, εἴτε τις τῶν ἑτέρων·
« Ἶρις δ᾽ ἐκ πελάγους ἄνεμον φέρει ἢ μέγαν ὄμβρον. »
Ἐμοὶ βιβλιοθήκη γὰρ ἡ κεφαλὴ τυγχάνει,
βίβλοι δ᾽ ἡμῖν οὐ πάρεισι δεινῶς ἀχρηματοῦσιν·

teleuto librarii fallente oculos, adscriptumque irati Tzetzæ scholium, receptum in Anecdotis Oxon. t. 3, p. 371 : Ζήτει τὸ Τζέτζου ἐρευρεῖν πρωτόγραφον βιβλίον, Ἐκεῖθέ τε μετάγραφε, μηδ᾽ ἐκ βορβόρου τόσης. In altero versu ob μᾶλλον δὲ malim abesset δ᾽ ante ἀδικοῦντα.

(78) Παραγαγὼν scilicet Il. 15, 128; ἀέρα, Minervam scilicet, quæ allegoristæ est ἀήρ. Cf. Proleg. v. 271. — A, εὐπρόσωπον.

(79) τὰ νῦν scilicet Il. 15, 112, 599.

(80) Cf. Il. 15, 125.

(81) Cf. Il. 15, 106.

(82) Cf. Il. 15, 143. 144.

(83) Cf. Il. 15, 174.

(84) A, ἢ.. ἢ. B, ἡ... ἡ. C, ἡ... ἡ. Cf. Il. 15, 177.

(86) A B sine δ᾽, quo versus male carebit.

(87) A, ἐμή. B C, ἐμοί. Passim vocalium η οι obtinet confusio. Τύχη et τύχοι variant infra v. 112. In scholio Tzetzæ ad v. 466 Chiliadis sextæ, quod recipit Cramerus in Anecd. Oxon. t. 3, p. 368, syllaba οἱ impediebat virum d. qui adscripsit «sic codd.» Et in Cod. 2644 optimo, reperi οἱ, mutandum omnino in ἡ. Describam ipsum Tzetzæ locum et scholium quæ non puto fore tædio lectoribus. Narrato Herodem filiam Pherorae fratri suo copiosa cum dote elocasse, qui tamen Pheroras ἔρωτα δούλης ἔσχε, addit : Μετὰ τῶν ἄλλων τῶν λοιπῶν δουλομικτῶν μοι τάττε Τοὺς τέσσαρας, ὡς κάλλιστον ἅρμα δουλομιξίας, Ἀριστοτέλη, Πλάτωνα, Μενέλαον, Φερώραν, Δύο κρατούντων ἀδελφοὺς, φιλοσοφοῦντας δύο. Jam sequitur scholium : σημείωσαι [hoc verbo caret Crameriana] μετὰ τῶν ἄλλων δουλομικτῶν καὶ τούσδε τοὺς τέσσαρας, ὧν ἡ [codd. ὧν οἱ] τοῦ Ἀριστοτέλους μὲν Ἕπυλλις [alibi Ἑρπυλλὶς dicta] ἐκαλεῖτο, Ἄρτεμις δὲ ἡ Πλάτωνος, ἡ Μενελάου Τηρίς, τὴν Ἑβραΐδα δὲ οὐκ [Cod. 2644, δ᾽ οὐκ] οἶδα.

(88) A B, βίβλοι.. πάρεστι. Et Chil. 6, 475, sibi libros ait deesse, ἀβίβλῃ πεφυκότι μοι. Rursus Chil. 12, 11 : Ὁ Τζέτζης γὰρ οὐχὶ θεὸς, ἄνευ βιβλίων γράφων. Et Chil. 10, 364 : Ἴσασιν οἱ ὁρῶντες με καὶ πεῖράν μου λαβόντες, Εἰ ἐκ βιβλίων γράφομεν, ἢ μεμελετημένως. Atque Chil. 8, 181 (sæpe enim de se loquitur) : Ὁ Τζέτζης κἂν ἀβίβλης γὰρ, κἂν γράφῃ καὶ σχεδίως. Ἅπερ ὁρᾶτε σύμπαντα καὶ τάχει ταχυτέρῳ ἤπερ (sic ad Simoc. p. 293 scripsi pro vulgato εἴπερ e conjectura, quam confirmat codex 2644 in quo ἤπερ) ὁρῶν μετέγραφεν ἔκ τινων ταῦτα βίβλων. .... Ἂν δ᾽ ἀπιστῇ τῷ τάχει τις καὶ τοῖς αὐτοσχεδίοις, Καὶ τὸ (sic ed. et cod. Malim τῷ) βιβλίων ἄνευθε γράφεσθαι τάδε πάντα. Εὐθυδρομείτω πρὸς ἡμᾶς, κἀξ ἔργων μανθανέτω, Καὶ μὴ γινέσθω ἀπι-

ὅθεν οὐ λέγειν ἀκριβῶς τὸν ποιητὴν γινώσκω.
Τοιοῦτον ἦν κατάστημα τότε συγκεχυμένον·
ἐφάνη δὲ καὶ Ἄρεος σέλας ἐν τῷ ἀέρι·
τὸ κράνος ἀφῃρέθη δὲ τῇ Ἀθηνᾷ συντόμως,
ἤτοι συντόμως κέκρυπτο ἀέρι τῷ ἐνύγρῳ,
καὶ Ἶρις ὤφθη τότε δὲ, τόξον τὸ νεφελῶδες,
εἶτα καὶ ὄμβρος γέγονε σὺν τοῖς ἑτέροις τούτοις.
Ἡ Ποσειδῶνος ἔλευσις πρὸς πέλαγος θαλάσσης
καὶ σὺν αὐτοῖς δὲ καὶ σεισμὸς ἐγένετο τῷ τότε,
ὃ Ποσειδῶνος καὶ Διὸς Ὅμηρος λέγει μάχην
γεγενημένην ἀκουστὴν θεοῖς τοῖς περὶ Κρόνον.
Τοιαῦτα μὲν ἐγένετο συμβάματα τῷ τότε
καὶ τι μικρὸν ὑπέλαμψε καὶ ἥλιος σὺν τούτοις.
Ἕκτωρ δ' ἀπὸ τοῦ τρώματος ἀνέσφηλεν ὀλίγον,
οὐκ ἔτι κατακείμενος, ἀλλ' ἀναψύχων ἤδη,
γνωρίζων καὶ τοὺς φίλους δέ· ἔληγε δε τὸ ἄσθμα.
Ἰδὼν δὲ τὸ κατάστημα σημεῖά τε τοιαῦτα,
ὡς ἵππος ὥρμησε στατὸς ἐν φάτνῃ κριθιάσας,
δεσμὸν ἐκρήξας τὸν αὐτοῦ, πηδῶν κατὰ πεδίων,
ἔθος ὡς ἔχων λούεσθαι ῥεύμασι ποταμίοις,
γαυρούμενος, ἐπαίρων τε τὴν κεφαλὴν εἰς ὕψος,

στος (male ed. ἄπειρος), γνοὺς ἀκριβῶς, τῇ πείρᾳ. Θάνατος ἄντικρυς ἐστὶ τῷ Τζέτζῃ μεταγράφειν. (Editio μεταστρέφειν, Kiesslingio proponente feliciter μεταγράφειν). Σπανίοις (Fortasse σπανίως) τοῦτο δὲ ποιεῖ, βαρέως δυσχεραίνων. Alio loco Chil. 6, 405: Ἱστορικοὶ καὶ χρονικοὶ καὶ τεχνικοὶ παντοῖοι, Ὧνπερ κατέχων ἐν χερσὶ τὰς βίβλους, ὢν ἀβίβλης. Qui suum sibi caput esse bibliothecam dixerit, fortasse pro χερσὶ scripsit φρεσί.

(90) Hoc versu clauditur folium 297. Versus 91 primus est folii 305, transponente bibliopego, quod in gratiam eorum monitum volo qui post me codicem 2644 tractabunt. Conferatur infra nota ad versum 169.

(98) B, ὁ.

(99) Conf. Il. 15, 224.

(100) C, ἐγένοντο.

(101) A, καὶ τὸ μικρὸν ὑπέλαμψε. B, καί τι μ. ὑπέλαμπε.

(102) A B C, τρώματος.

(104) A, αἷμα.

(108) B, ἔθος καὶ ἔχων, et 106, καὶ ἵππος.

(109) A B, ἐπ. δέ.

οὕτως ὁ Ἕκτωρ ἐξορμῶν ὤτρυνε τοὺς ἱππέας.
Ὡς δὲ τινὲς διώκοντες ἔλαφον κυνηγέται,
αἴφνης φανέντος λέοντος, φεύγουσιν ὅπῃ τύχοι,
οὕτως οἱ Ἕλληνες πυκνῶς μέχρι τινὸς ἐξώρμων·
ὡς εἶδον δὲ τὸν Ἕκτορα πρὸς μάχην ἐξορμῶντα
ἔφριξαν, πᾶσι δ' αἱ ψυχαὶ κατέπεσον εἰς πόδας.
Τοῦτο πολλῆς δεινότητος ῥητόρων ἀποπνέει,
ἤγουν τῷ τάχει τῶν ποδῶν φεύγοντες ζῆν ἐδόκουν.
Τότε δ' ὁ Θόας τὴν πληθὺν ἤλασε πρὸς τὰς νῆας,
αὐτός τε καὶ οἱ Αἴαντες μετὰ Ἰδομενέως,
ὁ Μηριόνης Τεῦκρός τε καὶ ἀριστεῖς οἱ ἄλλοι
μάχην Τρωσὶ καὶ Ἕκτορι βαρεῖαν συνεκρότουν.
Πρῶτοι δὲ Τρῶες ἔτυψαν, Ἕκτορος παρορμῶντος,
λάμψαντος καὶ ἡλίου δὲ πρὸς πρόσωπον Ἑλλήνων.
Οἱ δ' Ἕλληνες ὑπέμειναν ὁμοῦ συνηθροισμένοι.
Κραυγὴ δ' ἐξ ἄμφω τῶν μερῶν ἐγίνετο βαρεῖα
καὶ τῶν βελῶν ἦν χάλαζα, βροχαί τε τῶν αἱμάτων
ἐξ ἀμφοτέρων τῶν μερῶν μέχρι τινὸς τοῦ χρόνου.
Ἐπεὶ δ' ἐξέπεμψε φαιδρὰς ἥλιος τὰς ἀκτῖνας,
φεύγοντας Τρῶες κτείνουσι τοὺς στρατηγοὺς Ἑλλήνων.
Στιχίον Ἕκτωρ μὲν ὁμοῦ σὺν τῷ Ἀρκεσιλάῳ,

(112) A B, τύχῃ.

(113) C, τινές. Cf. v. 127, et N, 41.

(115) B, κατέπεσαν. Adhæret Homero suo Il. 15, 280: πᾶσιν δὲ παραὶ ποσὶ κάππεσε θυμός. Auctor Ἐπιδημίας Μάζαρι ἐν ᾅδου in Anecd. meis Græcis t. 3, p. 149, meminit τοῦ τὰς φρένας ἐν πτέρναις ἔχοντος Ἀνατολίου, respectu ad orationem de Halonneso extremam, quod monui ad hunc locum. Nicetas Choniates Murzuphlo c. 1: ὑπενόθευε ποδαγρὰν σχηματιζόμενος, ὡς εἴπερ συνδιέρρει ταῖς πτέρναις τὸν ἐγκέφαλον, κἀντεῦθεν ἀλλοφρονέων. Idem De Manuele Comneno 7, c. 3: ὁ πολὺς καὶ μέγας ἐν λόγοις Εὐστάθιος [Eustathius ille Homericus], ζήλου ἐπὶ τοῖς ἀνεγνωσμένοις πλησθείς... « ἐσοίμην ἂν » ἔφη « καταπεπατημένον ταῖς πτέρναις φορῶν τὸν ἐγκέφαλον,... εἰ θεὸν ἡγοίμην ἀληθινὸν τὸν παιδεράστην καὶ χαμηλώδη » deum scilicet Mosmetum impostorem. Confer Menagiana t. 1, p. 138.

(119) C, αὐτὸς δε.

(122) A B, πρῶτον. Cf. Il. 15. 306. A, προορμῶντος.

(125) B, ἐγένετο.

(129) Conf. Il. 15, 329.

Αἰνείας δὲ τὸν Μέδοντα καὶ Ἴασον ἀνεῖλεν.
Ὁ Πολυδάμας δὲ αὐτὸν κτείνει τὸν Μηκιστέα,
Ἐχίον ὁ Πολίτης δέ, τὸν Κλονίον Ἀγήνωρ,
ὁ Πάρις δὲ Δηίοχον δορὶ βαλὼν κατ' ὦμον.
Οἱ δὲ φυγόντες ἔνδοθεν ἐσώζοντο τοῦ τείχους.
Ἕκτωρ Τρωσὶ κελεύσας δὲ πῦρ φέρειν πρὸς τὰς νῆας,
σὺν πᾶσιν ἄλλοις μετ' ἤχης ἐπήλαυνε τὸ ἅρμα.
Τὴν τῶν Ἑλλήνων τάφρον δὲ συγχέας ὁ Ἀπόλλων
διαβατὴν ἐποίησε πᾶσι Τρωσὶ τῷ τότε·
τὴν τάφρον οὖσαν ὀρυκτὴν καὶ μανωθεῖσαν ὄμβροις
ὁ ἥλιος κατέσεισεν, οἷα ξηρὸν ἀρτίσκον,
ἀραιωθέντα τῷ ὑγρῷ καὶ συντριβέντα τάχει.
Οἱ Τρῶες δ' εἰσελάσαντες μάχην ναυσὶν ἐκρότουν,
οἱ μὲν ἐφ' ἵππων ἔποχοι, οἱ δ' ἐκ νηῶν Ἀργεῖοι
ἐν κολλητοῖς τοῖς δόρασι, ναυμάχοις καλουμένοις,
ὧνπερ τὸ μῆκος ἔφερε πήχεις εἰκοσιδύο.
Ἀφεὶς δὲ τὸν Εὐρύπυλον ὁ Πάτροκλος ἰᾶσθαι,
ὥρμησεν ὡς πρὸς πόλεμον νύξαι τὸν Ἀχιλέα.
Μεγάλη δ' ἦν ἡ συρραγὴ τῷ τότε τοῦ πολέμου.
Εἰς ναῦν δὲ μίαν Ἕκτωρ τε καὶ Αἴας ἐναυμάχουν
οὐδεὶς τὸν ἄλλον πρὸς φυγὴν δυνάμενος κινῆσαι.
Εἰς ναῦν δὲ πῦρ εἰσφέροντα Καλήτορα Κλυτίου

(132) A, μηκιτέα. Cf. Il. 15, 339.
(133) A C, Κλόνιον. Est Κλονίον Il. 15, 340.
(134) C, τὸν δήιχον. Cf. Il. 15, 341.
(135) B, φεύγοντες.
(137) A B, ἀπήλαυνε.
(138) Conf. Il. 15, 366.
(140) In C super μανωθεῖσαν scriptum ἀρεωθεῖσαν, scilicet ἀραιωθεῖσαν.
(145) C, δόρασιν ναυμάχοις. Cf. Il. 15, 389.
(146) Mensura longorum illorum contorum Tzetzæ debetur. Ἔφερε nobis *portavit*.
(150) C, μίαν θ' ἕκτωρ. Cf. Il. 15, 416.
(151) A, προσφυγεῖν. C, προσφυγήν Lapicida iotacistes Inscriptionem Bœckhianam t. 1, 1187, fœdavit mire confusis vocalibus η ει: ἀγωνοθέτην, Καισαρήων, Σεβαστήων, Γερμανικήων, Δακήων, καὶ ἀγωνοθέτην Σεβαστείων, Ἀσκληπείων, etc.
(152) A, εἰς νῦν. B, κλυτίνη. Cf. Il. 15, 419.

Αἴας ὁ Τελαμώνιος ὁ πύργος τῶν Ἑλλήνων
στήθει βαλὼν ἀπέκτεινε· χειρὸς δαλὸς δὲ πίπτει.
Ὁ Ἕκτωρ δ' ὡς ἐνόησεν ἀνεψιὸν πεσόντα,
πᾶσι Τρωσὶν ἐκέλευσε σώζειν τὸν πεπτωκότα.
Τίνες δ' εἰσὶν ἀνεψιοὶ σημείωσαι καὶ νόει.
Ἀνεψιούς μοι γίνωσκε τῶν ἀδελφῶν τοὺς παῖδας
ὡς πρὸς ἀλλήλους λέγεσθαι, καθὼς ἐστιν ἐνθάδε.
Ὁ γὰρ Κλυτίος ἀδελφὸς ὑπῆρχε τοῦ Πριάμου.
Οὓς κοινοτέρως δὲ φασὶν ἀνεψιούς, σὺ λέγε
ἀδελφιδοῦς, εἴπερ εἰσὶ τῶν ἀδελφῶν τεκνία.
Ἂν δ' ἐξαδέλφων παῖδες μέν, ὡς ἡ κοινότης λέγει,
ἀνεψιαδοῦς μοι τούτους καλῶν οὐχ ἁμαρτήσεις
ὥσπερ θυγατριδοῦς πάλιν υἱοὺς τῶν θυγατέρων
καὶ τῶν υἱῶν δὲ υἱδοῦς, ἅνπερ κυρίως γράφῃς.
Οὕτω σώζειν ἐκέλευεν Ἕκτωρ τὸν πεπτωκότα,

(153) Abest a C. De metaphora vocis πύργος superius monui ad Proleg. 682.

(154) B, δαλλός. Cf. Il. 15, 421.

(155) Cf. Il. 15, 422. C, ἐκέλευε.

(159) A B, καὶ πρός. Cf. ad librum A, versu 75.

(160) Clytius inter Priami fratres nominatur Il. 20, 238.

(162) B, οἵπερ. A C, εἴπερ. Conf. Scholium ad II, 165. Tzetzes Chil. 6, a versu 376 ad 387 multus est de gradibus hisce consanguinitatis, distinguens diligenter ἀνεψιούς, ἀδελφιδοῦς, ἐξαδέλφους, θυγατριδοῦς, υἱδοῦς, υἱωνούς. Addesis et Chil. 10, 876, cum Scholio ad 6, 376 in Anecd. Oxon. t. 3, p. 368, cujus ultimum vocabulum ἔκγονοι, in codice 2644 scriptum est ἔγγονοι.

(163) C, ὡς ἡ.

(164) A B, καλῶν τούτους, sententia recta, metro titubante. Violatur etiam accentus regula Chil. 3, 1000 : Ὀππιανὸς δελφῖνα ἱστορεῖ Λεσβίου τινός. Bonus ille codex 2644 hic loci est pessimus, sic versum exhibens innumerum : Ὀππιανὸς δελφῖνα ἱστορεῖ Λεσβίου τινὸς νέου. Hodiernus versificator reponeret fortasse : Ὀππιανὸς δελφῖν' ἱστ, cum hyphen sub ια. Tzetzes Synizesi nec elisione id genus utitur. Transponendis vocibus restitutionem tentabo : Λεσβίου τινὸς ἱστορεῖ Ὀππιανὸς δελφῖνα. Vel Δελφῖνα ὁ Ὀππιανὸς ἱστορεῖ του Λεσβίου. Ceterum qui non semel ὁ Ὀδυσσεὺς scripsit, hiatum ὁ Ὀππιανὸς non repudiaverit. Nec sanus est versus Chil. 1, 233 : Καὶ κόσσυβον, καὶ κρωβύλον καὶ τεττιγοφορίαν. Bonus codex recte, metrice saltem, κρώβυλλον. Ibi est scholium, videndum in Anecdotis Oxoniensibus t. 3, p. 351, scholium Tzetzæ, qui iterum κρώβυλλος scripsit : οἱ δὲ τῶν Ἀθηναίων (παῖδες) Ἐπὶ ταῖς πλοκαμῖσι (melius πλοκαμῖσι) καὶ τέττιγας χρυσᾶς εἶχον. Affert Cramerus e codice quodam χρυσοῦς, et χρυσοῦς est in codice 2644. Circa genus nominis τέττιξ non peccavit Tzetzes, qui statim ὁ τέττιξ ait γῆς παῖς. Recipiendum ergo, τέττιγας χρυσοῦς.

(166) A, γράφεις.

καὶ πέμψας κατὰ Αἴαντος, Λυκόφρονα φονεύει,
παῖδα τελοῦντα Μάστορος, βαλὼν ὑπερ ὠτίου·
ἐκ τῆς νηὸς δὲ πέπτωκεν Αἴαντος ὢν πλησίον.
Αἴαντος δὲ καλέσαντος ἦλθεν ἐγγὺς ὁ Τεῦκρος.
Κτείνει Κλεῖτον τοξεύσας δὲ εἰς τοὔπισθεν αὐχένος
ὄντα τοῦ Πολυδάμαντος ἡνίοχον τῷ τότε.
Ὡς δὲ καὶ πρὸς τὸν Ἕκτορα τὸ τόξον ἦν ἑλκύσας,
ἡ μὲν νευρὰ διήρρηκτο, τὸ βέλος παρερρύη,
τὸ τόξον πίπτει τῆς χειρός· δειλαίνει δ' ὁ τοξότης,
λαβὼν δὲ σάκος καὶ κοντὸν Αἴαντι παρεστάθη.
Ἕκτωρ δ' ἐβόησε Τρωσὶν ἐμβαίνειν πρὸς τὰς νῆας,
ὡς εἶδε τὰ τοξεύματα τοῦ Τευκροῦ βεβλαμμένα.
Ὁ Αἴας δὲ τοὺς Ἕλληνας παρώτρυνεν ἐνθέδε,
λέγων· « Καλόν ἐστι θανεῖν ἢ σῶσαι νῦν τὰς νῆας.
« Ἢ προσδοκᾷ τις ἐξ ὑμῶν, εἰ καύσουσιν ἐκείνας
« ποσὶ βαδίσας θάλασσαν ἐλθεῖν εἰς τὰς πατρίδας;
« Οὐ παρορμῶντος Ἕκτορος ἀκούετε τοὺς πάντας;
« Οὐκ εἰς χορὸν αὐτοὺς καλεῖ, καλεῖ δὲ πρὸς τὴν μάχην.
« Ὁ δὲ συμφέρον ἅπασι, τοῦτο νοῶ καὶ λέγω.
« Ἀλλήλοις μίξωμεν ἐγγὺς τῇ κατὰ χεῖρας μάχῃ.
« Κρεῖττον ὑπάρχει γὰρ θανεῖν ἢ ζῆσαι χρόνον ἕνα,
« ἢ καρτερεῖν ἐπὶ πολὺ πολέμων περιστάσεις,
« καὶ τότε τὸ βαρύτερον ἀνδρῶν ἐκ χειροτέρων. »
Οὕτως εἰπὼν ἀνήγειρε τὴν πάντων προθυμίαν.

(169) In hoc versu desinit folium 305; versus autem 169 primus est folii 308 recti. Conf. supra ad v. 90.

(178) B, ἕ. δ' ἐβ. τρωσὶ νῆας sic. A, τρωσὶν ἐμβ. πρ. τὰς νῆας. C, τὰ πλοῖα.

(180) C, ἐνθέδε, quod prætuli varietati ἐνθένδε, et sic v. 202. Amat enim Tzetzes adverbia id genus sine litera ny scribere. Cf. n. ad librum A, 8.

(182) A, εἰ προσδ. A B, ἡμῶν. Cf. Il. 15, 504.

(183) A C, βαδίσαι. B videtur ferre βαδίσας.

(187) B, χεῖρα.

(191) A B, πάντων τὴν προθ.

Καὶ Ἕκτωρ Περιμήδεος υἱὸν Σχέδιον κτείνει,
ὁ Αἴας Λαοδάμαντα Ἀντήνορος τὸν παῖδα,
τῶν Τρωϊκῶν τῶν πεζικῶν ταγμάτων ἡγεμόνα.
Ὁ Πολυδάμας Ὦτον δὲ κτείνει τὸν ἐκ Κυλλήνης.
Ὁ Μέγης στήθει δὲ βαλὼν ἀνῄρηκε τὸν Κροῖσμον.
Ὁ Δόλοψ παῖς τοῦ Λάμπου δὲ τοῦ Μέγητος τὸ σάκος
τιτρᾷ μὲν, ἀλλ' ἐρρύσατο τοῦτον ὁ θώραξ τότε·
ὁ Μέγης δὲ τῷ δόρατι κόπτει τὸν λόφον τούτου,
ὁ δὲ Μενέλαος αὐτὸν ὤμῳ βαλὼν ἀνεῖλεν.
Ἕκτωρ δ' ὀτρύνας ἅπαντας ἐχώρει καθ' Ἑλλήνων,
ὁ Αἴας δὲ τοὺς Ἕλληνας διήγειρεν ἐνθέδε.
Ἐν σιδηρῷ πυργοῦσι δὲ τότε τὰς νῆας τείχει.
Ἀντίλοχος πηδήσας δὲ Μελάνιππον ἀνεῖλε,
τοῦτον βαλὼν τῷ δόρατι παρὰ μαζὸν εἰς στῆθος.
Ἐφορμηθεὶς συλῆσαι δὲ τούτου τὴν πανοπλίαν,
Ἕκτορα τρέχοντα ἰδὼν τοῖς Ἕλλησι προσφεύγει.
Ἕκτωρ δ' ἐπῆλθε σὺν Τρωσὶ μετὰ βοῆς μεγάλης.
Καὶ δὴ πειράζων ἤθελε κόπτειν ἀνδρῶν τὴν στάσιν
ὅπου περ πλῆθος ἦν ἐρῶν λαμπρᾶς τε πανοπλίας.
Ἀλλ' ἠδυνάτει πρὸς αὐτὸ, καίπερ πολλὰ σπουδάζων·
συνεπυκνοῦντο πύργου γὰρ δίκην συνηρμοσμένοι.
Μόλις κόψας εἰσέδραμε, τοὺς Ἕλληνας δὲ τρέπει.

(192) A B, καὶ ὁ ἕκτωρ. B, σχεδόν. Cf. Il. 15, 515.
(193) A B, λαομέδοντα. Cf. Il. 15, 516.
(195) B, κυλήνης. A, κυλλίνης. C, κηλήνης. Cf. Il. 15, 518.
(199) A, μέγις, η superscripto.
(201) B, ὀτρύνων.
(202) A, ἐνθένδε. B, ἐνθάδεν, cum εν super θα. C, ἐνθέδε, ut modo v. 180.
(203) Cf. Il. 15, 566. A B, πυργ. τέ.
(204) A, ἀντίοχος.
(205) A B, περί. Cf. Il. 18, 577.
(208) A B, ἀπῆλθε. C, κραυγῆς.
(211) A, αὐτόν.
(212) Conf. Il. 15, 618.
(213) A, καὶ μόλις κ. ἔδραμε. B. τρέμει. Homerus quidem Il. 15, 637: ἐφόβηθεν ὑφ' Ἕκτορι. Sed τρέμω non est transitivum. A C, πρέπει, unde feci facillime τρέπει. Eadem permutatio libro Σ, 444. Et libro Π, 91, est ἀπέπρεπε in C pro ἀπέτρεπε. Tzetzes, Homericorum initio quum originem dissidii Achillem inter et

Τὸν Μυκηναῖον δ' ἔκτεινε Κοπρέως Περιφήτην
ἄντυγι σάκους τοῦ αὐτοῦ πεσόντα τῷ προσκροῦσαι·
ὃν καὶ δραμὼν ἀπέκτεινε δορὶ βαλὼν πρὸς στῆθος.
Οἱ δὲ πάντες ἐτράπεντο πρὸς ἐσωτέρας νῆας·
ὁ Νέστωρ παρακλήσει δὲ τούτους κρατεῖ μὴ φεύγειν.
Ὁ Αἴας μόνος δ' ἀναβὰς πλοῖον ἐκ πλοίου τρέχων
δόρυ κινῶν τε ναύμαχον, βοῶν φωνῇ μεγάλῃ
ὡς φθάνειν καὶ πρὸς οὐρανὸν, ἐκέλευσεν Ἀργείοις
ὡς δυνατὸν καὶ ταῖς σκηναῖς ἀμύνειν καὶ τοῖς πλοίοις.
Ἕκτωρ τοὺς Τρῶας πάντας δὲ καὶ πάλιν ἐφορμήσας
τῆς ταχυπλόου ἥψατο νηὸς Πρωτεσιλάου.
Καὶ πάλιν ὡς ἀδάμαστοι τὴν μάχην συνεκρότουν
οἱ Τρῶες καὶ οἱ Ἕλληνες, οὐκ ἄκοντας, οὐ τόξα
(οὐ γὰρ μακρόθεν ἵσταντο) πέμποντες κατ' ἀλλήλων,
ἀλλ' ἔγχεσι, πελέκεσιν, ἀξίναις, παντὶ ξίφει.
Πολλὰ δὲ ξίφη πέπτωκεν ἐκείνων μαχομένων,

Agamemnonem ab rapta Briseide repeteret, id scripsit scholium: Ὅμηρος κακοηθείας χρησάμενος ῥήτορος (conf. superius Prolegomena v. 1165 seq.), ἑτέραν λέγει αἰτίαν τῆς τούτου ὀργῆς. Εἰ γὰρ τὴν ἀπάνθρωπον εἰρήκει τοῦ Παλαμήδους ὑφ' Ἑλλήνων ἀναίρεσιν, αὐτὸς ἀνέπρεπε (corr. ἀνέτρεπε) δηλαδὴ τὰ παρ' αὐτοῦ πρὸς τοὺς Ἕλληνας γεγονότα ἐγκώμια. Quæ conferantur cum Prolegomenis v. 1150 seqq. Quam finxit Poeta dissidii causam iterum carpit Tzetzes Homericis 228: Ταῦτ' ἄρα μῆνις ἔτευξε βαρύφρονος Αἰακίδαο. Ἦν Παλαμήδεος εἵνεκα μήνιεν Ἀργείοισιν, Τήνπερ Ὅμηρος ἔφησεν οὗ εἵνεκα εἶπε γενέσθαι. Ultimum versum, quem vocat corruptissimum, infelicissime tentat Jacobsius. Mihi quidem sanissimus est. Formula ἔφησεν οὗ εἵνεκα εἶπε conferenda cum plurimis quæ parilem habent verborum eorumdem vel similium cumulationem: Œd. Col. 266, ἰκόμην ἵν' ἱκόμην, ubi Elmsley et Heller. Medea 1000: ἤγγειλας οἷ' ἤγγειλας, ubi nonnihil fuit a me appositum in Matthiæ commentario. Iphigenia Taurica 561: Ὤλωλεν ὡς ὤλολε, ubi Matthias. Ælianus de Timotheo H. V. 3, 47: ἐπεὶ ἔδοξεν ἁμαρτεῖν ἃ ἔδοξεν. Gregorius Naz. Epist. 51: τὰ μὲν καθ' ἡμᾶς ἔχει ὡς ἔχει. Synesius Calvitii Encomio § 17: ἔχουσα δὲ ὥσπερ ἔχει, ubi Krabinger. Formulas id genus « usurpant » Hermannus ait ad Vigerum p. 709, « ii qui rem clarius exponere aut nolunt aut nequeunt. » Pilatus Joannis Evang. 19. 23: ἃ γέγραφα γέγραφα· significans se quæ semel scripsisset retinere, nec mutaturum esse.

(214) A B, sine δέ. A, περιφοίτην.

(215) A B C, αὐτοῦ, A, τὸ πρ.

(217) A B, ἐτρέποντο.

(220) A, ναυμαχῶν. Cf. Il. 15, 677.

(221) C, ὡς πρὸς. Nunc καὶ plus vis habet, et displicet ὡς repetitum.

(224) Conf. Il. 15, 705.

ἡ γῆ δὲ κατερρέετο βροχαῖς ταῖς τῶν αἱμάτων,
Ἕκτωρ, κρατῶν τὴν πρύμνην δὲ, πῦρ ἔλεγε κομίζειν,
εἰ δὲ πάντες ἐφώρμησαν τοῖς Ἕλλησιν ἐς πλέον.
Αἴας δὲ συμπνιγόμενος πάντων βελῶν πυκνώσει
κατόπιν ἔστη τῆς νηὸς, προσδόκιμος ὢν θνήσκειν,
πρὸς θρῆνυν στηριζόμενος τὸν ναυτικὸν τῷ κόπῳ.
Ἐκεῖ δ' ἑστὼς ἀπήλαυνε τῶν Τρώων τοὺς πυρφόρους,
ἀεὶ βοῶν δ' ἐκπληκτικὸν παρώτρυνεν Ἀργείους·
« Ἄνδρες, πολέμου μνήσασθε, γενναίως πολεμεῖτε.
« Ἆρα δοκεῖτε βοηθοὺς ἔχειν τινὰς ὀπίσω,
« ἢ τεῖχος ὃ τὸν θάνατον ἡμῶν ἀποδιώξει;
« Οὐκ ἔστι πόλις τις ἡμῶν ἔθε στρατὸς ἐξέλθοι.
« Ἐν πεδιάσι Τρωϊκαῖς μακρόθε τῆς πατρίδος
« ῥιφέντες παρὰ θάλασσαν, τὴν μάχην συγκροτοῦμεν.
« Ἐν ταῖς χερσὶν ἡμῶν ἐστι λοιπὸν ἡ σωτηρία.
« Χαυνοπολέμους οὐδαμῶς ἡμᾶς εἶναι νῦν πρέπει. »
Ταῦτα βοῶν ἐνήργει μὲν αὐτὸς τῷ δορατίῳ,
τιτρώσκων Τρῶας φέροντας πῦρ εἰς ὁλκάδων καῦσιν,
ἀπέκτεινε δὲ δώδεκα πρὸ τῶν νηῶν πυρφόρους.

(235) B, στηριζόμενον τὸν ναυτικόν. A, τῶν ναυτικῶν. Cf. Il. 15, 729.

(241) A B, ὅθεν, et statim μακρόθεν. Cf. n. ad v. 179.

(243) A B, περί.

(247) B, τιτρ. τρ. ἅπαντας πῦρ φέροντας ὁλκάσιν. A, πῦρ φέρειν ταῖς ὁλκ.

(248) In hoc versu desinit folium 308. Cum versu sequente incipit folium 298. Cf. n. ad v. 169.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Π (*).

Μέχρι τῆς Ο Υ τὸ σύνταγμα ἐγράφη τῇ Ἀνάσσῃ·
ἐντεῦθεν ἦν δὲ κίνδυνος λοιπὸν παρεαθῆναι
ἐν δυστροπίᾳ περισσῇ τῶν χρηματοδοτούντων.
Ὁ δ' εὐγενὴς Πεισίστρατος Κοτέρτζης Κωνσταντῖνος
χρήμασι σφοῖς ἐπέσπευσεν εἰς τέλος προαχθῆναι
ὅθεν ἐντεῦθεν ἅπασα τούτῳ προκείσθω χάρις.
Καὶ δὴ καὶ καταρκτέον μου τοῦ Π Ι τῆς ῥαψῳδίας.

Πατρόκλῳ δοὺς ὁ Ἀχιλεὺς αὑτοῦ τὴν πανοπλίαν
ἐξάγει πρὸς τὸν πόλεμον μετὰ τῶν Μυρμιδόνων.
Τρέπουσι Τρῶας· Πάτροκλος κτείνει δὲ Σαρπηδόνα
προκτείναντα τὸν Πήδασον ἵππον τοῦ Ἀχιλέως.
Εἶτα θνήσκει καὶ Πάτροκλος χερσὶ ταῖς Ἑκτορείαις,

(*) Septem primi versus quibus libro Π præfatur Tzelzes desunt in B. De Κοτέρτζη, altero illo Pisistrato plura quæresis in Addendis. In A male scriptum est χ' ὁ τέρτζης, sequiturque pro Κωνσταντῖνος aliud nomen compendio obscuratum, litteris tamen πτι lectu facillimis. Nec omittendum primo versu esse τῆς ο in A.

(1) Ante hunc versum B C lemmata solita exhibent. A caret lemmate. Septem primis versibus argumentum libri exponitur, et conspirant ferme cum edita hypothesi prosaica. Deinceps initio librorum præmittitur similis expositio. — Codd. αὐτοῦ.

(5) A, ἐκτορίαις. Eadem vocalium ι et confusione Chil. 9, 361 : χρῆστιν ἀπεστομάτισα ῥητῶν Ἡσιοδίων. Bene codex Ἡσιοδείων. Recte Chil. 8, 34 : Ἔστι δὲ Ἡσιόδειον καὶ παλαιὸν τὸ ῥῆμα. In ejusdem Chiliadis Historia 67 Lemma exhibet Σεριφίων, contextus Σεριφείων. Codex autem bis ἰῶτα, superscripta diphthongo. In Moschopulo Π. σχ. p. 78, Σερίφιος scriptum est. Ejus adjectivi scripturam sine controversia constituit clausula iambica Acharnensibus v. 542 : κυνίδιον Σεριφίων. Bene Scaliger inter Proverbia metrica v. 967 : Ἀλλότρια βάλλεις· βάτραχος Σερίφιος. Tzetzes scholio ad Chil. 1, 393, in Crameri Anecdotis Oxon. t. 3, p. 352, initium recitat hymni cujus Arion auctor esse fertur, ubi, Πόσιδον γαιήοχε ἐγκύμου

δορὶ Εὐφόρβου προπληγεὶς λάθρα τῷ μεταφρένῳ.
Ἢν προγυμνώσας γὰρ αὐτὸν τῶν ὅπλων ὁ Ἀπόλλων.

Ἐκ τοῦ κειμένου νῦν τῆς Πῖ Ὁμήρου ῥαψῳδίας
περὶ νηὸς μὲν οὕτως ἦν τῆς εὐκαθέδρου μάχη·
τῷ Ἀχιλεῖ δ' ὁ Πάτροκλος παρίσταται δακρύων,
ὃν ἐρωτήσας Ἀχιλεύς, μαθὼν τε τὴν αἰτίαν
ὅτι τοὺς Ἕλληνας κακῶς πάσχοντας κατοικτείρει
καὶ βοηθεῖν προτρέπεται τοῦτον αὐτὸν ἐκείνοις,
πέντε συντάξας λοχαγοὺς ταγμάτων ἀρχηγέτας,
καὶ τῷ Διῒ εὐξάμενος, ἤτοι τῇ εἱμαρμένῃ,
καὶ πάντα νουθετήσας δὲ τὰ πρόσφορα Πατρόκλῳ,
προσβοηθεῖν ἐκέλευσε, προτρέπων πρὸς τὴν μάχην.
Οἱ τῷ Πατρόκλῳ πάντες δὲ γένους τῶν Μυρμιδόνων
μετὰ βοῆς τε καὶ κραυγῆς ὀ[illegible]ῶντες τοῦ πολέμου,
ὁρμῇ [illegible] δεινο[illegible], ἐχώρουν κατὰ Τρώων.
Πάντες δ' οἱ Τρῶες ἥπ[illegible]το φυγῆς ὡς πρὸς τὴν Τροίαν.
Πάτροκλος τὸν Πυραίχμην δὲ Παιόνων ἀρχηγέτην
ἐξ Ἀμυδῶνος πόλεως, ἐκ ποταμοῦ Ἀξίου,
δορὶ κατ' ὦμον δεξιὸν ἀνεῖλεν ἀκοντίσας.
Πεσόντος τούτου δ' εἰς φυγὴν χωρεῖ τὰ τῶν Παιόνων.
Οἱ τοῦ Πατρόκλου δ' ἔσβεσαν τὴν ναῦν Πρωτεσιλ[illegible].

ἅλμας βράγχια .. κούφοισι ποδῶν ῥιπάσμασιν... Lectiones codicis 2644 enotabo propter odarii emendandi difficultatem non minimam : Πόσειδον γαιήοχε ἐγκύμον ἀλμὰς βράγχιοι... ῥίμμασιν.

(6) B, προσπληγείς.

(9) A, οὗτος... μάχης.

(11) A, μαθὼν δέ.

(14) B, συνάξας. Placuit varietas συντάξας propter verba στῆσεν εὐ κρίνας Il. 16, 199.

(15) B, εὐξαμένῳ.

(16) A B, νουθ. τέ. A, πατρόκλου, et secunda manu πατρόκλω.

(18) A, γέν[illegible]

(20) Conf. Il. 16 259.

(23) C, ἀδυδῶνος. Cf. Il. 16, 288, et Heynius ad l. 2, 849. A B C, ἀξίου, et sic metrum postulat. Est Ἀξιοῦ in edito Homero. Conf. n. ad Proleg. 821.

(25) A, χωρεῖ κατὰ π. Confer. Il. 16, 290.

Ζεὺς δ' ὁ κινῶν τὰ νέφη νῦν, τουτέστιν ὁ καθαίρων,
ἀὴρ ἐστὶν ὁ εὔδιος, καὶ πλεῖον οὐδὲν ἄλλο.
Ἐκ τῆς νηὸς φευγόντων δὲ τῶν Τρώων πρὸς τὴν Τροίαν,
ἕκαστος Ἕλλην ἡγεμὼν Τρώων ἀνεῖλεν ἄνδρα,
Πάτροκλος Ἀρηΐλυκον δορὶ μηρὸν ἐνσχίσας,
Θόαντα δὲ Μενέλαος πρὸς στῆθος δορατίσας.
Ὁ Μέγης παῖς Φυλέως δὲ τὸν Ἄμφικλον ἀνεῖλε,
περὶ τὴν ἀπονεύρωσιν τοῦ σκέλους δορατίσας,
Ἀντίλοχος Ἀτύμνιον βαλὼν κατὰ λαπάραν.
Τὸν δ' Ἀτυμνίου ἀδελφὸν Μάριν τῷ Ἀντιλόχῳ
μαχόμενον, βραχίονος τρώσας ἀπονευρώσεις,
ὁ Θρασυμήδης ἀδελφὸς ἀνεῖλεν Ἀντιλόχου.
Ἦσαν δὲ οὗτοι Παταρεῖς, ἑταῖροι Σαρπηδόνος,
τοῦ Χίμαιραν ἐκθρέψαντος παῖδες Ἀμισωδάρου.
Τὴν μυθικὴν τὴν Χίμαιραν, τὴν τεραστίαν οἶδας,
καὶ τὴν Βελλεροφόντου δὲ τὴν πρὶν ἀλληγορίαν
λέοντα λέξαντος ἐκεῖ σοὶ λέγειν τοὺς Σολύμους
ὡς μαχομένους προφανῶς λεοντικῷ τῷ θράσει,
τὰς Ἀμάζονας Χίμαιραν εἶα κρημνοβατοῦσαν,
δράκοντα δὲ τὴν ἐνέδραν τὴν εἰς Βελλεροφόντην,
τὴν ἥνπερ συνεστήσαντο πρὸς τὸν ἐκείνου φόνον.

(27) Conf. Il. 16, 297.

(31) A, ἀρηΰλικον. Cf. Il. 16, 308. A, ἐνσχήσας.

(33) B, ὁ μέγου. A, φιλέος. C, φιλέως. Cf. Il. 16, 313; 15, 530.

(34) A B, ἀποδύρωσιν. Statim v. 37, ἀπονευρώσεις reddit Homericum, Il. 16, 323, πρυμνὸν βραχίονα, ut hic πρυμνὸν σκέλος v. 314.

(37) A, μαχόμενος βραχίωνος. B, ἀπονευρώσας.

(40) A B, ἀμισοδάρου, et sic cum syllaba brevi v. 50, 58, 64. Cf. Jacobs ad Ælianum. H. An. 9, 23. Iliade 16, 328, Homerus exhibet υἷες Ἀμισωδάρου.

(41) Τὴν μυθικὴν τὴν Χίμ.] Duplex articulus placuit Tzetzæ. Sic libro A, 73. B, 15, τὴν Τρωϊκὴν τὴν πόλιν· Ω, 52: τῆς ἀσελήνου τῆς νυκτός. Proleg. 1108· τὸν πλαστὸν τὸν χάρτην. Ibid. 895: αἱ ἑκατὸν αἱ πόλεις.

(42) B C, τὸ πρίν. A, τὴν πρίν, quod refero ad Allegoriam propositam superius libro Z, 51, quam confer, si tanti sit.

(43) A, Ad λέξαντος subaudio τοῦ vel ἐμοῦ. A B, λέοντος. A, συλλέγειν.

(46) C, τῶν εἰς β.

(47) A, συνεστήσατο.

Ταῦτα μὲν οὕτω σοι καλῶς τὸ πρὶν ἠλληγορήθη.
νῦν δ' οὕτω δέον σε νοεῖν τὰ τῆς Χιμαίρας τῆσδε·
Ἀμισωδάρῳ Χίμαιρα λῃστρίς τις ἦν θυγάτηρ
ἐν ὑψηλοῖς Λυκίας τε καὶ παρακρήμνοις τόποις·
καὶ λέων δὲ καὶ δράκων δὲ δύο υἱοὶ ἐκείνου,
ἐξ ἑκατέρων τῶν μερῶν τῇ ἀδελφῇ συνήργουν.
Ὁ στωϊκὸς Παλαίφατος ἀλληγορεῖ μὲν οὕτως·
ἡμεῖς δ' οὕτω σοι λύομεν ἐντεῦθεν τὸ χωρίον·
ἡ Χίμαιρα κρημνώδης τις ἦν τόπος ἐν Λυκίᾳ,
κρημνώδης, λοχμωδέστατος, φίλος τοῖς κακουργοῦσι,
τὴν ἥνπερ Ἀμισώδαρος λῃστήριον ἐποίει,
ἐν τοῖς κρημνοῖς καὶ ταῖς λοχμαῖς ἔχων λῃστὰς τυχόντας,

(48) C, οὑτωσι τὸ πρίν. Saltem oportuit οὑτωσί. A, τὸ πρὶν καλῶς.

(51) A, παρακρύμνοις. Sæpe vocales η υ permutantur propter pronunciandi parilitatem. Tzetzes Chil. 6, 747, ad Hesiodi mentem Op. 319: Θάρσος καὶ τόλμη δὲ πολλὴ πρὸς ὄλβον τε καὶ πλοῦτον. Placeret mihi quidem πολὺ, etsi non ignorem qui πολλὴ possit defendi.

(54) Palæphatus c. 29 non consentit cum Tzetze. Chimæra ipsi non est filia Amisodari, sed mons. Tzetzes Chil. 1, 275 dicit se omnes libros memoriter tenere: πᾶσαν οἶδα βίβλον Ἐκ στήθους τε καὶ στόματος οὕτως ἑτοίμως λέγειν. Οὐδὲ γὰρ μνημονέστερον τοῦ Τζέτζου θεὸς ἄλλον Ἄνδρα τῶν πρίν τε καὶ τῶν νῦν ἐξέφηνεν ἐν βίῳ. Ὅθεν τὸ δῶρον εἰληφὼς (Cod. 2644, εἰληχὼς) εὐχαριστῶ τῷ δόντι. Nunc tamen viri paulo jactantioris infida memoria fuit.

(56) A, Est alia etiam a Tzetze proposita Chimæræ interpretatio ad Lycophr. 17.

(59) A, λοχμαῖς. B, λόχμαις. C. τοῖς λοχμοῖς. Usus favet lectioni B, lectioni A lex metrica. Forma masculina λοχμὸς alio videtur carere exemplo. Veteres editiones Apollodori 2, 5, 4, exhibent λοχμῆς, codicibus consentientibus, Munkero, ad Antoninum Liberalem c. 12, λόχμης corrigente, quod nunc receptum est. Philes ad Imperatorem ante poema de elephanto: Κρυπτὴν ἐπελθὼν γνωστικῆς λοχμῆς τρίβον. Quod si accentus ultimæ syllabæ in λοχμὴ prorsus esset amandandus, transpositione facili versus sanabitur: Ἐν ταῖς λόχμαις καὶ τοῖς κρημνοῖς. Sic est editus non sine mendo v. 317 Chiliados 2: Ὁ δ' Ἡρακλῆς ὡς πρὸς αὐτὴν πλεύσας τὴν Θεμίσκυραν. Rectius codex 2644, Θεμισκύραν. Rectius etiam foret Θεμισκύρην ionice. Nam vulgo pronuntiaverunt Θεμίσκυρα. Ipse Tzetzes aliam exhibuit scripturam in scholio quod reperies apud Cramerum Anecd. Oxon. t. 3, p. 354: γράφε καὶ οὕτως· Ὁ δ' Ἡρακλῆς ὡς πρὸς αὐτὴν Θεμίσκυραν ἐκπλεύσας. Vitio etiam laborat Chiliade 10, v. 346: Ἡ ἱστορία κεῖταί μοι τοῖς ὀπισθίοις τόποις. Codex, κεῖται μοι, melius, etsi displiceat circumflexa antepenultima. Quod intelligebat Tzetzes, scholium adscribens hocce: οἱ γράφοντες πώποτε ὀξεῖαν καὶ οὐ περισπωμένην, πῶς καὶ εἰς τὸ κεῖταί μοι οὐ γράφουσιν ὀξεῖαν. Sed comparat quæ non sunt similia. Optime habet πώποτε. Difficilior emendatio v. 7 Chiliados 10: Τὸ σχῆμα τοῦτο νόησον ὑπερβολήν μοι λέγειν, Πλὴν ὑπερβολὴν, ὑπερβο-

ἐκ μετεώρων κτείνοντας καὶ λάθρα τοὺς ὁδίτας,
τοῖς ἐπιμάχοις ἔχων δὲ τοὺς λεοντώδεις ἄνδρας
τοὺς σθεναροὺς καὶ φονικοὺς ἐν τῇ συστάδην μάχῃ·
ὅθεν Χίμαιραν λέγεται τοιαύτην ἀναθρέψαι.
Οὕτως οἱ Νεστορίδαι μὲν τοὺς Ἀμισωδαρίδας,
ὧν ὁ πατὴρ ἐξέθρεψε τὴν Χίμαιραν, ἀνεῖλον.
Ὁ δὲ Λοκρὸς Κλεόβουλον ἀπέκτεινε τῷ ξίφει
ὡς τὰς πορφύρας ἐν μιᾷ πληγῇ πορφυραγρέται,
ἢ πορφυρέῳ ἐρυθρῷ αἱματηρῷ θανάτῳ.
Λύκων δὲ καὶ Πηνέλεως συνέρραξαν ἀλλήλοις·
τὸ φάσγανον ἐθραύσθη δὲ τοῦ Λύκωνος αὐτίκα
καὶ Πηνελέου κέκρουκε τὴν περικεφαλαίαν
παρ' οὓς δὲ ὁ Πηνέλεως πλήξας αὐχένα τέμνει.
Ἀκάμαντα δ' ἀπέκτεινε δόρατι Μηριόνης,
τῶν ἵππων ἐπιβαίνοντα βαλὼν κατὰ τὸν ὦμον,
Ἰδομενεὺς δ' Ἐρύμαντα βαλὼν κατὰ τὸ στόμα.
Οὕτω τοὺς Τρώων ἀριστεῖς οἱ Ἕλληνες ἀνῄρουν.

λὴν οὐδ' ἁπλουστάτην. Codex 2644 : Πλὴν ὑπερβολικὴν ὑπερβολὴν οὐδ' ἁπλουστάτην. Opus est conjectura. Fortasse, Πλὴν ἀλλὰ ὑπερβολικὴν, οὐδέ γε ἁπλουστάτην, vel οὐδ' αὐτὴν ἁπλουστάτην.

(61) Pro τοὺς malim καί.

(62) B, τοὺς καθαρούς.

(64) A, ἀμιδαρίδας.

(68) A, πορφυραίῳ. Explicare voluit Tzetzes verba Homerica, Il. 16, 334, πορφύρεος θάνατος. Cf. Basilium Scholiis ad Nazianzenum in Notitiis mann. t. 11, part. 2, p. 97, ibi nota. Narrat Ammianus Marc. 15, 8, Julianum Cæsarem, quum primum purpuram induit, « hunc « versum ex Homerico carmine susurra- « visse », Ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταίη. Meminerat fortasse ejus antitheseos Petrus Cornelius, cujus Augustus, quum Cinnam purpura consulari decorasset, conversus ad Æmyliam ait : « Aime, Cinna, ma fille, en cet illus- « tre rang ; Préfère-s-en la pourpre à « celle de mon sang ». Voltairio displicuit antithesis, ac tanti ingenii poetam irreverentius objurgat, velut puerulum solœcissantem plagosus alter Orbilius. Parellius scholæ Polytechnicæ innutritus, non classicæ, nibil invenit quod Voltairio reponeret.

(71) A B C, πηνελέου. Oportuit Πενέλεω a nominativo Πηνέλεως (cf. Il. 16, 335) vel a Πενέλαος, Πηνελάου. Genitivus Πηνελέοιο, Il. 14, 489, ducit quidem ad formam Πηνελέου, sed scriptura non est indubia. Scholium in C, et in Anecd. Oxon. t. 3 p. 384 : ἀπὸ εὐθείας τῆς ὁ Πηνέλεος, τὸ ος μικρόν, ἰωνικῶς. Debuit esse vv. 69, 72, Πηνέλεος, ut formarum foret concordia.

(74) A B, τον ἵππον. Il. 16, 343, ἵππων ἐπιβησόμενον.

(75) C, εὐρύβαντα. Cf. Il. 16, 345.

Ἕκτορα δ' Αἴας ἔσπευδε βαλεῖν τῷ δορατίῳ·
ὁ δ' ὢν ἐμπειροπόλεμος, πύρινος στρατηλάτης,
σκέπων σφοὺς ὤμους τοὺς πλατεῖς ἀσπίδι ταυροδέρμῳ,
ἐσκέπτετο τοξεύματα καὶ πλήξεις τῶν δοράτων.
Ὅμως γινώσκων τὴν τροπὴν, ἔσωζε τοὺς οἰκείους,
ἕως κατεῖδε φεύγοντας ἀκόσμως πεφυρμένως,
καὶ τότε τούτους ἔλειψε παραδραμὼν τοῖς ἵπποις.
Οἱ δὲ δεινὰ καὶ δυσχερῆ μυρία πεπονθότες,
μόλις ἐπεραιώθησαν τὴν ὀρυκτὴν ταφρείαν.
Πατρόκλου δ' ἐπισπεύδοντος Ἀργείους κατὰ τούτων,
πάσας πληροῦσι τὰς ὁδοὺς ἀκόσμως πεφευγότες.
Ὡς χείμαρροι δὲ ῥέοντες ἠχοῦσι λαβροτάτως,
οὕτως ἐστέναζον φρικτὸν φευγόντων Τρώων ἵπποι.
Ὁ Πάτροκλος ἡττήσας δὲ τὰς φάλαγγας τὰς πρώτας,
τοὺς Ἕλληνας ἀπέτρεπε πάλιν ὡς πρὸς τὰ πλοῖα,
προθύμους ὄντας πρὸς αὐτὴν τὴν Ἴλιον ἐλαύνειν
μέσῳ νηῶν καὶ τείχους καὶ ποταμοῦ ἀνάρει.
Και πρῶτα κτείνει Πρόνοον βαλὼν κατὰ τὸ στέρνον,
καὶ Θέστορα τὸν Ἤνοπος, Εὐρύαλον ἐν πέτρῳ,
Ἀμφοτερὸν, Ἐρύμαντα, Τληπόλεμον, Ἐπάλτην,
Ἰφέα καὶ τὸν Πύρην δὲ, Ἐχίον, Ἀργεάδην,
καὶ Σαρπηδόνα δι' αὐτοὺς ἔκτεινεν ἀντιστάντα.
Ὡς ἦλθον κατ' ἀλλήλων γὰρ συνάπτοντες τὴν μάχην,
πρῶτος βαλὼν ὁ Πάτροκλος κτείνει τὸν Θρασυμήδην,

(78) C, πύρινος.
(79) B, σκέπους.
(88) A B, καὶ χειμ. Cf. Il 16, 38?.
(91) C, ἀπέπρεπε. Cf. ad librum O, 213. Ceterum nomen Ἕλληνας sententiæ Homericæ adversatur, quæ poscebat, τοὺς Τρῶας νῦν ἀπέτρεπε. Cf. Il. 16, 394.
(93) A, μέσον.
(95) Il. 16, 411, Ἐρύαλον. et in varietate Εὐρύαλον, quod habent A B C.
(96) A B, εὐρύμαντα.
(97) A, τὴν πυρὴν. B C, πύριν. A, ἀργεάδην. Cf. Il. 16, 416, 417.
(100) C, τὸν σαρπηδόνα. Inter varias lectiones est Θρασυμήδην, quod recepi ex A B. Vide Heynii notam ad Il. 16, 463.

ἡνίοχον ὑπάρχοντα τοῦτον τοῦ Σαρπηδόνος,
ὁ Σαρπηδὼν τὸν ἵππον δὲ τὸν Πήδασον Πατρόκλου.
Ὡς δὲ δευτέρως ὥρμησαν καὶ πάλιν κατ᾽ ἀλλήλων,
μάταιον μὲν προέπεμψεν ὁ Σαρπηδὼν τὸ δόρυ·
ὁ δὲ πρὸς τὸ διάφραγμα καὶ τὸν ἐπίπλουν βάλλει.
Εὐθὺς δ᾽ ἐκεῖνος ὥσπερ δρῦς, ἡ λεύκη, πεύκη, πίπτει·
βρυχώμενος ὡς ταῦρος δέ, τὸν Γλαῦκον ἀνεκάλει,
καὶ οὕτως ἐξαπέπνευσεν, ἐξέλιπε τὸν βίον.
  Ἀλλά γε δὴ ῥητέον μοι τίς Ζεὺς τὰ νῦν ὑπάρχει,
τοῦ Σαρπηδόνος ὁ πατήρ, ὁ σπεύδων τοῦτον σώζειν,
καὶ τίς ἡ τὴν ἀναίρεσιν Ἥρα πεθοῦσα τούτου,
καὶ πῶς καὶ πόθεν οὐρανὸς ἔχει βροχὰς αἱμάτων,
ὥσπερ καὶ σίτων, καὶ τεφρῶν, ὄφεων, ἄλλων πόσων,
καὶ τίς Ὕπνος καὶ Θάνατος οἱ κλέψαντες ἐκεῖνον
ὡς πρὸς πατρίδα τὴν αὐτοῦ Λυκίαν τὴν Πατάρων.
  Νῦν Ὅμηρος ὁ πάνσοφος, ἡ θάλασσα τῶν λόγων,
γενέθλιον θεμάτιον γράφει τοῦ Σαρπηδόνος
καὶ λέγει τοῦτο· τοῦ Διὸς ἔχειν μὲν τὸν ἀστέρα
ἐν οἷς τόποις πεφύκασιν οἱ ἀρχηγοὶ γεννᾶσθαι,
ὅθεν καὶ τούτου λέγει δὲ πατέρα τὸν ἀστέρα.
Ἥρα δ᾽ ἀστὴρ ἐστὶν ἑμοῦ, ὅνπερ τῷ γενεθλίῳ
σὺν τοῖς ἀστέρων φαυλουργοῖς, σὺν Ἄρει δὲ μᾶλλον
νικᾶν τὸν Δία δείκνυσιν, ὅθεν καὶ θνήσκειν λέγει
τοῖς οἷς τρόποις εἰρήκειμεν θανεῖν τὸν Σαρπηδόνα.

(106) C, ὡς λεύκη, πεύκη, et sic ferme A. B, ἡ λεύκη. Inde feci ἢ λ., secuuntus Homerum Il. 16, 482: Ἤριπε δ᾽ ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ἀχερωΐς, Ἠὲ πίτυς βλωθρή.

(107) A, βρυχόμενος. A B, ἀπεκάλει.

(108) C, ἀπέλιπε.

(109) Τὰ νῦν scilicet Il. 16. 431.

(111) Cf. Il. 16, 440.

(112) Cf. Il. 16. 459.

(114) Cf. Il. 16, 454, 671.

(116) Jam Proleg. 51 Homerus Tzetzæ dictus fuit ἡ θάλασσα τῶν λόγων. Ibi nota.

(121) B, ἑρμοῦ ἐστίν. A, ἐστὶν ἑρμοῦ.

(122) A B, ἀστέροις.

(124) B, εἰρήκαμεν. Plusquamperfecto uti amat Tzetzes. Chiliade 8, 99: φέρε-

Ἐπεὶ σημεῖα δὲ παθῶν εἰσὶ ποτὲ μεγάλων
αἱμάτων ὄμβροι καὶ τεφρῶν, ὡς εὐημέροις χρόνοις
πολλῶν τε ἄλλων ἀγαθῶν καὶ σίτων ἐπομβρίαι,
λεκτέον ὅπως γίνονται καὶ ποίῳ δὲ τῷ τρόπῳ.
Ἀὴρ καὶ αἱ νεφέλαι δὲ τὸ πᾶν ἐξανιμῶσαι
ἐκ γῆς, θαλάσσης, ποταμῶν, λιμνῶν, ὀρῶν, βορβόρων,
αἷμα καὶ σῖτον τέφραν τε, ὄφεις, ἰχθῦς, κοπρίαν,
καὶ πᾶν λοιπὸν τὸ προστυχὸν ἀνάγουσαι, ὀμβροῦσιν.
Ἐπεὶ τῷ τότε δὲ καιρῷ, πολλῶν ἀνῃρημένων,
αἱμάτων ἦσαν λιμνασμοὶ ταῖς Τρώων πεδιάσιν,
ἀνενεγκοῦσαι κάτωθεν ὤμβρησαν αἱ νεφέλαι.
Ἔγνως τὸν Δία, Ἥραν τε καὶ χύσιν τῶν αἱμάτων,
Ἀπόλλωνα τὸν κλέψαντα καὶ λούσαντα δὲ τοῦτον
καὶ Ὕπνον δὲ καὶ Θάνατον οἳ πρὸς Λυκίαν ἦγον.
Ἄκουε νῦν καὶ μάνθανε πρῶτον ἐκ Φιλοστράτου·
« Ἐσκεύαστο ἀρώμασι, καθεύδοντι ἐῴκει. »
Ταῦτα μὲν ὁ Φιλόστρατος, καὶ πλεῖον οὐδὲν ἄλλο·
Τζέτζης δὲ τὸν Ἀπόλλωνα νῦν τοῦτον τὸν ἐνθάδε,
τὸν κλέψαντα καὶ λούσαντα τὸν Σαρπηδόνα, λέγει
φαῦσιν ἡλίου πυραυγῆ, δι' ἣν παυθείσης μάχης,
κλέπτουσι τοῦτον Λύκιοι καὶ λούσαντες κοσμοῦσι,
καὶ καθ' ἑσπέραν τὴν αὐτὴν ἐχώρουν πρὸς Λυκίαν.
Ὅθεν Ὕπνος καὶ Θάνατος λέγονται τοῦτον κλέψαι
καὶ πρὸς πατρίδα τὴν αὐτοῦ δῆθεν ἀποκομίσαι.

κλον Ὅμηρος Ὠ; δῆθεν πατρωνύμιον εἴρηκεν Ἁρμονίδην. Codex 2644, εἰρήκει. Chil 5, 381, εἰρήκειμεν, consentiente codice 2644. Conf. infra 237; P, 85; Σ, 17, 77, 103, 765; Υ, 361; Χ, 73, 75; Ω, 115; Proleg. 295.

(125) A B, δὲ σημεῖα. C, ποτὲ παθῶν εἰσί.

(133) A B, ἀναιρουμένων.

(139) A B, ἄκουε δή. Cf. Philostrati Heroica p. 724: ἐσκεύαστο δὲ ἀρώμασι καὶ ἐῴκει καθεύδοντι.

(147) Claudit hic versus folium 299; versus 148 inchoat folium rectum 301, bibliopego folia oscitanter transponente. Conf. ad O, 247.

Ἐπεὶ τοῖς ἀνωτέρω δὲ καὶ προλαβοῦσι λόγοις
Ὅμηρος παῖδας Σπερχειοῦ καὶ τοῦ Ἑρμοῦ εἰρήκει,
καὶ ταῦτα νῦν λεκτέον μοι καὶ καθεξῆς δὲ τἄλλα.
Θυγάτηρ ἡ Πηλέως μὲν, ἡ κλῆσιν Πολυδώρη,
τινὶ φθαρεῖσα παρ' αὐτοῦ τοῦ Σπερχειοῦ ταῖς ὄχθαις,
παῖδα γεννᾷ Μενέσθιον, ὃν Ὅμηρος σεμνύνων
τῷ ποταμῷ τῷ Σπερχειῷ λέγει μιγῆναι ταύτην.
Ἡ Φύλαντος θυγάτηρ δὲ πάλιν ἡ Πολυμήλη
ἐν ἑορτῇ Ἀρτέμιδος, τουτέστι τῆς σελήνης,
καλλιφωνοῦσα τοῖς χοροῖς, θέλγει τινὰ τῶν νέων
οἷς λόγος ἐπιτήδευμα· ὃς καὶ μιγεὶς ἐκείνῃ
τὸν Εὔδωρον γεγέννηκεν. Ἀλλ' ἐατέον ταῦτα,
ἤδη δὲ χωρητέον μοι πρὸς τὰ λοιπὰ τῆς βίβλου,
καὶ μοι λεκτέον τίς ἐστι νῦν ἐνταυθοῖ Ἀπόλλων,
ᾧτινι Γλαῦκος εὔχεται ἀκέσασθαι τὸ ἕλκος.
Ὁ Σαρπηδὼν κτεινόμενος χερσὶ ταῖς τοῦ Πατρόκλου
ἀνεψιὸν τὸν ἑαυτοῦ ἱκέτευε τὸν Γλαῦκον
ὑπὲρ αὐτοῦ ὑπερμαχεῖν μὴ γυμνωθῇ τῶν ὅπλων.
Γλαῦκος δὲ, τὸν βραχίονα προτετρωθεὶς τῷ τείχει,
οὐδόλως ἦν κατευτονῶν δορὺ χειρὶ κινῆσαι
ὑπερμαχεῖν τε τοῦ ἀνδρὸς τοῦ συγγενοῦς πεσόντος,
καὶ μᾶλλον ψυχροτέρου δὲ καὶ τοῦ ἀέρος ὄντος.
Διόπερ φαῦσιν εὔχεται ἡλίου γεγονέναι·
οὗ γεγονότος, καὶ κρατεῖν τὸ δόρυ ἐνισχύσας,
λέγεται ὑπ' Ἀπόλλωνος τὴν χεῖρα ἰαθῆναι.
Ἐλθὼν ὡς πρὸς τὸν Ἕκτορα, εἶτα δὲ λέγει τάδε·

(150) Conf. Il. 16, 175, 181.
(159) A, λόγοις.
(163) Conf. Il. 16, 513.
(165) Scholium ita: ἀνεψιοὶ, οἱ ἀδελφῶν παῖδες λέγονται, ἤτοι οἱ ἐξάδελφοι. Cf. n. ad Θ 161, ubi plura sunt dicta.
(172) C, κρατεῖν, superscripto κινεῖν. A B, κινεῖν. Il. 16, 520: Ἔγχος δ' οὐ δύναμαι σχεῖν ἔμπεδον.
(173) Cf. Il. 16, 527.

« Ἕκτορ, νῦν κεῖται Σαρπηδὼν ὁ στρατηγὸς Λυκίων
« ὑπὸ Πατρόκλῳ δὲ αὐτὸν ἀπέκτεινεν ὁ Ἄρης· »
ἤγουν Πατρόκλῳ ἔκτεινεν ὁ πόλεμος ἐκεῖνον,
ἤτοι ἐκτάνθη Σαρπηδὼν ἐν μάχῃ τῷ Πατρόκλῳ,
εἴτουν ὁ Ἄρης, καὶ θυμός, κτείνει Πατρόκλῳ τοῦτον,
ἤτοι θυμούμενον αὐτὸν ὁ Πάτροκλος ἀνεῖλεν,
ἢ τῷ θυμῷ τῷ ἑαυτοῦ ὁ Σαρπηδὼν καὶ τόλμῃ
ὁρμήσας γενναιότερον ἀνῄρηται Πατρόκλῳ,
ἢ Ἄρης, καὶ ὁ σίδηρος, τὸ δόρυ τοῦ Πατρόκλου
τὸν Σαρπηδόνα ἔκτεινεν. Ἐπ' ἄλλα χωρητέον.

Τῶν Τρώων καὶ Ἑλλήνων δὲ περὶ τοῦ Σαρπηδόνος
μάχην βαρεῖαν καὶ δεινὴν ἀλλήλοις συρραξάντων,
ὁ Ζεύς, ἀὴρ, ἐποίησε σκότον νεφῶν τῇ μάχῃ·
σημεῖα γὰρ συντρέχουσι πολλάκις τοῖς στοιχείοις
ἐν τελευταῖς ἀνδρῶν τινῶν, καὶ μᾶλλον διασήμων.
Ὀνήτωρ ἦν τις ἱερεὺς Διὸς δὲ τοῦ Ἰδαίου,
ἤτοι ἀέρος τοῦ αὐτοῦ, τῇ Ἴδῃ, πεφυκότος,
ἢ καὶ τῆς εἱμαρμένης δὲ Ἴδῃ ναὸς ἐν τέλει.
Τούτου δὲ τοῦ Ὀνήτορος Λαόγονον υἱέα
ὁ Μηριόνης ἔκτεινε βαλὼν γνάθου παρ' οὖας.

Οἱ Ἕλληνες καὶ Τρῶες μὲν περὶ τοῦ Σαρπηδόνος
ἀλλήλοις συνερρήγνυντο μάχην καρτερωτάτην.
Ὁ Ζεὺς ἀπὸ τῆς μάχης δὲ τῆς καρτερᾶς ἐκείνης

(175) A B. ἕκτωρ. Cf. Il. 16, 538, 541.
(176) Cf. Il. 16, 543.
(180) C, ἀνεῖλε.
(181) C, ὁ σαρπηδὼν τῷ ἑαυτοῦ.
(183) C. δορὺ τὸ τοῦ.
(184) A, ἔκτινεν.
(187) Est ferme evanidus in C. A, τὴν μάχην.
(188) A, ἐντρέχουσι.
(189) B, τινων.
(190) Cf. Il, 16, 604.
(191) A, αὐτῇ τῇ ἴδει. B, αὐτῇ τῇ ἴδῃ. C, αὐτοῦ, quod recepi; « hic, in Ida » scilicet.
(192) A, ἴδει ναός. B, ἤδη. C, ἴδη.
(196) C, κραταιοτάτην, superscripto καρτερωτάτην.

σφοὺς ὀφθαλμοὺς οὐκ ἔτρεψεν οὐδόλως ἀλλαχόσε·
τὴν μάχην δ᾽ ὥρα μεριμνῶν περὶ Πατρόκλου φόνου,
εἶτ᾽ οὖν καὶ τοῦτον κτείνειν ὁ Ἕκτωρ παραυτίκα
τοῦ Σαρπηδόνος ἔγγιστα, συλήσει τε τὰ ὅπλα,
ἢ ἔτι κτείνει καὶ λοιποὺς μᾶλλον ἐκ Τρώων οὗτος.
Ἔδοξε λῷον κτεῖναι δὲ τὸν Πάτροκλον καὶ ἄλλους.
Ὁ Ἕκτωρ ἀλογίστως δὲ φεύγειν εὐθὺς ὡρμήθη,
καὶ σὺν αὐτῷ καὶ τοὺς λοιποὺς προὔτρεπε Τρῶας φεύγειν,
εἶτ᾽ οὖν ἐκ μάντεως τινὸς Διὸς βουλὴν ἀκούσας,
εἴτε καὶ μόνος ἐγνωκὼς ῥοπὴν τῆς εἱμαρμένης.
Τούτων φευγόντων δὲ λοιπὸν, Ἕλληνες σὺν Πατρόκλῳ
ἀπὸ τῶν ὤμων εἵλοντο τὰ ὅπλα Σαρπηδόνος,
ἃ Πάτροκλος ἀπέσταλκεν ὡς πρὸς τὸν Ἀχιλέα.
Ἀλλ᾽ ἀλληγορητέον μοι τὰ μέχρι τοῦδε πάντα,
ἔπειτα συναπτέον μοι καὶ τὰ λοιπὰ τοῦ ὕφους.
Ὁ Ζεὺς οὐκ ἔτρεψεν αὐτοῦ τοὺς ὀφθαλμοὺς οὐδόλως,
ἀλλ᾽ ἦν, ὡς ἔφην, μεριμνῶν περὶ Πατρόκλου φόνου.
Τοῦτο φησὶν ὁ Ὅμηρος ἐν τούτῳ τῷ χωρίῳ·
ταύτῃ τῇ μάχῃ εἵμαρτο καὶ Πάτροκλον κτανθῆναι,
ἀλλὰ μετὰ μικρόν τινα βραχύν τε πάνυ χρόνον.
Εὐθὺς ὁ Ἕκτωρ φεύγει γὰρ, τῷ μὲν δοκεῖν ἀλόγως,
τῇ δ᾽ ἀληθείᾳ τεχνικῶς καὶ στρατηγικωτάτως,
φεύγειν κελεύσας καὶ λοιποὺς πάντας σὺν τούτῳ Τρῶας.
Ὁ Ἕκτωρ καὶ οἱ Τρῶες γὰρ μέχρις ἡμέρας μέσης

(198) Cf. Il. 16, 645.
(201) A, συλλήσεται.
(202) A B, εἰ ἔτι.
(204) Cf. Il. 16, 657.
(207) A B, βουλήν.
(208) C, φυγόντων τε. Cf. Il. 16. 653.
(211) A B. μέχρι τὰ τοῦδε πάντα. Codex autem C, πάντα τὰ μέχρι τοῦδε.
(212) A, συναπτόμενοι.
(213) A, ὁ Ζ. οὐκ ἔτρεπε τοὺς ὀφθ. αὐτοῦ οὐδ. Sic B cum ἔτρεψε. Sequutus sum ordinem meliorem codicis C, scripto αὐτοῦ pro αὐτοῦ.
(214) Cf. modo v, 199.
(221) B, γὰρ μέσης ἡμ. μέσης.

τὸ βάρος πρὸς τοὺς Ἕλληνας ἐδέχοντο τῆς μάχης·
ἀκμήτων Μυρμιδόνων δὲ ἀθρόως ἐκδραμέντων
ὡς πρὸς φυγὴν ἐτράπησαν· πάλιν δ' ἀντιστραφέντες
ἄλλην δευτέραν ἔμελλον ἀρχῆθεν κροτεῖν μάχην.
Ἐπεὶ δ' ὁ μέγας στρατηγὸς Ἕκτωρ ἐκείνους ἔγνω
ὄντας προθύμους πνεύματι, σάρκα δ' ἠσθενηκότας
τῇ μέχρι τόσου μάχῃ τε καὶ ζέσει τοῦ ἡλίου,
καὶ μέγαν ὄντως κίνδυνον ἤλπισε γεγονέναι
εἴπερ πάλιν συνάψουσι κατάκοποι τὴν μάχην,
ὡς προθυμότερον αὐτοὺς ἑώρα πολεμοῦντας
φεύγειν αὐτὸς ἐπλάσατο, καὶ τούτους φεύγειν λέγει,
ὡς ἂν μικρὰν ἀνακωχὴν λάβωσι τοῦ καμάτου,
καὶ πάλιν γενναιότερον Ἕλλησιν ἀντιστῶσιν.
Οὕτω ποιήσας εἵλκυσεν ὡς πρὸς φυγὴν τοὺς Τρῶας,
φυγὴν δοκοῦσαν, οὐ φυγήν, ἀνάπαυσιν δὲ μάχης.
Τούτων τραπέντων εἰς φυγὴν οἷσπερ εἰρήκειν τρόποις,
τὴν πανοπλίαν Ἕλληνες γυμνοῦσι Σαρπηδόνα,
ὃν ὁ Ἀπόλλων ἐκ βελῶν Διὸς βουλαῖς ἀείρας,
λούσας ἐνδύει εἵμασι, καὶ χρίσας ἀμβροσίᾳ,
πομποῖς διδύμοις ἀδελφοῖς, Ὕπνῳ καὶ τῷ Θανάτῳ,
δίδωσιν, οἳ κομίζουσι τοῦτον εἰς τὴν Λυκίαν.
Εἶπον τὴν τοῦ Ἀπόλλωνος σοὶ πρὶν ἀλληγορίαν,
ὅμως καὶ πάλιν λέξωμεν ἕνεκα σαφηνείας,
καὶ ἕνεκα κολλήσεως καὶ συναφῆς τοῦ λόγου.
Ἑλλήνων γυμνωσάντων μέν, ὡς ἔφην, Σαρπηδόνα,

(223) A, ἀκμή τῶν. Scriptum super ἐκδραμόντων in C, αὐτῆς ὑπερραξάντων. Fortasse, δὲ αὐτοῖς ὑπερρ.
(228) A B, τῇ μέσῃ. Sic μέσῃ et μέχρι confusa, ut μέσης et μέχρις v. 221.
(231) A B, αὐτον.. πολεμοῦντα.
(232) A B, αὐτούς. B, τούτοις.
(233) B, ἀνακωχὴν μικράν. A, μ. ἀνακοχήν.
(240) Cf. Il. 16, 680.
(243) B, σοι πρῶτον. Confer superius v. 142.
(244) A B, ἕνεκεν.
(246) Cf. modo v. 238.

ἐξ οὐρανόθε φλέγοντος ἡλίου θερμοτάτου
ἢ Εἱμαρμένης ταῖς βουλαῖς οὕτω θερμοῦ φανέντος,
οἱ Τρῶες ἀπεπαύθησαν Ἕκτορος στρατηγίαις·
Πάτροκλος δὲ σὺν Ἕλλησι τισὶν ἀσυγκροτήτοις,
ἀπείροις τέχνης τῶν μαχῶν, ἐδίωκον τοὺς Τρῶας.
Οἱ Λύκιοι δὲ ἄδειαν εὑρόντες οὕτως τότε,
καὶ τὸν αὐτῶν ἀράμενοι δεσπότην Σαρπηδόνα,
λούουσι καὶ κοσμοῦσι δὲ, χρίουσιν ἀμβροσίᾳ,
ἤτοι φαρμάκοις τοῖς τηρεῖν ἀσέπτους δυναμένοις,
καὶ τοῖς δυσὶ τοῖς ἀδελφοῖς, τῷ Ὕπνῳ καὶ Θανάτῳ,
ἤτοι θανόντα τουτονὶ ἑσπέρᾳ, ὕπνου χρόνῳ,
εἰς τὴν Λυκίαν ἔπεμψαν τὴν ἑαυτοῦ πατρίδα.
Ὁ Πάτροκλος διώκων δὲ τοὺς Τρῶας καὶ Λυκίους,
τὰ μέγιστα, οὐ μέτρια, ὁ νήπιος ἐβλάβη.
Ἔφυγε δ' ἂν τὸν θάνατον, τηρῶν τὰ Ἀχιλέως·
ἀλλ' Εἱμαρμένης λογισμὸς κρείσσων ἐστὶν ἀνθρώπων.
Τίνα δ' οὖν τότε, Πάτροκλε, ἀνεῖλες ἐκ τῶν Τρώων,
ὁπότε δή σε οἱ θεοὶ πρὸς θάνατον ἐκάλουν;
(Θεοὺς τὴν εἱμαρμένην μὲν καὶ τοὺς ἀστέρας λέγει
τοὺς γενεθλίους καθενὸς ἀνθρώπων τῶν ἁπάντων.)
τὸν Ἄδρηστον, Αὐτόνοον, τὸν δεῖνα καὶ τὸν δεῖνα.
Τότε μικροῦ τὴν Ἴλιον οἱ Ἕλληνες ἂν εἷλον,
εἰ μὴ Ἀπόλλων, συμμαχῶν Τρωσὶ, πρὸ πύργων ἔστη,
ἐχθρὰ φρονῶν Πατρόκλῳ δέ. Τρὶς γὰρ ὡς πρὸς τὸ τεῖχος
ὁ Πάτροκλος ἐξώρμησε, τρὶς δὲ αὐτὸν Ἀπόλλων

(247) A B, ἐξ οὐρανόθεν. C, ἐξουρανόθε. Placuit Tzetzæ in adverbiis litteræ ν omissio, quod sæpius animadvertere fuit in δῆθε, ὄθε, aliis.
(250) A, δὲ τοῖς ἑλλ.
(252) A C, οὕτω, εὑρόντες.
(253) A B, αὐτόν. C, αὐτὸν, superscripto ῶ.
(260) Cf. Il. 16, 685...
(264) Il. 16, 693: ὅτε δή σε θεοὶ θάνατόνδε κάλεσσαν.
(268) A, ἀνεῖλον.

θείαις χερσὶν ἀπέστρεψε, πατάσσων τὴν ἀσπίδα.
Ἀλλ' ὅτε δὴ καὶ τέταρτον ὥρμησε δαιμονίως,
ἤγουν ὡς ὑπὲρ ἄνθρωπον, ὡς ἕν τι τῶν στοιχείων,
ὡς πῦρ, ὡς κῦμα, σίδηρος, ὡς πνεῦμα καταιγίδος,
δειναῖς, φησὶ, ταῖς ἀπειλαῖς ἑκάεργος Ἀπόλλων,
ὁ καθ' ἑτέρους πόρρωθεν εἴργων τε καὶ τοξεύων,
κατὰ δ' ἡμᾶς ὁ ἥλιος πόρρωθεν δρῶν τὰ ἔργα·
φησὶ δέ· « Χάζου, Πάτροκλε· οὐκ ἔστιν εἱμαρμένον
« πεσεῖν δορὶ σῷ Ἴλιον, οὐδὲ τοῦ Ἀχιλέως. »
Πάτροκλος δ' ὑπεχάζετο, τούτου ὀργὴν ἐκκλίνων.
Ἀπόλλων, μητραδέλφῳ δὲ τοῦ Ἕκτορος Ἀσίῳ
ὁμοιωθεὶς, πρὸς Ἕκτορα τάδε φησὶ κατ' ἔπος·
« Εἴθε σου τόσον κρείσσων ἦν, ὅσον εἰμί σου χείρων·
« ἔδειξα γὰρ μὴ ῥᾳθυμεῖν ἂν οὕτω τοῦ πολέμου.
« Κατὰ Πατρόκλου ὅρμησον, εἴ πως αὐτὸν ἀνέλῃς,
« δόξαν σοι τοῦ Ἀπόλλωνος ἡλίου παρασχόντος. »
Οὕτως εἰπὼν Ἀπόλλων μὲν εἰς μέσον μάχης ἔδυ,
κλόνον ποιῶν τοῖς Ἕλλησι, κυδαίνων δὲ τοὺς Τρῶας.
Ἕκτωρ, ἀφεὶς τοὺς ἄλλους δὲ, χωρεῖ κατὰ Πατρόκλου.
Καὶ πρῶτα πέτρῳ Πάτροκλος κτείνει τὸν Κεβριόνην,
ἡνίοχον τοῦ Ἕκτορος καὶ ἀδελφὸν δὲ νόθον,
δι' ὃν ἄμφω συνέρραξαν καὶ μάχην βαρυτάτην,
ὁποῖα δύο λέοντες ἀμφ' ἔλαφον κτανθεῖσαν.
Νεκρῶν σωμάτων λέοντες ἐσθίουσιν οὐδόλως.

(273) Il. 16, 705 : δαίμονι ἶσος.
(275) A, σίδηρον.
(276) Homerus φησὶ, scilicet Il. 16, 706; δεινὰ δ' ὁμοκλήσας.
(277) B, ἑτέρου.
(279) Cf. Il. 16, 707.
(281) A, ὑπεχώ.ζετο.
(282) Cf. Il. 16, 716.
(284) A B, εἴθε τόσου κρ.
(285) De ῥᾳθυμεῖν τινὸς ad Z, 36.
(288) C, ἔδει. Bene ἔδυ exhibet. v. 311. Libro Σ, 234, in C ἔδει fuit correctione mutatum in ἔδυ.
(289) Cf. Il. 16, 729.
(291) Conf. Il. 16, 737.
(294) Cf. Il. 16, 756.

Οὐκ ἔλαθε τὸν Ὅμηρον πάντα λεπτῶς εἰδότα,
τὴν τοξευθεῖσαν δ' ἔλαφον καὶ θνήσκουσαν νῦν λέγει.
Περὶ τοῦ Κεβριόνου μὲν Πάτροκλός τε καὶ Ἕκτωρ,
καὶ ἀμφοτέρων οἱ στρατοὶ τὴν μάχην συγκροτοῦντες,
ἰσοπαλεῖς ἐτύγχανον ἄχρι καὶ μεσημβρίας·
μετὰ ἡλίου κλίσιν δὲ οἱ Ἕλληνες νικῶσιν.
Ὁ Πάτροκλος τρισσάκις δὲ ὁρμήσας κατὰ Τρώων,
πολλοὺς ἀνεῖλεν ἐν δορί· ὁρμῇ δὲ τῇ τετάρτῃ,
βληθεὶς ὑπὸ Ἀπόλλωνος λαθραίως μεταφρένῳ,
τοὺς ὀφθαλμοὺς ἐσκότιστο, ῥίπτει τὴν πανοπλίαν,
τὸ δόρυ τούτου ταῖς χερσὶν ἐρράγη, διεθραύσθη,

(297) Homerus: περὶ κταμένης ἐλάφοιο. De leonibus cadavera non edentibus ac simili aquilarum abstinentia Tzetzes egit Chil. 5, Hist. 9. Ibi et locum alium Il. 3, 23, de leone, qui « ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας » tangit, et intelligit de corpore vivo ac vigente. Heynii est ibi legenda erudita nota, qui tamen Tzetzæ non meminit. Versum in hac Historia 426, cujus est clausula περὶ ἀετῶν μὲν, correxi ad Simocattæ Quæstiones Physicas p. 180, monstrans legendum esse ἀετῶν μεν, quod nunc video confirmari scriptura boni codicis 2644. Ibidem v. 432, clausula θηρῶν δὲ rectius scriptam θηρῶν δε exhibet codex. Istæ particulæ fiunt encliticæ, quum poscat lex metrica penultimæ accentum. Inde sequitur Chiliade 5, versum 716, Συγγράφων εἰς ἀγνώμονας ἀνθρώπους, παχύφρονας esse corruptum a Kiesslingio, sic immutante pristinum et barbarum παχυφρένους. Remedium transpositionis fuit paratu facile, scilicet παχύφρονας ἀνθρώπους. Sed est in codice 2644, ἀνθρώπους παχυφρύγας, quod omnino accipiendum esse mihi quidem videtur. Phryges enim fuerunt olim contemptissimæ homines in Iolis, ingenio servilissimo, ac, quum serviebant, servi ἀργότεροι καὶ νωχελέστεροι. Sunt ἄνθρωποι παχυφρύγες homines obeso ac pingui ingenio, quos Phrygas jurares crasso natos in aere. Fuit prudentior Kiesslingius, qui reperto Chil. 4, 562, hemistichio priore ἀνθρώπους πλουσιόψυχας, abstinuit a corrigendo πλουσιοψύχους, quo nomine violaretur lex metrica. Incido in loco alium medicina egentem Chil. 9, 986: Ταῦτα γελώτων ἄξια, ταῦτα περικτέα πᾶσιν, Οὐ μὴν οἱ πυραυστούμενοι καὶ φάλαιναι καὶ ψύχαι. Prioris versus hemistichium posterius barbarismo fœdatur et syllaba una longius est. Optime codex 2644, παικτέα. In altero versu pro πυραυστούμενοι, reponendum e codice πυραυστουμόροι. Interpres sibi sit Tzetzes de phalæna κανδηλοσβέστρα Chil. 9, 962: Ἔστι καὶ ζῶον ἕτερον φάλαινα κεκλημένον, Φάλαινα, ψύχη, ψῶρα τε καὶ πυραυστούμορος δέ (imo πυραυστούμορός δε, ut in clausula; et sic codex). Compositum πυραυστούμορος fecit Tzetzes parum cogitate e versu Æschyleo Fragm. 340: Δέδοικα μωρὸν κάρτα πυραύστου μόρον. Liceat monere obiter Tzetzæ lectores a me ad Choricium p. 53 hemistichia fuisse alia recte instaurata et scripto σε, et transpositione, quod firmatum codice nunc reperio. Firmantur etiam codice correctiones propositæ ad Choricium p. 43, ad Theophylactum Simoc. pp. 213, 293. 299, 306.

(299) A, συνεκρότουν.

(300) Est hic versus ultimus folii 302; versus autem 301 primus folii 314, transpositis a bibliopego foliis. Confer. nota ad v. 247.

(306) C, συνεθραύσθη.

τὸν δ' Ἄτη φρένας ἔλαβε, λέλυτο τούτου μέλη,
ἐκπεπληγμένος ἔστη δέ. Σύνεγγυς Εὔφορβος δε
ἐλθὼν ἐκεῖνον ἔβαλλε δορὶ τοῖς μεταφρένοις·
ὡς τοῦτον δ' οὐκ ἐδάμασσε βολῇ τοῦ δορατίου
ἁρπάξας ἐκ τοῦ σώματος τοῦτο πρὸς πλῆθος ἔδυ.
Πληγῇ θεοῦ καὶ τῷ δορὶ Πάτροκλος δαμασθεὶς δε
ἐχώρει πρὸς τοὺς Ἕλληνας, τὸν θάνατον ἐκφεύγων.
Ἕκτωρ δὲ τοῦτον τῷ δορὶ βαλὼν κατὰ λαπάραν,
ὡς εὐτελὲς γρυλλίδιον τὸν ἄνθρωπον ἀνεῖλε.
Ταῖς ἀλλοτρίαις τελευταῖς ὁ Ὅμηρος δὲ παίζων
δεικνύει λόγων δύναμιν ἐξαίρων τὰ τυχόντα·
καὶ τὴν ἀλήθειαν ἀεὶ δεικνύει τοῖς σκοποῦσιν,
ὅτι λόγον τὸν ἥττονα γυμνάζων ταῦτα λέγει·
ὡς τῷ χωρίῳ δείκνυσι τῷδε συμφανεστάτως.
Τοῦ στρατηγοῦ γὰρ Ἕκτορος τοῦ στρατηγικωτάτου
ἐκείνῳ καταθνήσκοντι λέγοντος εἰρωνείᾳ·
« Νήπιε, ὑπετόπαζες Τρώων πορθῆσαι πόλιν
« καὶ αἰχμαλώτους ἀγαγεῖν γυναῖκας Τρωϊάδας.
« Ἐγὼ τούτων ὑπερμαχῶν ἐκτρέπω τὰς ἀνάγκας·
« σὲ δὲ οἱ γῦπες ἔδονται τοῖς τόποις τοῖς ἐνθάδε.
« Ὁ Ἀχιλλεὺς δ' οὐ βοηθεῖ σοι, ἀγαθὸς ὑπάρχων. »
Τοιαῦτα δὲ καὶ ἕτερα τοῦ Ἕκτορος εἰπόντος,
λειποψυχῶν ὁ Πάτροκλος, ὡς παίζοντος Ὁμήρου
καὶ προφανῶς δεικνύοντος τὸν ἥττονα γυμνάζειν·
« Αὔχει νυν, Ἕκτορ, μέγιστον ἤδη, καὶ κόμπαζέ μοι·
« σοὶ γὰρ τὴν νίκην δέδωκεν ὁ ἥλιος Ἀπόλλων,

(314) C, λαπάρας Cf. Il. 16, 820.
(316) A, συμφοραῖς.
(317) A, ἐξαῖρον.
(322) A, ἐκείνο.. εἰρωνία.
(323) Cf. Il. 16, 833.
(324) A, τρωαΐδας. Cf. Il. 16, 831.
(326) A B C, γύπες. Cf. Il 16, 836.
(331) A, Ἕκτωρ. Cf. Il. 16, 844.

« καὶ Ζεὺς Κρονίδης δὲ αὐτός, ἄδηλος εἱμαρμένη,
« εἰ ἐκ τῶν ὤμων ὅπλα μου ἐδάμασαν λαβόντες.
« Ἕκτορες δέ μοι εἴκοσιν εἰ ἦλθον ἐναντίοι,
« πάντες ἂν ἀνῃρέθησαν ἐμοῦ τῷ δορατίῳ. »
Ἤκουσας ὠοτάριχα, τηγάνου μαγειρίαν,
ἤκουσας κατζανίτζια τὰ τοῦ καλοῦ Πατρόκλου;
τὸν Ὅμηρόν μου τὸν χρυσοῦν ἔγνως ἠκριβωμένως,
ὅπως λόγον τὸν ἥττονα ῥητορικῶς γυμνάζων
καὶ τὴν ἀλήθειαν λέγει καὶ καπυρὸν γελᾷ δέ.
Νήπιε Πάτροκλε, τί φής; ὡς πρὸς τὸν Τζέτζην λέγε·
εἰ εἴκοσί που Ἕκτορες ἄνευ στρατοῦ ὑπῆρχον,
οὐκ ἂν τοὺς πάντας Ἕλληνας ἀπέκτειναν καὶ μόνοι.
Ἀλλ' ἐπαναληπτέον μοι τοῦτον μικρὸν τὸν λόγον.
Πάτροκλος εἶπεν· « εἴκοσι τοιούτους ἂν ἀνεῖλον,
« ἀλλά με Μοῖρά τε ἐμοῦ ἀνεῖλε σὺν ἡλίῳ· »
ἤτοι ἡ Μοῖρα δέδρακε βλαβῆναι παρ' ἡλίου,
δεύτερος δὲ ὁ Εὔφορβος, σὺ δὲ τρίτος ὁ Ἕκτωρ.
Οὕτως εἰπὼν, ἐξέθανε, ψυχὴ δ' ἀπέπτη τούτου
πτῶσιν θρηνοῦσα τελευτῆς, ἥβην καὶ ἀδροτῆτα,
τὸ στιβαρὸν καὶ εὔτονον, καὶ τὸ ἀνδρεῖον τούτου.
Μὴ εἴπῃς ἀνδροτῆτα δὲ μετὰ τοῦ νῦ μηδόλως

(337) C, αὐγοτάριχα. Prætuli quod plus habet hellenismi, ὠοτάριχα, vernacule *boutargue*. Est et nomen αὐγοτάριχον, quod Coraÿus Atactis 5, 27 et Zalyces Lexico vertunt *boutargue* Apte diceretur αὐγοτάραχα cibus ex ovis, quem vocamus *œufs brouillés*.

(338) Videsis addenda.

(343) A B, στρατῶν.

(345) A B, ἐπαναλειπτέον.

(349) A B, ὁ δηΐφοβος. Cf. Il 16,850.

(351) C, ἀνδρότητα, super ἀν scripto ἁ, cum scholio ad marginem: ἁδρότητα γράφειν. Fortasse fuit ante ἁδρ. verbum δεῖ quod culter resecuerit bibliopegi

(353) A B, ἀνδροτῆτα. Non vult scribi Tzetzes ἀνδροτῆτα, quod nomen reperitur in Iliadis loco, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην, quia versus Homeri erit ἐπταισμένος, qui non possit ad numeros exigi legitimos, syllabis πουσ' ανδρο pro dactylo habendis. Id monet grammaticus, quia prava lectio ἀνδροτῆτα in multis reperitur codicibus: ac, quod miror valde, eam in Clarkiana remanere sinebat Ernestius, et tuebatur Heynius quoque, et licet animus inclinaret in ἁδροτῆτα, alteram vocem servabat et longa nota plena

ὁ στίχος οὗτος γάρ ἐστι λοιπὸν τῶν ἐπταισμένων.
Οὕτω μὲν οὖν ἀπέπνευσεν ὁ Πάτροκλος, ὡς ἔφην·
ὁ Ἕκτωρ δ' ἐκ τοῦ τραύματος λὰξ ἀνασπάσας δόρυ,
ὥρμα κατ' Αὐτομέδοντος κτανεῖν καὶ τοῦτον θέλων·
τοῦτον δὲ ὑπεξέφερον οἱ Ἀχιλέως ἵπποι,
οὓς τῷ Πηλεῖ γε οἱ θεοί, ἤτοι ἡ εἱμαρμένη
ἢ βασιλεῖς δεδώκασι δῶρα τῶν λαμπροτάτων.
Τῆς Πῖ μὲν ἡ ὑπόθεσις ἰδοὺ συνεπεράνθη,
καὶ δὴ καὶ ἠλληγόρηται, ἃ δ' οὐ σαφῶς ἐλέχθη·
τανῦν ἀλληγορήσομεν σαφῶς καὶ πλατυτάτως.
Ἐκ τοῦ μικροῦ τὴν Ἴλιον οἱ Ἕλληνες ἀνεῖλον
εἰ μὴ Ἀπόλλων συμμαχῶν Τρωσὶ πρὸ πύργων ἔστη.
Οὐδὲν ἀσκόπως Ὅμηρος ἄχρι τυχόντων γράφει,
ῥητόρων δὲ δεινότητι πάντα προσφόρως γράφει.
Τὸ δὲ μικροῦ τὴν Ἴλιον Πάτροκλος μεθ' Ἑλλήνων
τῷ τότε ἂν ἐπόρθησαν, λόγος ἐστὶν ἀστεῖος,
καὶ χάρις ἐπιτάφιος εἰς Πάτροκλον Ὁμήρου·
ἤτοι εἰ μὴ ὁ Πάτροκλος ἀπέθανεν, ἀλλ' ἔζη,
καὶ ἴσως καὶ τὴν Ἴλιον σὺν Ἕλλησιν ἂν εἷλεν·
ἀλλ' ὁ Ἀπόλλων ἔδρακε τάδε καὶ τάδε τότε.
Ἄκουε πάντα νουνεχῶς σαφῶς ἀλληγοροῦντος.
Οἷος ἐμπειροπόλεμος ἦν στρατηγὸς ὁ Ἕκτωρ

nugarum vindicabat, erroribus librariorum et typographorum vim tribuens argumenti.

(354) B, ὁ στ. γάρ ἐστι λοιπὸν οὕτω τ. ἐπτ.

(359) B, πηλεῖ οἱ. C, πηλεῖ περ. A, πηλί γε.

(360) B, ἤ. Cf. Il. 16, 867; et Σ, 126.

(361) C, ἤδη. Mox A B, πλατυτέρως.

(365) Cf. Il. 16, 698.

(367) A, δεινότητι.

(369) B C, ἐπόρθησε. A, ἐπόρθησαν. Sic v. 250, codicibus conspirantibus: Πάτροκλος δὲ σὺν Ἕλλησι... ἐδίωκον τοὺς Τρῶας. Ad ἀστεῖος scholium in C, et in Anecd. Oxon. t. 3, p. 484: γραφὴν Ὁμήρου ἀστείαν ὁ Φαληρεὺς δὲ χάριν ὀνομάζει τὸ ἀστεῖον.

(371) A B, ἂν ἔζη. Vid. Addenda.

(374) C, πάντα νῦν λεπτῶς. Prætuli νουνεχῶς ex A B, ne pronunciaretur πάντα νῦν.

καὶ τοῖς νεκροῖς κατάδηλον καὶ φύσεσιν ἀψύχοις·
οἱ δὲ ἀσυγκρότητοι πρὸς μάχας καὶ πολέμους
ἦσαν οἱ πλείους Ἕλληνες χωρὶς ἠριθμημένων,
Ὅμηρος ἐμαρτύρησε τῇ Γάμμα ῥαψῳδίᾳ,
κἂν λέγων λέγειν οὐ δοκῇ, δεινὸς ὢν λογογράφος.
Τέως ὁ πάνσοφος ἀνὴρ ἐκεῖ τοιάδε γράφει·
Ὁ Ἕκτωρ τὰ στρατεύματα μέλλων τῆς μάχης παῦσαι
ὡς ἂν μονομαχήσωσι Μενέλαος καὶ Πάρις,
εἰς ἀμφοτέρους τοὺς στρατοὺς μέσος εἰσῆλθε τότε,
ἐκ μέσου δόρυ τὸ αὐτοῦ κρατῶν, ἀλλ' οὐκ ἐξ ἄκρου,
ὅπερ σημεῖον παύσεως καθέστηκε τῆς μάχης.
Καὶ Τρῶες μὲν ἱδρύνθησαν ἰδόντες τὸ σημεῖον,
Ἕλληνες δ' ἀσυγκρότητοι, τῶν ἀπειροπολέμων
ὄντες, μηδὲ γινώσκοντες στρατιωτῶν σημεῖα,
καθ' Ἕκτορος πᾶν ἔπεμπον καὶ τόξευμα καὶ βέλος
ἕως αὐτοὺς ὁ βασιλεὺς ἔπαυσεν Ἀγαμέμνων,
εἰπὼν ὥς τι τοῖς Ἕλλησιν ὁ Ἕκτωρ μέλλει λέγειν.
Τοιοῦτος Ἕκτωρ στρατηγὸς ὢν συγκεκροτημένος,
ὡς κατακόπους ἦν ὁρῶν τοὺς Τρῶας μαχομένους
καὶ κίνδυνος ἐπήρτητο τούτοις ἐκ Μυρμιδόνων,
φεύγειν προσποιησάμενος, φεύγειν κελεύει Τρῶας,
ὡς καταστρατηγήσειε στρατηγικῇ φρονήσει
τοὺς Ἕλληνας καὶ Πάτροκλον ὄντας ἀσυγκροτήτους,
τοῖς δὲ Τρωσὶ ποιήσειεν ἑτεραλκῆ τὴν νίκην·
ὅπερ καὶ δέδρακεν εὐθὺς τεχνικωτάτῳ τρόπῳ.
Τῇ γὰρ δοκήσει τῆς φυγῆς τὸν τόπον παραμείψας

(379) Est ultimus folii 314; sequens primus est folii 303, propter transpositionem foliorum jam notatam ad v. 300.
(380) A, δοκεῖ.
(385) Conf. Il. 3, 77, atque superius Γ, 65.
(392) A, ὥς εἴ τι.
(394) A B, καὶ κατ.

ὡς εἶναι μὲν τὸν ἥλιον τοῖς Τρώων ὀπισθίοις,
λάμπειν δὲ κατὰ πρόσωπον Ἑλλήνων καὶ Πατρόκλου,
(τί δεῖ μακρηγορήματος;) τὸν Πάτροκλον ἀνεῖλε,
καὶ Μυρμιδόνας καὶ λοιποὺς Ἑλλήνων οὐκ ὀλίγους.
Τὸ πᾶν δὲ ἀλληγόρημα νῦν προσωποποιΐα,
Ἀπόλλωνα τὸν ἥλιον σύμμαχον Τρώων λέγειν
ὀλέθρια Πατρόκλῳ δὲ καὶ θάνατον φρονοῦντα,
καὶ τὴν ἀσπίδα νύσσοντα χερσὶ ταῖς ἀθανάτοις,
ταῖς δραστικαῖς ἐλλάμψεσι τοῦτον ἀποσοβοῦντα,
καὶ δῆθεν λέγοντα ταυτὶ ἅπερ φησὶ τὰ ἔπη.
Ὁ Ἄσιος ὁ μητρῶς δὲ τοῦ Ἕκτορος ὡς εἶδεν
ἥλιον κατὰ πρόσωπον Ἑλλήνων ὑπηργμένον,
τὸν Ἕκτορα εἰσέτι δὲ σκοποῦντα τί δραστέον,
τολμηροτέροις ὥρμησε κατὰ Πατρόκλου λόγοις,
ὃν Ἄσιον Ἀπόλλωνος μόρφωμα νῦν σοι λέγει.
Καὶ ὁ μὲν ἥλιος αὐτὸς ἦν τῷ πολέμῳ λάμπων,
καὶ σκύλμα μέγα τῷ στρατῷ ποιῶν τῷ τῶν Ἑλλήνων,
τοῖς δὲ Τρωσὶ καὶ Ἕκτορι μέγα προσάπτων κῦδος.
Ἕκτωρ φονεύειν δὲ λοιποὺς παρέτρεχεν Ἑλλήνων,
κατὰ Πατρόκλου δ' ἤλαυνε, κτεῖναι ποθῶν ἐκεῖνον.
Καὶ πρῶτα Κεβριόνην μὲν ὁ Πάτροκλος ἀνεῖλε,
δι' ὃν καὶ μάχη καρτερὰ τῷ τότε συνερράγη.
Καὶ μέχρι μεσημβρίας μὲν ἰσοπαλὴς ἦν μάχη,
μετὰ τὴν μεσημβρίαν δὲ οἱ Ἕλληνες νικῶσι,
τὸν ἥλιον κατόπισθε τῆς ῥάχεως βαλόντες.
Ἀνεῖλε δὲ ὁ Πάτροκλος, ἀλλὰ σὺν Μυρμιδόσιν,

(402) B, τρώοις.
(404) A B, μακρηγορήματα.
(409) B, χερσὶ τοῖς.
(412) Scholium ad μητρῶς in C : μητρὸς ἀδελφός.
(415) B, ἔδρασε, lituratis syllabis ἔδρα nil correctionis superscribens.
(416) Cf. Il. 16, 716.
(423) A B, ἡ μάχη.
(426) A B, κατόπισθεν.

ὅσους φησὶν ὁ Ὅμηρος· εἶτα δὲ ὁ Ἀπόλλων,
πλήξας αὐτοῦ μετάφρενον, πάντων γυμνοῖ τῶν ὅπλων,
ῥιπτεῖ δὲ καὶ τὴν κόρυθα, τούτου τὸ δόρυ θραύει.
Πάτροκλος δ' ἔστη ἐκπλαγείς, ὁ δ' Εὔφορβος λαθραίως
ἔβαλε τὸ μετάφρενον τούτου τῷ δορατίῳ.
Ὡς δ' οὐκ ἐδάμασεν αὐτὸν, ἀφηρπακὼς τὸ δόρυ
φεύγει, οὐχὶ τὸν Πάτροκλον, ὡς Ὅμηρος νῦν φέρει,
ἀλλὰ στρατὸν Ἑλλήνων τε καὶ τὸν τῶν Μυρμιδόνων.
Εἶτα ὁ Ἕκτωρ ἀναιρεῖ τὸν Πάτροκλον, ὡς ἔφην·
πληγὴ δὲ τοῦ Ἀπόλλωνος ἡ κατὰ μεταφρένου,
ἡ ὅτι Πάτροκλος, θαλφθεὶς ἀκτῖσι ταῖς ἡλίου,
ὡς καὶ νικῶν ἐκδύεται πᾶσαν τὴν πανοπλίαν,
καὶ ἀνῃρέθη ᾧ φαμὲν ἀναιρεθῆναι τρόπῳ,
εἴτουν καὶ ἀσκεπτότερον ἐλαύνων κατὰ Τρώων,
Εὐφόρβῳ τὸ μετάφρενον ἐβλήθη δορατίῳ
ἐκ τῶν μερῶν τῶν ὄπισθε λαθραίως ἐπελθόντι,
τῇ φαύσει τοῦ ἡλίου δὲ μηδόλως ἑρωμένῳ.
Δι' ὃ προσάπτων Ὅμηρος ἡλίῳ τὴν αἰτίαν,
λέγει· « Ὁ Ζεὺς, ἡ Μοῖρα, με, καὶ ὁ Ἀπόλλων ἅμα,
ὁ Εὔφορβος δὲ δεύτερος, σὺ δέ με τρίτος κτείνεις. »

(430) A, ῥίπτει.
(434) Conf. Il. 16, 814.
(436) Cf. superius v. 314.
(438) C, ὅταν.
(439) A B, ἐνδύεται.
(441) Abest ab A.
(442) C, τὸν ὄπισθεν. A, ὄπισθεν.
(446) Conf. Il. 16, 849.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Ρ (*).

*Μάχη συνέστη καρτερὰ περὶ νεκροῦ Πατρόκλου·*
*Εὔφορβος ἀναιρεῖται δὲ ὑπὸ τοῦ Μενελάου.*
*Ἕκτωρ τὴν Ἀχιλέως δὲ δύεται πανοπλίαν.*
*Ἀντίλοχος δὲ στέλλεται παρὰ τὸν Ἀχιλέα*
*τὸν τοῦ Πατρόκλου θάνατον ἐκείνῳ καταγγέλλων.*
*Ὁ δὲ Μενέλαος αὐτὸς ἅμα καὶ Μηριόνης*
*ὑψοῦ κρατοῦντες τὸν νεκρὸν ἐξέφερον τῆς μάχης·*
*οἱ δ᾽ Αἴαντες ἀπείργουσι τοὺς Τρῶας προμαχοῦντες.*

*Πάντα τὰ τῇδέ σοι σαφῆ. Τὸ « Ζεῦ δὲ πάτερ » νόει*
*τὴν εἱμαρμένην νῦν δηλοῦν εἴτε καὶ τὸν ἀέρα.*
*Ἀπόλλων ἥλιος ἐστὶν ὁμοιωθεὶς τῷ Μέντῃ,*
*ὃς Μέντης βλέπων συνεργὸν ἥλιον Τρώων ὄντα,*
*ἢ καὶ ἡλίου τηλαυγοῦς αὐγάζοντος ἐν μάχῃ,*
*τῷ Μενελάῳ Εὔφορβον ἰδὼν ἀνῃρημένον*
*φησὶν ὡς πρὸς τὸν Ἕκτορα· « Σὺ μὲν διώκεις ἵππους,*
*« Μενέλαος δ᾽ ἀπέκτεινεν Εὔφορβον παῖδα Πάνθου. »*

(*) Lemmata codicum similia præcedentibus.
(3) A, δ᾽ ἐνδύεται.
(4) A B, περί.
(7) Ultimus est folii 303; sequens autem primus folii 295. Plurima enim ordine sunt interversa folia. Vide n. ad II, 379.
(8) A B, κἀπείργουσι. Argumentum prosaicum : οἱ δὲ Αἴαντες προμαχοῦσι καὶ ἀπείργουσι τοὺς πολεμίους. Inde mendum κἀπειργουσι.
(9) Conf. Il. 17, 19.
(11) Conf. Il. 17, 73.
(15) Cf. Il. 17, 75.

Τὸ πρὸς τὸν Γλαῦκον δὲ ῥηθὲν, παρ' Ἕκτορος ῥηθέν δε,
ὡς « Οὐκ ἐγὼ πτοούμενος καθέστηκα τῇ μάχῃ,
« ἀλλὰ Διὸς ὁ νοῦς ἐστὶ κρείσσων τοῦ Αἰγιόχου· »
τοῦτο σημαίνει καὶ δηλοῖ συμφανεστάτῳ λόγῳ
ὡς ἡ ἀκατανόητος ἄδηλος εἱμαρμένη
ἔστι καὶ νοῦς καὶ φρόνησις καὶ ῥώμη καὶ ἀνδρεία,
καὶ πᾶν ὁπόσον πέφυκε τιμώμενον ἐν βίῳ,
μὴ συνεργούσης ταύτης δε, σύμπαν εἰς μάτην τρέχει.
Ἄμβροτα τεύχη δὲ τανῦν τοῦ Ἀχιλέως λέγει,
ὡς ἵππους πάλιν ἀλλαχοῦ, καὶ ἄλλα δὲ μυρία
τῶν ὧνπερ οὐκ ἀπόλλυται ἡ φήμη καὶ τὸ κλέος.
Τὸ ἃ δὲ οὐρανίωνες θεοὶ Πηλεῖ παρέσχον,
ἡ ἐξ ἀστέρων οὐρανοῦ παρέσχεν εἱμαρμένη,
ἢ ἅπερ ἦσαν ἐκ χρυσοῦ, ἀργύρου, καὶ τῶν ἄλλων·
ἑκάστῳ τῶν ἀστέρων γὰρ ἀνάκειταί τις ὕλη.
Δηλῶν τὴν εἱμαρμένην δὲ καὶ τοὺς ἀστέρας λέγειν,
ἵνα μὴ δόξῃς νῦν θεοὺς τοὺς βασιλεῖς σοι λέγειν,
εἶπε τὸ « οὐρανίωνες » σὺν τούτοις τε ὁμοίως.
Ἡ εἱμαρμένη πέφυκε Ζεὺς ὁ νεφεληγερέτης,
ὁ καὶ κινήσας κεφαλὴν δι' Ἕκτορα, ὡς γράφει.
Διϊπετὴς δὲ ποταμὸς, ὁ ὄμβροις ηὐξημένος.
Κόρυθες δ', ὡς τιθέμεναι τάχα περὶ τὴν κάραν,
ἀπὸ τοῦ κάρυς κόρυς τε εἰλήχασι τὴν κλῆσιν,

(17) A, Ἕκτορος ῥητόν δε. Cf. Il. 17, 175.
(18) C, τὴν μάχην.
(24) C, συμπαρούσης, superscripto συνεργούσης. A, σύμπας. B, μάχην.
(25) Cf. Il. 17, 194.
(26) Cf. Il. 16, 381.
(28) Cf. Il. 17, 195.
(31) B, τις ἄλλη. Cf. Σ, 129, 382.
(34) Οὐρανίωνες σὺν τούτοις, scilicet τοῖς θεοῖς. Junxit enim utrumque nomen, οἱ θεοὶ οὐρανίωνες. Ista quidem carent perspicuitate, aut carere mihi videntur.
(35) Cf. Il. 17, 198.
(36) C, νικήσας. Cf. Il. 17, 200. B, γράφει.
(37) Cf. Il. 17, 264. A, ὄμβρος.
(38) Cf. Il. 17, 269. A, τὴν κάρα.
(39) A B εἰλήφασι. Eadem permutatio p. 195, n. 54. Est ἀπὸ τοῦ pro ἀφ' οὗ. Videsis Etymol. Magnum.

ἢ ὅτι Κέρυθος αὐτὰς πρῶτος ὁ Ἴβηρ εὗρεν,
ὡς Σάκας σάκος, Φάλαξ δὲ εὗρε πολέμων στάσιν.
Κρονίων δὲ, ἡ ἄδηλος μοῖρα καὶ εἱμαρμένη,
ἀορασίαν ἔχευε ταῖς περικεφαλαίαις·
ἔστεργε γὰρ τὸν Πάτροκλον ζῶντα καὶ τεθνηκότα.
Τοῦτο δηλοῖ ὁ Ὅμηρος χωρίῳ τῷ ἐνθάδε,
ὡς οἱ χρηστὰ θεμάτια σχόντες ἐν γενεθλίοις
καὶ ζῶντες εὐτυχοῦσι μὲν, ὁτὲ καὶ τελευταῖς δὲ
ἀρίσταις περιστέλλονται, ὁτὲ δὲ καὶ σημεῖα
πρὸ τελευτῶν κἂν τελευταῖς δεικνύονται ταῖς τούτων·
οἷον φησὶ κἂν τελευτῇ γενέσθαι τοῦ Πατρόκλου.
Τοὺς Ἀχαιοὺς ἑλίκωπας ὁ Ὅμηρος καλεῖ δὲ,

(41) A B, ὁ σάκας. C, φάλαγξ.

(42) Cf. Il. 17, 269. B, ἄμοιρος μοῖρα καὶ ἡ εἱμ.

(46) C, δεμάτια, pro θεμάτια, permutatis facile ob pronunciationem valde similem litteris δ, θ. Sic in Hesiodo E. 522 variant τένδει et τένθει; θολερὸς et δολερὸς in Anecd. meis Græcis t. 4, p. 265; οἰνόθρυπτε et οἰνόδρυπτε in Theocrito 15, 27, coll. mea notula in editione secunda. Vide et n. ad Φ, 31; ad Γ, 45 — B C, ἔχοντες hemistichio longiore. Longius et hemistichium prius Chiliade 5, 710 in bono codice: Πᾶσι γὰρ τοῖς ἐντυγχάνουσι μηχανικοῖς βιβλίοις. Bene Kiesslingiana sine γάρ. Est brevior versus Chil. 9, 118: Ἀγέρωχον τὸν ἔνδοξον οὕτως ἐτυμολόγει· τὸν ἐποχούμενον ἄγαν ἐπὶ τοῦ γέρως. Ad Theophylactum Simoc. p. 281, proposui supplementum probabile, ἄνδρα τὸν ἐποχ. Minus mihi quidem placet lectio codicis: τὸν ἐποχ. αὐτὸν ἄγαν. Interea codici parendum. Accentu peccat hemistichium Chil. 5, 242: Ταῦτα πραγματικώτερα ὡς ῥήτωρ ἀλληγορεῖ. Codex, πραγματικώτερον .. ἀλληγόρει. Lectorem alloquitur, quod fit sæpius. Tzetzes rhythmum accentus constanter servat. Plochirus iambographus et ipse politicus accentum penultimæ nonnunquam neglexit, duodenario numero semper servato. Versus talis moduli, Ὤνησεν οὐδὲν οὐδαμῶς ἥγε σοφία, Χρυσὸς γὰρ ἄρτι καὶ λαλεῖ ἤδε σέβεται, Ἔχεις παρ' αὐτῷ πλοῦτον αὐτῆς γε σοφίας, Ἢ καί τις ἄλλος τῆς γε βασανίδος τέχνης, versus igitur tales Morellus fecerunt et Maittarius, nec sunt repetendi. Edidit eos Tilmannus duodecasyllabos, Ὤνησεν οὐδὲ οὐδαμῶς ἡ σοφία, Χρυσὸς γὰρ ἄρτι καὶ λαλεῖ καὶ σέβεται, Ἔχεις παρ' αὐτῷ πλοῦτον αὐτῆς σοφίας, Ἢ καί τις ἄλλος τῆς βασανίδος τέχνης. Bene correxit Maittairianam lectionem, scripto τῆς βαναυσίδος τ., Lud. Dindorf. in Thesauro Gr. v. βαναυσίς. Sequentem versum Καὶ γὰρ σκυτεύς τις, ὀψοπώλης ἄσοφος, putavit Maittairius fecisse meliorem, accepta particula τε, ὀψοπώλης τ' ἄσοφος. Sed et sic α manet breve. In Sibyllæ libro 14, 116. χώρην τ' ἀροσίμην spondæo constant et choriambo, sed non τ' ἀ producitur ob junctas litteras. Usus videtur esse poetæ licentia qua producta passim legitur prima in ἀθάνατος, ἀκάματος. De permutatione cogitavi ἄσοφος ὀψοπώλης, quum spondæum ultimum non semper iambici poetastri declinent. Ipse Plochirus, scriptura si vera sit: Πεσοῦσα δ' ἄφνω τοῖς λίθοις προσερρίφθη. Sed quid vetat secundo uti aoristo προσερρίφη? Nonnunquam ista tempora permutata sunt.

(51) Cf. Il. 17, 274.

ἢ ὡς τῷ πλέειν βλέποντας πρὸς ἄρκτον, τὴν ἑλίκην,
ἢ καὶ πρὸς οὓς ἑλίσσει τις τοὺς ὦπας θέλων βλέπειν,
ἤτοι ὡραίους, εὐειδεῖς, ἀξίους ὄντας θέας.
« Ὑπὲρ Διὸς τὴν αἶσαν » δὲ καὶ πρέπον εἱμαρμένῃ,
μικροῦ δεῖν Τρῶες φεύγοντες εἰσῆλθον ἂν εἰς Τροίαν.
Περίφαντι τῷ κήρυκι ὁμοιωθεὶς δ' Ἀπόλλων,
ἤτοι περισκεψάμενος τὸν ἥλιον Περίφας
Ἑλλήνων ἀντιπρόσωπον, Τρωσὶ δὲ συνεργοῦντα,
αὐτὸς Αἰνείαν ὤτρυνε, τὸν Ἕκτορα δ' Αἰνείας
τοῖς Ἕλλησιν ἀνθίστασθαι καὶ μάχεσθαι γενναίως.
Ὁ Ζεύς, ἡ εἱμαρμένη δὲ νοεῖται τοῖς ἐνθάδε.
Πράπιδας τὸ διάφραγμα νῦν δὲ κατονομάζει.
« Δέμας πυρὸς » ἢ τόπος τις οὕτως ἦν κεκλημένος,
εἴτε θερμῶς ὥσπερ τὸ πῦρ ἐμάχοντο οἱ ἄνδρες.
Τοιαύτη δέ τις σκότωσις ἐγένετο τῷ τότε,
ὡς μήθ' ἡμέραν φαίνεσθαι τελείαν τὴν ἡμέραν,
μήτε τὴν νύκτα παντελῆ σελήνην κεκτημένην.
Ἡ σκότωσις δὲ γέγονε περὶ τὸν τόπον μόνον,
πρὸς ὃν διὰ τὸν Πάτροκλον τὴν μάχην συνεκρότουν,
ἐν δὲ τοῖς ἄλλοις σύμπασι τόποις τοῖς τοῦ πολέμου
αἰθρία ἦν ἀνέφελος καὶ ἥλιος ὀξὺς δε.
Τότε δὲ μῶλος ἄγριος, ὥσπερ φησίν, ὀρώρει,
ὅνπερ οὐκ ἂν ἐμέμψατο οὐκ Ἄρης, οὐκ Ἀθήνη·
ἤτοι τοιοῦτος γέγονεν ὁ πόλεμος τῷ τότε

(52) A, τῷ βλέπειν βλέποντας. Vide Philostr. Her. p. 4, et meam notam.
(54) A, τῆς θέας.
(55) Cf. Il. 17, 321. A B, εἱμαρμένης.
(56) C, δεῖ. Est μικροῦ δεῖν Σ, 224.
(57) Conf. Il. 17, 323.
(62) Conf. Il. 17, 331.
(63) Il. 17, 349: ὑπὸ πραπίδων.
(64) Il. 17, 366. Cf. Σ, 8. A, οὗτος.
(66) Cf. Il. 17, 367.
(67) A, μεθ' ἡμέραν.
(68) A B, μήτε μὴν νύκτα.
(72) C, ὀξὺς δε, cum varietate λαμπρό δε.
(73) Conf. Il. 17, 397.
(74) C, οὐ δ' Ἀθήνη. Cf. Il. 17, 398.

ἄμομφος ὢν τοῖς σύμπασι φρονήσεως καὶ μάχης.
Ὡς οὐ πορθήσει Πάτροκλος τὴν πόλιν τὴν τῶν Τρώων,
τοῦ Ἀχιλέως ἄνευθεν, ἀλλ' οὐδὲ σὺν ἐκείνῳ,
ἐκ σφῆς μητρὸς ὁ Ἀχιλεὺς, τῆς ὑδατομαντείας,
κρυφίως ἐξεμάνθανε καὶ πᾶν τῆς εἱμαρμένης·
τὸν τοῦ Πατρόκλου θάνατον τότε δ' οὐ προεγνώκει,
ἤτοι οὐ προεσκόπησεν ἐκ λεκανομαντείας
εἰ ὑποστρέψει Πάτροκλος, ἢ τῷ πολέμῳ πέσοι.
Ὅπως τὸ ὕδωρ λέγεται μήτηρ δὲ Ἀχιλέως,
καὶ ποσαχῶς; εἰρήκειμεν τῇ Ἄλφα ῥαψῳδίᾳ.
Τοὺς ἵππους μυρομένους δὲ ἠλέησε Κρονίων,
ἡ σκοτεινὴ καὶ ἄδηλος, ὡς ἔφην, εἱμαρμένη,
καὶ κεφαλὴν κινήσασα πρὸς ἑαυτὴν εἰρήκει·
« Ἄθλιοι, τί δεδώκαμεν ὑμᾶς θνητῷ Πηλεῖ,
« ταῖς ἀρεταῖς ἀθάνατον τὴν μνήμην κεκτημένους,
« ἵνα δυστήνῳ Ἕκτορι θνητῷ ἐποχηθῆτε;

(76) A, ἄμορφος.

(79) Pronomine σφὸς usus est Tzetzes II, 79, 198; utetur Υ, 331, 342; Ω, 116 et c. Chiliade 5, 429, de aquila a reliquiis alimentorum quæ tetigit abstinente. Ὅθεν μὴ δ' ἀπολείμματος γεύεσθαι σφῶν βρωμάτων (codex 2644, οὐδ', et τῶν βρ., hoc male); et Scholio ad Chiliados 5, versum 209, in Crameri Anecd. Oxon. t. 3, p. 365: Τὸ Ἄραψ γράφε μεθ' ἑνὸς, μηδὲ διπλοῦ τοῦ ῥῶ μοι. Τζέτζης ὁ τοῦτο λέγων σοι μὴ πείθου τοῖς βαναύσοις. Καὶ Φαληρεὺς Δημήτριος ῥητορικῇ σφῇ γράφει. Legendum σφῇ, quod ipse legi in codice 2644. Tzetzes Chil. 7, 352: Βῆλος ἐν τῇ Αἰγύπτῳ δὲ σφῇ χώρᾳ καταμείνας.

(80) A B, τὸ εἱμαρμένον. C, non nitide quidem, quod dedi.

(82) A B, ἀπὸ λεκανομαντείας. C, κατεσκόπησεν ἐκ λεκ.

(83) A B C, bis ἤ. Prius mutavi in εἰ. Nam ἢ—ἢ non convenit Tzetzicæ orationi.

(85) Τῇ Α ῥαψῳδίᾳ, scilicet v. 185; atque ibi de divinatione ἐκ λεκανομαντείας mentio fit v. 182, 192; ut et Proleg. v. 444 et infra Σ. 14, 161. In Chil. 2, 633 de Proteo mutabili: Ἐγὼ δὲ λεκανόμαντιν τοῦτον τὸν ἄνδρα λέγω, Ἅπαντα προδεικνύοντα ταῖς λεκανομαντίαις. Consentit quidem codex 2644 in penultima τι, scribenda tamen διφθόγγως. Atque in Exegesi per τι nomen effertur. Cf. Σ, 57, 161, 195.

(86) Conf. Il. 17, 441.

(87) Ἔφην scilicet superius v. 42, nec semel alias.

(88) A B, ὡς κεφαλήν. Hic versus ultimus est folii 295; sequens autem orditur folium 306. Interversa fuerunt folia plurima, qua de re jam monui sæpius. Cf. n. ad v. 7.

(89) A, τίς δεδώκαμεν. A B, ἡμᾶς. C, fere evanidus, τε... ὑμᾶς.

(91) C, ἐποσχηθῆτε. Confer Il. 17, 445, 449.

« Ἀλλ' οὐκ ἐάσω οὐδαμῶς τοῦτο συντελεσθῆναι· »
ἀντὶ τοῦ φάναι ὡς οὐκ ἦν τῷ τότε εἱμαρμένον
τοιούτων ἵππων Ἕκτορα γενέσθαι διφρηλάτην,
οὓς εἱμαρμένη εὐτυχὴς παρέσχε τῷ Πηλέϊ.
Πρόσωπον περιθέμενος Διὸς τῇ εἱμαρμένῃ
τοῦτον εἰσφέρει λέγοντα λόγους τανῦν τοιούσδε.
Τίς δὲ θεῶν ὁ νηκερδῆ νῦν τὴν βουλὴν ποιήσας;
τίς εἱμαρμένη, τίς σκοπὸς ἀπώλεσε σὰς φρένας;
Θεόφιν δὲ ἀτάλαντος τὶς μήστωρ νῦν τυγχάνει;
ὁ τῇ φρονήσει ὅμοιος, εἴτουν αὐτῷ πολέμῳ.
Δεινὴ περὶ Πατρόκλου δὲ πάλιν κροτεῖται μάχη,
ὡς τοῦ Διὸς ἐκπέμψαντος, ἤτοι τῆς εἱμαρμένης,
τὴν Ἀθηνᾶν ἐξ οὐρανοῦ, νῦν ἶριδα καὶ τόξον,
προσβοηθεῖν τοῖς Ἕλλησιν· ἠλέησε γὰρ τούτους.
Ὁ πρῶτος Φοῖνιξ κατιδὼν Μενέλαον προτρέπει
περὶ Πατρόκλου καρτερῶς ἐγκαρτερεῖν τῇ μάχῃ.
Ὁ δὲ Μενέλαος φησίν· « Εἴπερ Ἀθήνη κράτος
δώῃ μοι (τὸ φανὲν νῦν τόξον ἐκ τοῦ ἀέρος),
οὐ ῥᾴθυμος φανήσομαι ἀμύνειν τῷ Πατρόκλῳ ».
Οὕτως εἰπὼν, καὶ παρελθὼν ἔγγιστα τοῦ Πατρόκλου,
υἱὸν τοῦ Ἠετίωνος κλῆσιν Ποδῆν ἀνεῖλε,
τοῦ Ἕκτορος συντράπεζον καὶ φίλον πεφυκότα,

(92) A B, οὐδ. τότε συντ.
(93) B, εἱμαρμενην
(98) Conf. Il. 17, 469.
(100) Conf. Il. 17, 477.
(102) Cf. Il. 17, 543... A B, πατροκλω.
(105) B, προσβοηθοῦν.
(106) Conf. Il. 17, 555.
(108) Cf. Il. 17, 561.
(111) C, ἔγγιστα τῷ πατρόκλῳ.
(112) A C, ποδῆν. A, ἀνεῖλεν. Cf. Il. 17, 575
(113) C, φῦλον, pro φίλον, quæ confusio est passim obvia. Alciphro 2, 4, 75 : ἄξω δέ σε ἄτερ μίτων Ἀριάδνης εἰς Αἴγυπτον. Codices duo μύθων mihi obtulerunt, quæ fuit recepta ante Berglerum lectio, qui μίτων correxit. Atqui manifestum est propter sequens Ἀριάδνης unice verum esse μίτων. Sed iidem codices non Ἀριάδνης tenent, sed Ἀριάδνη, et jam ἄτερ μύθων non male habet ; « sine fabulis poetarum, sed re ipsa Ariadne». Et quæ sequuntur monstrant perspicue Gly-

καὶ τὸν νεκρὸν πρὸς Ἕλληνας παρείλκυσεν εὐθέως.
Φαῖνοψ ὁ Ἀσιάδης δέ, τοῦτο ἰδὼν ἡλίῳ,
τὸν Ἕκτορα παρώτρυνεν ὁρμῆσαι καθ' Ἑλλήνων.
Ὁ οὐρανὸς δὲ νέφεσιν ἐκάλυψε τὴν Ἴδην·
ἀστράψας δ' ἐπεβρόντησε μέγα πρὸς Τρώων νίκην,
πρὸς δὲ φυγὴν ἐνήλασε στράτευμα τῆς Ἑλλάδος.
Ζεὺς ὁ διδοὺς ἑτεραλκῆ τὴν νίκην, εἱμαρμένη,
καὶ ἔστις ὠλοφύρατο τὸν Αἴαντα πατὴρ δε.
Τὴν προσωποποιίαν δὲ ταύτην νοεῖν σε δέον·
ὡς Αἴας μὲν ἐπηύξατο, καὶ γέγονεν αἰθρία,
λέγει ὡς κατωκτείρησεν αὐτὸν ἡ εἱμαρμένη.
Ὁ μέγα πῆμά τε θεὸς τοῖς Δαναοῖς κυλίνδων
οὐκ ἄλλος τῇδέ τίς ἐστιν, αὐτὴ δ' ἡ εἱμαρμένη.

ceram, cui quidem epistolam tribuit sophista, se pro Ariadne habere et velle haberi: οὐ δὲ ἐν Νάξῳ καὶ ἐρημίαις ναυτικαῖς ἀπολειφθήσομαι. De quo loco jam monui ad Nicetam p. 352, sed minore cum fiducia.

(115) A C, φαίνοψ. Revera non Phænops, sed Ἀπόλλων Φαίνοπι ἐναλίγκιος, Il. 17, 583. Inde Tzetzæ acumen: Phænops, tale facinus clara solis luce ac palam factum qui videbat.

(117) Il. 17, 594.

(119) C, συνήλασε.

(120) Conf. Il. 17, 627.

(121) A, πατέρα. Cf. Il. 17, 648.

(125) Conf. Il. 17, 688.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Σ (*).

Ὁ Ἀχιλεὺς ὀδύρεται, θάνατον γνοὺς Πατρόκλου
ὃν Θέτις παρηγόρησεν ἐλθοῦσα τῆς θαλάσσης,
Εἴργει αὐτὸν πολέμου τε ἕως κομίσοι ὅπλα·
Ἥρας κελεύσει δ' ἄοπλος ἔρχεται πρὸς τὴν τάφρον.
Φανεὶς ἐκπλήττει Τρῶας δὲ καὶ πρὸς φυγὴν ἐκτρέπει.
Οἱ Μυρμιδόνες δὲ νεκρὸν τὸν Πάτροκλον λαβόντες,
λούουσιν. Ὅπλα δ' Ἥφαιστος τῷ Ἀχιλλεῖ σκευάζει.

Τὸ « δέμας αἰθομένοιο πυρὸς » τόπος τοῖς ἄλλοις,
εἴτε θερμῶς ἐμάχοντο ὡς σῶμα πυρὸς καῖον.
« Θεοὶ δ', οἱ μέλλουσι τανῦν τελέσαι τὰς κακώσεις »,
ἀστέρες ἐξ ὧν γίνονται πάντα τὰ εἱμαρμένα.
« Ὥσπερ ἐδήλωσε ποτὲ ἡ μήτηρ μου ἡ Θέτις

(*) Lemmata similia præcedentibus In C prô σιγμα vel Σ esse scriptum σῆμα.

(3) A, κομίσει. Argumentum prosaicum, a Tzetza expressum : ἕως ἂν αὐτῷ ὅπλα κομίσῃ.

(8) Conf. Il. 18, 1 ; et Tzetzam P, 64.

(10) Cf. Il. 18, 8.

(12) Il. 18, 9 : Ὥς ποτέ μοι μήτηρ ἐπέφραδε. Tzetzes reddit ὥς ποτε per ὥσπερ ποτε probabilissime. Fere tamen malim ὥς ποτε vertere, « sic olim » vel « nam olim. Ac mox v. 15 ὡς reddiderim « nam »; vel « sic », rescripto ὥς. In Theocriti Idyllio 11, 55. loco suavissimo, offendo ad ὡς : Ὤμοι, ὅτ' οὐκ ἔτεκεν μ' α μάτηρ βράγχι' ἔχοντα, Ὡς κατέδυν ποτὶ τὶν καὶ τὰν χέρα τεῦς ἐφίλασα, Αἰ μὴ τὸ στόμα λῇς. Video esse in latinis appositis, « ut subirem undas et manum oscularer ». Sed in tali syntaxi, ὡς κατέδυν καὶ ἐφίλασα, hæreo. Proponebam, ὥς κατέδυν, « sic subibam et osculabar, sic subirem et oscularer ». Videant peritiores. Bene elegans interpres : « J'irais baiser ta main, si ton humeur farouche Défendait de cueillir un baiser « sur ta bouche », Quem nolim in præcedente disticho scribendo dormitasse : «Que

ζῶντες ἐμοῦ τὸν Πάτροκλον χερσὶ θανεῖν τῶν Τρώων »·
ὡς ἐξ ὑδρομαντείας τε καὶ λεκανομαντείας
τοῦτο γινώσκω ἀκριβῶς, ἣν πρὶν ἐποιησάμην.
Ὅπως τὸ ὕδωρ μήτηρ δὲ τυγχάνει Ἀχιλέως,
καὶ ποσαχῶς; εἰρήκειμεν ἐν διαφόροις τόποις.
Φάσις καὶ « ἀγγελία » μὲν κατὰ τοὺς ἀστρολόγους
διαφορὰν ἐσχήκασι, καὶ πάνυ δὲ μεγίστην·
φάσις γάρ μήνυμα ἐστὶ ζώντων ἀποδημούντων,
ἡ δ' ἀγγελία μήνυμα νεκρῶν, οὐ περὶ ζώντων.
Ὅμηρος ἀγγελίαν δὲ ἄμφω κατονομάζει,

« n'ai-je sur les flancs ces légers avirons « Que pour sillonner l'onde ont reçus les « poissons »! Legenti oculis quidem, mente alio avocata, βράγχια et « bra« chia » significatione visa sunt similia ut sunt litteris, ac branchias quibus pisces spirant habuit pro pinnis quibus natant. Sed qui sibi deesse pinnas quereretur Cyclops brachiis præditus torosis pedumque indefessa mobilitate? Optabat sibi, idque meritissimo, branchias quibus posset, ut pisces, sub aquis spiritum haud ægre ducere ac reddere, et jam securus maris profunda tentare. Quæ sequuntur non carent difficultate. Digredi me quid vetat, quum lectores non legere nil vetet? Cyclops igitur sic pergit : ἔφερον δέ τοι ἢ κρίνα λευκά, Ἢ μάκων' ἀπαλάν, ἐρυθρὰ πλαταγώνι' ἔχοισαν. Ἀλλὰ τὰ μὲν θέρεος, τὰ δὲ γίνεται ἐν χειμῶνι, Ὥστ' οὐκ ἄν τοι ταῦτα φέρειν ἅμα πάντ' ἐδυνάθην. Lilium Candidum et Papaver Rhœas significantur : nam de alia papaveris specie πλαταγώνια ἐρυθρὰ, ac præcipue epithetum ἀπαλὴ, vix sinunt cogitare. Norunt omnes duas illas æstate media plantas florere. Attamen interpres recens isque doctissimus, suis non amplius oculis, sed edito Theocrito credens, non eodem tempore eas florere affirmat. Geoffræus omnino papaver hiemi contribuit. Mablinius homo Italus papaver ait, si mense septembri satum erat, florere extrema hieme. Sed cur non ipsa æstate, florescentia prima, papaver rubro splendore conspicuum statim Cyclops legeret, non exspectata satione sera et incerta? Ac meminisse Mablinius debuit Homeri, cui Cyclopes οὔτε φυτεύουσι χερσὶ φυτὸν, sed illis ἄσπαρτα πάντα φύονται. Doleo tacuisse Wordsworthium criticum acutissimum; tacuisse Schreberum, cujus sunt utiles in Harlesiana notæ botanicæ. Non tacuit quidem auctor Floræ Theocriteæ, sed male jungit μάκων ἐρυθρά; Papaver Rhœan vel P. Somniferum proponit, hoc non probabiliter quum sit non ἀπαλὸν et colore adeo variabili ut πλαταγώνια ἐρυθρὰ non possit pro charactere habere. Ceterum Feus de temporis difficultate ne verbulum quidem addit. Mihi quidem videtur ἔχοισαν inter et ἀλλὰ versum unum, vel duo, tres forsitan periisse, quibus flores multos æstivos et hiemales prolixe ridiculus amator enumerabat. Jam verba χειμῶνι et ταῦτα πάντα nihil habent quod lectorem moretur. Quum prælegerem idyllium illud monere etiam memini forsan ad τὰ μὲν τὰ δὲ mente subintelligendum esse nomen ἄνθη. Sed ista ratio placet minus. Errorem Erasmi maximum, stupendum quoque, circa hunc Theocriti locum confutavit H. Stephanus ad Adagia I, 7, 70.

(17) A, εἰρήκαμεν. Cf. ad Π 124; de re ad P, 85. et infra v. 45.

(18) Cf. B. 18, 17, 19.

(21) A B, sine δ'.

(22) C, ἀγγελίας.

τὴν μὲν ἐσθλὴν, τὴν δὲ λυγρὰν, τὴν δ' ἀγγελίαν μόνον
καθάπερ καὶ τὰ φάρμακα πρεπόντως ὀνομάζει
ἐσθλὰ, λυγρὰ, καὶ φάρμακα δίχα τινὸς προσθήκης,
τῶν ἄλλων πάντων φάρμακα γραφαῖς ὀνομαζόντων
μόνα τὰ ἰατήρια, μὴ μέντοι καὶ τὰ ἄλλα.
« Νεκτάρεον χιτῶνα » δὲ τὸν θαυμαστὸν νῦν λέγει.
Τὸ « χεύατο δ' εἰς κεφαλὴν τὴν αἰθαλώδη κόνιν »,
τὸ « μέγαν τε μεγαλωστὶ ταθῆναι τῇ κονίῃ »,
σὺν τούτοις τὸ « δαΐζειν τε φίλαις χερσὶ τὴν κόμην »,
ψυχῆς ἐστὶ ζωγράφημα ποίας σιωπητέον·
τὴν ἥνπερ ὁ ἀμίμητος σοφίᾳ καὶ φρονήσει
Ὅμηρος νῦν ἐνζωγραφεῖ, καὶ ζωγραφῶν λανθάνει.
Ὤμωξε μέγα δ' Ἀχιλλεὺς, ἤκουσε δὲ ἡ μήτηρ
παρὰ τῷ γέροντι πατρὶ, θαλάσσῃ, καθημένη.
Κωκύει· συναθροίζονται σύμπασαι Νηρηΐδες,
καὶ « στήθεα πεπλήγοντο, Θέτις δ' ἐξῆρχε γόου ».
Ἀλλ' ἀλληγορητέον μοι πᾶν τὸ χωρίον τοῦτο,
καὶ τὸν ὀξὺν δὲ κώκυτον τῆς Θέτιδος ὃν λέγει,
καὶ Ἀχιλέως κεφαλὴν ὅπως κατέσχε τότε,
ὀλοφυρμὸν, καὶ λόγους δὲ ῥηθέντας ἀμφοτέροις,
καὶ πᾶν ὁπόσον δέον μοι λεπτῶς ἀλληγορῆσαι.
Μήτηρ τοῦ Ἀχιλέως μὲν ἡ Χείρωνος ἦν Θέτις·
καὶ Θέτις δὲ, ἡ θάλασσα, μήτηρ τοῦ Ἀχιλέως,
λέγεται οὕτως πενταχῶς, ὥσπερ καὶ πρώην ἔφην.
Κατ' Αἰγυπτίους, Ὅμηρον, Θαλῆν τε καὶ ἑτέρους,

(25) Cf. Odyss. 4 230.
(28) Cf. Il. 18, 23.
(29) B C, ἐς κεφ Cf. Il. 18 23,
(30) Cf. Il. 18, 26. A B, μέγα.
(31) Cf. Il. 18, 27.
(32) A, ποιάς.
(33) A, ἀμήμητος.
(35) A, ὤμωζε.....ἤκουε. Conferatur Il. 18, 35.
(38) Cf. Il. 18, 51.
(40) Λέγει scilicet Il. 18, 71.
(45) Conf. n. ad v. 17.

τὸ ὕδωρ πρῶτον λέγεται στοιχεῖον πεφυκέναι
Ἐκ τούτου δὲ καὶ τὰ λοιπὰ γενέθλια στοιχεῖα.
Οὕτω πρώτως ἡ θάλασσα καὶ τὸ ὑγρὸν στοιχεῖον
τοῦ Ἀχιλέως μήτηρ τὲ καὶ πάντων τῶν ἐν βίῳ.
Ἡ θάλασσα καλεῖται δὲ δευτέρως τούτου μήτηρ
διὰ τὸ ἄγριον αὐτοῦ καὶ θυμικὸν τοῦ τρόπου·
τρίτως, ἔτι, γενέθλιον ἔχων ἐν ὑδροχόῳ,
ἐν ταῖς παρύγροις μάχαις τε καὶ ταῖς διαποντίοις
καὶ τοῖς χειμῶνος δὲ καιροῖς μεγάλως συνηργεῖτο·
τετάρτως, ὡς ἐξ ὕδατος καὶ λεκανομαντείας
μανθάνων, ὥσπερ ἐκ μητρὸς, τὰ μέλλοντα συμβῆναι·
πέμπτως, ὡς καὶ θανόντος δὲ αὐτοῦ τοῦ Ἀχιλέως,
νεκροῦ τε τούτου σώματος εἰσέτι προκειμένου,
ἡ θάλασσα ταράξασα κῦμα φρικτὸν καὶ μέγα
ἐξῆλθε μέχρι τοῦ νεκροῦ περὶ Σιγείου τόπου,
ὡς πᾶν τὸ στράτευμα φυγεῖν κατακλυσμὸν δοκοῦντας·
ἡ δὲ, θρηνῶδες γοερὸν ὥσπερ μυκησαμένη,
πάλιν πρὸς κοίτην τὴν αὐτῆς εὐθέως ὑπεστράφη·
ὅπερ καὶ θρῆνον Θέτιδος φασὶ καὶ Νηρηίδων.
Καὶ νῦν τοῦ Ἀχιλέως δὲ τὸν Πάτροκλον θρηνοῦντος
τοιοῦτον περὶ θάλασσαν ἐγένετο σημεῖον,
ὃ προσωποποιίαν μὲν ὁ Ὅμηρος ποιήσας
ἀλληγορεῖ τὰ σύμπαντα τὰ τῇδε γεγραμμένα,
θάλασσαν Ἀχιλέως μὲν μητέρα Θέτιν λέγων,
ὥσπερ τῷ πένθει τῷ αὐτοῦ δῆθεν λελυπημένην,

(50) B, οὕτως.
(52) B, δευτέρου.
(55) A, πανύγροις. B, πανάγροις. Cf. ad A. 188. Ibi in A hic locus de Thetide et aqua jam fuit lectus.
(57) C, λεκανομαντείας, super ει scripto ι. Conferatur nota ad P, 85.
(62) A, τόπου. B τύπου. C, τόπον, ut et libro A, 195.
(63) Cf. n. ad A, 196.
(66) Est φησὶ libro A, 196.
(72) A B, καὶ οἷαπερ τῷ π.

διὰ τὸ τότε, τοῦ ἀνδρὸς τὸν Πάτροκλον θρηνοῦντος,
αὐτήν, ὡς ἔφην, ἐξελθεῖν μυκήματι μεγάλῳ·
ὃ μύκημα καὶ κωκυτὸν καὶ θρῆνον ταύτης λέγει·
πατέρα ταύτης γέροντα τὴν φύσιν τῶν ὑδάτων
ὅτι, καθὼς εἰρήκειμεν, πρῶτον στοιχεῖον ὕδωρ,
ἢ ὡς λευκὸν καὶ πολιόν· καὶ γὰρ λευκὸν τὸ ὕδωρ
κἂν οἱ λοιποὶ φιλόσοφοι, πλὴν τοῦ σοφοῦ Ὁμήρου
καὶ τοῦ Ἀναξαγόρου δὲ, καὶ τινων βραχυτάτων
ἄμορφά τε καὶ ἄποια λέγωσι τὰ στοιχεῖα.
Ἔγνως πατέρα γέροντα καὶ κωκυτὸν καὶ θρῆνον.
Αἱ Νηρηΐδες δὲ θεαί τίνες, αἱ ἀθροισθεῖσαι
καὶ στήθη πλήττουσαι αὐτῶν, τῆς Θέτιδος γοώσης;
οὐκ ἄλλο τι καθέστηκεν ἀλλ' ἢ αὐτὸ τὸ ὕδωρ,
καὶ μᾶλλον τὸ κινούμενον, ὃ καὶ ναῒς καλεῖται.
Τὸ ὕδωρ τὸ θαλάσσιον πολλὰς γὰρ κλήσεις ἔχει,
Φόρκυς καὶ Τρίτων, Ποσειδῶν, Νηρεὺς καὶ Ἀμφιτρίτη,
Θέτις καὶ Νηρηΐδες δὲ, καὶ ἕτερα μυρία.
Πλάττει καὶ Νηρηΐδων δὲ ὀνόματα προσφόρως
ἀπό τε τῆς λευκότητος φύσεως τῶν ὑδάτων
καὶ ἐκ τοῦ θάλλειν τὰ φυτὰ ταῖς ὕδατος ἀρδείαις,
ἀπὸ κυμάτων, νήσων τε, σπηλαίων, ταχυτῆτος,
ἁλὸς ἀκτῶν τε καὶ λιμνῶν, καὶ δόσεως μυρίων,

(76) Accusativus πατέρα γέροντα, ni fortasse versus perierit, pendebit a remoto participio λέγων v. 71. Respicit Σ, 36 : ἥμένη παρὰ πατρὶ γέροντι. Cf. supra v. 37.

(77) εἰρήκειμεν scilicet supra v. 48.

(78) A B, ἢ καὶ λευκόν.

(80) Βραχυτάτων, Cf. n. ad F, 67.

(81) A B, λέγουσι.

(83) B, θεαὶ τινες.

(85) A, ἄλλη τ' ἤ. A B C, καθέστηκεν.

(90) Πλάττει. Homerus Il. 18, 39...

(91) Fortasse γλαυκότητος. Respicitur enim nomen Nereidis Γλαύκης; ni pro Γλαύκη legerit Λεύκη apud Homerum.

(92) A, ὑδάτων. B, τοῦ ὕδατος. Referendum ad Nereida Θάλειαν.

(93) Nereides scilicet respiciuntur, Κυμοδόκη, Νησαίη, Σπειώ, Θόη.

(94) Nereides, Ἁλίη, Ἀκταίη, Λιμνώρεια, Δωτώ. C, ferme δύσεως.

ἔκ τε τοῦ πρώτου τῶν λοιπῶν στοιχείων πεφυκέναι,
καὶ φέρειν τὰς ὁλκάδας δὲ, καὶ δυνατὸν τελεῖν δε,
δεξαμενὴν τυγχάνειν τε, καὶ νέμεσθαι ἡπλῶσθαι,
ἐπέσαι τε τοῖς ὕδασιν ἁρμόζουσιν αἱ κλήσεις
κἄντερ τινὲς προσέθεντο καὶ στίχους ἀπροσφόρους.
Τὸν ἦχον τοῦτον λέγει δὲ πλῆγμα στηθῶν οἰκείων,
τὸν περὶ νήσους καὶ ἀκτὰς, σπήλαια, πέτρας, τἄλλα.
Τὴν Θέτιν δὲ κατάρξασθαι ταύταις τοῦ γόου λέγει,
ὅτι πρῶτον ἀνοίδησε μυκώμενον τὸ ὕδωρ,
ἔπειτα προσρηγνύμενον οἷσπερ εἰρήκειν τόποις,
δεινὸν, φρικώδη, μέγιστον οἷον ἐποίει ῥόχθον.
Πρόσωπον μὲν, ὡς ἔφημεν, τῇ Θέτιδι, θαλάσσῃ,
Ὅμηρος περιθέμενος μητρὸς τοῦ Ἀχιλέως,
δεικνὺς ὅτι παθαίνεται τοῦτον καὶ τὸ στοιχεῖον,
καὶ λόγους περιάπτει δὲ οὕσπερ ἂν εἶπε μήτηρ
ἐπὶ υἱῷ τοιούτῳ μὲν, ὄντι δὲ βραχυχρόνῳ,
καὶ θλιβομένῳ συνεχῶς λύπαις ἀλλοπροσάλλοις.
Τὸ δὲ ὀξὺ κωκύσασαν τούτου λαβεῖν τὴν κάραν
καὶ λέγειν· « Ταῦτα ἐκ Διὸς τετέλεσται, ὡς ηὔχου,
« ὡς πρὸς τὰς ναῦς τοὺς Ἕλληνας πεσεῖν ὑπὸ τῶν Τρώων »,
τοῦτο φησίν· ὁ Ἀχιλεὺς ἀτρόκλου ὡς ἐπένθει,
ἤκουσε δὲ τοῦ μυκηθμοῦ τοῦ τόσου τῆς θαλάσσης,
εἰς κεφαλὴν, καὶ λογισμὸν καὶ νοῦν δὲ τὸν οἰκεῖον,

(93) Nereis, Πρωτώ.
(96) Nereides, Φέρουσα, Δυναμένη.
(97) A, τυγχάνειν δε. Nereides, Δεξαμένη, Ἀμφινόμη. Videtur Tzetzæ probatam fuisse in Homero scripturam Δεξαμενή. Cf. Scholia Veneta et Heyn.
(98) C, κύμασιν. A B, ἁρμόζουσαι.
(100) C. λέγει τε, superscripto δε. Cf. Il. 18, 50.
(101) A, νόσους.
(102) A B, τούτου τοῦ. Cf. Il. 18, 51.
(103) Sic A B C, ἀνοίδησε.
(105) A, ἐποίη. A B, sine οἷον.
(106) ἔφημεν v. 69...
(108) A, παθένεται. B, τ. ὑπὸ στοιχεῖον.
(112) Cf. Il. 17, 54.
(113) Cf. Il. 17, 74.

συνεὶς ὡς εἱμαρμένον ἦν οὕτω γενέσθαι τάδε
ὡς πρὶν αὐτὸς ἐζήτει τε καὶ ηὔχετο γενέσθαι,
λέγει αὐτὸς πρὸς ἑαυτόν· « Ὦ συνεργὸν στοιχεῖον
« καὶ βοηθοῦν μοι ἐς ἀεὶ δίκην μητρὸς φιλτάτης,
« οἶδα ὡς ἡ οὐράνιος ἀστέρων εἱμαρμένη,
« πληροῦσα πόθον τὸν ἐμόν, Ἕλληνας οὕτω τρέπει·
« τὸ δ' ὄφελος ὁποῖόν μοι; πεσόντος τοῦ Πατρόκλου,
« τὰ κάλλιστά τε ὅπλα μοι Ἕκτορος ἀφελόντος,
« ἅπερ Πηλεῖ δεδώκασι δῶρα τῶν λαμπροτάτων
« θεοί· ἀστέρες οὐρανοῦ, ἐξ ὧν τὰ εἱμαρμένα·
« ἢ ἅπερ ἦσαν ἐκ χρυσοῦ, ἀργύρου καὶ τῶν ἄλλων
« (ἑκάστῳ τῶν ἀστέρων γὰρ ἀνάκειταί τις ὕλη)·
« ἢ ἃ θεοί, καὶ βασιλεῖς, δεδώκασι Πηλεῖ,
« ὅτε βροτοῦ ἀνέρος σε συνέζευξαν ἐν κοίτῃ·
« τουτέστιν ὅταν τῷ Πηλεῖ θεὰ θνητῷ ἐζύγης,
« ἤτοι ὅταν ἡ μήτηρ μου ἡ σοὶ ὁμωνυμοῦσα,
« ἡ Θέτις βασίλισσα, τοῦ Χείρωνος θυγάτηρ
« θνητῷ ἐζύγη τῷ Πηλεῖ καὶ κατωτέρας τύχης ».

(118) A, εἱμαρμένη δέ. B, εἱμαρμένην δέ. Infra v. 118 hæc iterum obtundentur.

(119) Cf. Il 1. 408-412.

(120) Cf. liber T, 25, et infra v. 371.

(124) Cf. Il. 18, 80. C, πεσόντος, superscripto θανόντος, vel glossa, nam passim facillima quæque glossatores explicant; vel variante; vel synonymo vocabulo quod librarius inconscius archetypo substituerit. Menda id genus librariis nonnunquam excidunt, quod quam sit facile expertus scio. Afferam exemplum synonymi. Est hic versus inter Sententias quæ dicuntur Menandri Singulares : Ἀλαζονείας οὔτις ἐκφεύγει δίκην. Citatur οὐδεὶς e Vaticano, quod metrum lædit; reperi in Parisino 396 οὐδὲ εἷς φεύγει δίκην. Synonyma quamvis vocabula videantur, re non sunt. Plus est acuminis in lectione parisina. Φεύγειν δίκην, γραφὴν est accusari, in qua loquutione lapsum esse non semel Olearium ostendi ad Philostrati Heroica p. 279. Sensus ergo fuerit : « Jactantiæ sui nemo unquam agitur reus ». Alterius lectionis sensus veritati adversatur; nam jactatoribus hominibus licentia datur et impunitas, nec dici possunt pœnam effugere quam nulla lex irrogat.

(125) A B, ἀφελομένου.

(126) Cf. supra P, 28.

(128) Cf p. 30. Mirum est tales opinationes orationi Achillis immisceri; at non is est Homericus Achilles, sed Tzetzicus magus, hariolus, mysteriis initiatus ὑδατομαντείας καὶ λεκανομαντείας.

(131) B, συνέζευξεν· Cf. Il. 18, 85.

(135) A, κατωτέρω. Hoc versu clau-

(Τοῦτο τὸ ἀλληγόρημα, καὶ σχῆμα δὲ τὸ τούτου
μετάβασις ὀνόματος πρὸς ὄνομα καλεῖται).
« Ὡς ὤφελες, ὦ μῆτερ μοι, σὺ σὺν θεαῖς ἁλίαις
« οἰκεῖν, ὁ δὲ Πηλεὺς θνητῇ πρὸς γάμον συζυγῆναι·
« νῦν δ', ἵνα πένθος ἐν φρεσὶ καὶ σοὶ μυρίον εἴη
« παιδὸς ἀποφθιμένοιο, τὸν οἴκοις οὐχὶ δέξῃ ».
Τὸ « ὤφελες ὡς ὤφελε » τῇ μεταβάσει νόει,
« ἁλίας » νησιώτιδας ἢ παραθαλασσίας·
« θεὰς » τὰς βασιλίδας δὲ φησὶ καὶ τὰς ἐνδόξους.
« Πηλεὺς ζυγῆναι δὲ θνητῇ τύχης τῆς κατωτέρας·
« Νῦν δ' ἵνα πένθος ἐν φρεσὶν εἴη καὶ σοὶ μυρίον »,
ἤτοι τῇ ὁμωνύμῳ σοι ἐκείνῃ τῇ μητρί μου.
Τὸ ἔζευξαι, τὸ ἔζευκται παρῆκε τοῖς ἐνθάδε
ἐλλειπτικῶς, μιμητικῶς, σχήματι τῶν πενθούντων.
Εἴτε καὶ οὕτω νόησον λέγειν τὸν Ἀχιλέα·
« Ὤφελε μὴ ἐγένετο ἄνθρωπος μηδὲ κόσμος.
« Οὐ θέλω ζῆν, τὸν Ἕκτορα μὴ κτείνας τῷ δορί μου ».
Θέτις δὲ δακρυχέουσα τάδε φησὶ πρὸς τοῦτον·
« Ὠκύμορος, ὦ τέκνον μοι, λοιπὸν οἷς λέγεις ἔσῃ·
« μετὰ θανὴν γὰρ Ἕκτορος θνήσκεις καὶ σὺ εὐθέως ».
Μέγα στενάξας πρὸς αὐτὴν ὁ Ἀχιλεὺς φησὶ δε·
« Αὐτίκα θάνοιμι κἀγὼ ». Ἀλλὰ σαφηνιστέον·
« οὐ θέλω ζῆν » ὡς εἴρηκε, « τὸν Ἕκτορα μὴ κτείνας »,

ditur folium 307; sequens autem primus est folii 300, perturbato chartarum ordine. Cf. ad P, 88.

(138) A, ὄφελος ὦ μήτηρ μου, et σὺν superscripto σοι. B, μῆτερ μου. C, σύ δε θεαῖς. Cf. Il. 18, 86...

(140) Cf. Il. 18, 88.

(142) Cf. Il. 18, 86, 87. A, ὄφελος.

(143, 144) A B, ἁλ. νησιώτιδας, θεάς, τὰς βασιλίδας. A, Πηλεὺς ζυν. δὲ θν. ἰδιωτῶν τῆς τύχης. B, ἰδίων τῶν τῆς τ. Sequutus sum recensionem ampliorem codicis C. Cf. v. 385.

(146) A, φρεσί.

(148) A, ἔζευξε. Sic intelligendum, ad verba νῦν δὲ Homericæ orationis subaudiri debere ἔζευσαι σύ, vel ἔζευκται ὁ Πηλεύς. Et in prosa νῦν δὲ sic pendet. Ceterum Tzetzes hic neglectior est.

(154) Cf. Il. 18, 95. A B, μου.

(156) A, αὐτόν.

(157) Cf. Il. 18, 97.

Ὑδρομαντείας μέμνηται, ἥτις λαμπρῶς ἐδήλου
μετὰ τὴν Ἕκτορος σφαγὴν καὶ τοῦτον τεθνηκέναι·
μέγα στενάξας δέ φησι· « Τεθναίην παραυτίκα ».
Νῦν τὴν ὑδρομαντείαν τε καὶ λεκανομαντείαν,
ἐξ ἧς τὸ πᾶν ἐγίνωσκε, μητέρα λέγει τούτου.
« Κῆρα δ' ἐγὼ δεδέξομαι », ἤτοι θανοῦμαι τότε
« ὅταν ὁ Ζεὺς καὶ οἱ λοιποὶ θελήσωσιν ἀστέρες,
« ἐξ ὧν ἀνθρώποις γίνεται πάντα τὰ πεπρωμένα.
« Οὐδ' Ἡρακλῆς γὰρ ὁ στερρὸς ἐξέφυγε τὴν μοῖραν,
« ὅσπερ Διὶ τῷ ἄνακτι ὑπῆρχε πεφιλμένος »·
ἢ ἀστρολόγῳ τῷ Διὶ ἐκείνῳ στεφηφόρῳ
οὗ καὶ Ὀρφεύς που μέμνηται, εἴτε καὶ τῷ ἡλίῳ·
ἔργα κλεινὰ γὰρ καὶ λαμπρὰ ζῶν Ἡρακλῆς ἐτέλει.
Ἠ τῷ Διὶ καὶ οὐρανῷ φίλον τὸν ἄνδρα λέγει·
ἄριστος ἀστρολόγος γὰρ ὁ Ἡρακλῆς ὑπῆρχεν,
ὡς καὶ Ὀρφεὺς τοῖς Λιθικοῖς βοᾷ διαπυρσίως.
Οὕτω Διὶ τὸν Ἡρακλῆν νόει μοι πεφιλμένον,
τῇ εἱμαρμένῃ δὲ αὐτὸν μὴ εἴπῃς πεφιλμένον·
πάνυ γὰρ τληπαθέστατον ἔζη τὸν βίον οὗτος,
ὑπ' Εὐρυσθέως τοῦ δειλοῦ κακούμενος ἀμέτρως.
Διὶ τῷ ἀστρολόγῳ δὲ καὶ βασιλεῖ μοι φίλον,

(161) C, ὑδρομαντίαν τε καὶ λεκανομαντίαν, sed bis superscriptis diphthongis. Cf. ad P. 85.

(164) Cf. Il. 18. 115.

(166) A, γινονται. Cf. v. 399.

(167) Cf. Il. 18, 117.

(170) Respectu forsan ad Orphei Lithica 624: Εἰ δὲ Ζεύς τοι τόν γε βιωσέμεν ἀρνήσαιτο, Ἀλλὰ νόει σὺ τεῇσιν ἐνὶ φρεσὶν, εἵνεκεν αὐτῷ Ῥῆξε λίνον Κλωθώ· τῷ δ' ἔρχεται ὕστατον ἦμαρ.

(173) Tzetzæ Chil. 5, 131, Hercules fuisse dicitur, Σὺν ἀστρολόγῳ ποιητής, φιλόσοφος καὶ μάγος, Καὶ ἰατρὸς, καὶ ἕτερα ὅσα Ὀρφεὺς καὶ ἄλλοι Γράφοντές μοι δεικνύουσιν οἷος ὑπῆρχεν οὗτος· Heraclidi etiam Allegoriis c. 33, ἀνὴρ ἔμφρων καὶ σοφίας οὐρανίου μύστης, qui philosophiam profunda mersam caligine illuminavit.

(174) A B, παραπυρσίως. C, διαπυρσίως. In Lithicis nil reperio. Fortasse Tzetzes non bene meminerat. Inter epitheta quibus ornatur Hercules in Orphico Hymno duodecimo est μάντις.

(176) Non est in A.

(179) A B, ἀστρολόγω τε. Jupiter et libro Τ, 56, 62 dicitur ἀστρολόγος.

ἡ τῷ ἡλίῳ μάλιστα, τῷ οὐρανῷ δὲ φίλον,
τὸν Ἡρακλέα νόει μοι, ἄριστον ἄστρων λόγοις.
« Ἀλλά ἑ μοῖρ' ἐδάμασε καὶ χόλος ὁ τῆς Ἥρας »·
ἀλλὰ καὶ ἄριστος τελῶν τοιοῦτος ἀστρολόγος
ὑπὸ τῆς μοίρας τέθνηκε καὶ τῆς ὀργῆς τῆς Ἥρας.
Ὀργὴν τῆς Ἥρας δὲ ψυχῆς παρατροπὴν νῦν νόει.
Τῆς ὕδρας τῷ φαρμάκῳ γὰρ χιτῶνα κεχρισμένον
ἐπενδυθεὶς ὁ Ἡρακλῆς καὶ τῶν φρενῶν ἐκστὰς δὲ,
αὑτὸν βαλὼν εἰς τὴν πυρὰν, ἐξέδραμε τοῦ βίου.
Οὕτω φρενῶν τὴν ἔκστασιν χόλον νῦν Ἥρας νόει,
μὴ μέντοι τοῦ ἀέρος γε, ὃς, τικτομένου τούτου,
ὄντος μεγαλοσώμου δὲ, δεινῶς βεβιασμένος,
δεκαμηναῖον δέδρακε τοῦτον ἀποτεχθῆναι,
τῷ Εὐρυσθεῖ δὲ ἄρχεσθαι τεχθέντι ἑπταμήνῳ.
  « Τῆς μάχης δὲ μὴ ἔρυκε φιλοῦσα, οὐ με πείσεις ».
« Οἶδα ἐκ σοῦ, ὦ μάντευμα τῆς ὑδατομαντείας,
« ὡς, εἰ ἀνέλω Ἕκτορα, κἀγὼ εὐθέως θνήσκω.
« Ὅμως καλόν μοι πολεμεῖν· οὐ φιλοψυχητέον ».
  Τούτῳ δ' ἡ ἀργυρόπεζα Θέτις ἀνταπεκρίθη·
« Καλὸν τοῖς φίλοις βοηθεῖν, ὦ πεφιλημένον τέκνον·
« ἀλλ' ἄνευ ὅπλων οὐ χρεὼν εἰς μάχην ἐξιέναι·
« ὁ Ἕκτωρ ὁ τρικόρυθος ἔχει γὰρ σοῦ τὰ ὅπλα.
« Μικρὸν χρόνον καρτέρησον· εἰς πόλεμον μὴ χώρει,

(180) Non est in C. Et nocet quidem.
(181) A, ἀστρολόγοις
(182) Cf. Il. 18, 119.
(185) In C super ψυχῆς scriptum φρενῶν. A B, περιτροπήν.
(189) A, οὕτω ρενῶν. C, ψυχῆς, superscripto φρενῶν. B, φρενῶν.
(190) A B, ἀέρος γάρ. Cf. T, 10.
(191) B, ὅς τος.
(193) De Eurystheo ἑπταμήνῳ vide T. 76, schol. ad Il. 19, 119, et Meinek. Rhiano p. 177.
(194) Cf. Il. 18, 126. A, εἴρηκε.
(195) A, σου τὸ μ. B, σου μ. Cf. v. 444. C, ὑδατομαντείας, iota superimpositis litteris ει.
(198) A, τούτω δή. B, τὸν τῶ δ' ἡ. C, τὸν superscripto τῶ.
(200) C, εἰς χρεὼν εἰς μ.
(201) A, τρικόθος.

« ἕως ἐγὼ κομίσω σοι παρὰ Ἡφαίστου ὅπλα ».
Εἰποῦσα ταῦτα τῷ υἱῷ, ταῖς Νηρηίσι λέγει
στραφῆναι πρὸς τὴν θάλασσαν ταύτας καὶ τὸν Νηρέα.
Ἡ δὲ παρὰ τὸν Ἥφαιστον πρὸς Ὄλυμπον ἐχώρει.
Οὕτως ὥρμα πρὸς πόλεμον θυμῷ νενικημένος.
Ὡς ἐκ μητρὸς δὲ διδαχθείς, ὑγροῦ καὶ τῆς θαλάσσης,
ὅτι χειμῶνος νῦν καιρός, οἱ Ἕλληνες δ' ἡττῶνται,
καὶ μόνον, ἄοπλον, Τρωσὶ μάχην οὐ χρὴ συνάπτειν,
αὐτὸς αὐτῷ ἐπίσχεσιν μάχης ποιεῖσθαι λέγει
ἔστ' ἂν αὐτῷ κομίσωσιν ὅπλα διὰ θαλάσσης,
ἐκ τοῦ πυρὸς ἀρτιτευχῆ καὶ καινουργὰ καὶ νέα.
Οὕτω περὶ τῶν ὅπλων μὲν ὁ Ἀχιλλεὺς ἐσκόπει,
καὶ δή τινας ἀπέσταλκεν εἰς ὁπλουργοὺς Λημνίους,
ἢ πρὸς ἑτέραν νῆσον δέ, εἴτε καὶ χώραν ἄλλην,
ἐξ ἧς καὶ ἀπεκόμισαν οἷα τὰ ὅπλα τούτῳ,
παντὸς τοῦ κόσμου φέροντα ποικίλμασιν εἰκόνα.
Ἡ θάλασσα δ' ὑπέστρεψε πάλιν αὐτῆς εἰς κοίτην,
αἱ Νηρηίδες εἰς αὐτῶν τὸν γέροντα πατέρα·
ἡ Θέτις δέ, λεπτότερον ὂν εὐθεσίας ὕδωρ
συγκρατικόν τε τοῦ θερμοῦ, πρὸς οὐρανὸν ἀνῆλθεν.
Οἱ Τρῶες δὲ τοὺς Ἕλληνας αὖθις ἐνίκων μάχῃ,
μικροῦ δεῖν ἂν καὶ Πάτροκλον καθείλκυσαν εἰς Τροίαν,

(206) A B, περὶ .. πρὸς πόλεμον. Cf. Il. 18, 146.

(207-213) Repetuntur hi versus infra 422 sq.

(210) B, χεροὶ μάχην.

(211) Conf. Il. 18, 189...

(212) In hoc versu desinit folium 300; sequens vero primus est folii 310, quum fuerint interversa folia. Vide n. ad v. 135.

(213) A, ἀντιτευχῆ. Redibit epithetum ἀρτιτευχής vv. 340, 427.

(219) C, ὑπέστρεψε.

(220) A B, αὐτόν.

(221) A, λεπτόμερον. Εὐθεσίας ὕδωρ rursus v. 261, 334, 431, 456, 578. Tzetzes ad Lycophronem 22: Θέτιν· τὴν θάλασσαν, ὡς εὐθεσίας αἰτίαν· συναχθέντος γὰρ κατ' ἀρχὰς τοῦ ὕδατος, ἐφάνη ἡ ξηρά, καὶ γέγονε τοῦ παντὸς εὐκοσμία.

(222) A B, συγκριτικόν. C, συγκρατικὸν, quod A B C exhibent in repetitione hujus loci v. 433, 581.

(224) A, sine ἄν.

εἰ μή που τότε Ἀχιλεὺς τὴν ἀερίαν Ἶριν,
ἔνυδρον νέφος προσλαβὸν ἀνάκλασιν ἡλίου,
ἰδὼν συνῆκε πόλεμον βαρύτατον κροτεῖσθαι,
καὶ καλυφθεὶς τῇ κεφαλῇ συνάμα καὶ τοῖς ὤμοις,
σκέπασμά τι μηχανητόν, κατοπτρικόν, φρονήσει,
πῦρ ταῖς ἀντανακλάσεσι προσπέμπον τοῦ ἡλίου
ὅπερ ἐπένδυσιν φησὶν αἰγίδος ὑπ' Ἀθήνης
καὶ ἄκων πρὸς τὸ τάφρευμα στάς, καὶ βοήσας μέγα
Τρῶας μὲν τρέπει πρὸς φυγήν, Πάτροκλον δὲ λαμβάνει.
Ὁ ἥλιος ἄκων μὲν Ἥρας κελεύσει ἔδυ
τῷ τοῦ ἀέρος ζοφερῷ, καὶ πρόωρος ἐκρύβη·
τῆς μάχης δ' ἀπεπαύθησαν Ἕλληνές τε καὶ Τρῶες.
Τὴν Πολυδάμαντος βουλὴν ἐῶ νυν παρεγγράφειν.

(225) Cf. Il. 18, 166.

(226) Abest ab A. C, προσλαβών. Permutatio vocalium ο ω perpetua, quam vidimus et videbimus. Exempla præbebit Scholium Tzetzæ ad suas Chiliades 1, 19, non accurate descriptum in Anecdotis Oxon. t. 3, p. 350: Ἡρόδοτος ὁ παῖς ὁ τοῦ Ὀξύλου] Ξύλου παῖς Ἡρόδοτος. Ὀξύλου παῖς Ἡρόδοτος γεγραμμένον εὑρίσκων, ἀμφίβαλον ὁπότερον [cod. 2644, ὁποτέρως] δεῖ γράφειν. Λουκιανῷ δὲ καίπερ ὀρθῶς καὶ ἀναμφ..... [sic Cramer, ac monet Dubnerum legere ἀναμφισβήτως, optime quidem. Codex 2644 post ἀναμφ. non jam legi potest] γράφοντι οὐκ ἐπειθόμην [Lucianus de Domo 20: Ἡρόδοτον Αὔξου. Sed Codex 3010 Ξύλου: quod inveniebat Tzetzes]· φησὶ γάρ. « Ἡρόδοτον Ξύλου τὸν Ἁλικαρνασσόθεν »· ὅτι πολλαχοῦ ψευδογραφεῖ. Ἐπείσθην δὲ ὡς Ξύλου δεῖ γράφειν, ἐντυχὼν τούτῳ ἐπιγράμματι οὗ Ζήνων ἐν... τετάρτῃ [Cramerus notat esse in codice ἐνοῖν τετάρτι. Codex 2644 fere evanidus habere videtur σῖν, sed puto ex ductibus mihi usu cognitis, legendum τῇ] τῶν Εὐθυνῶν μνημονεύει· « Ἡρόδοτον Ξύλεω κρύπτει κόνις ἥδε θανόντα, Ἰάδος ἀρχαίης ἱστορίης πρύτανιν, Δωρίδος ἐκ πάτρας [videtur esse πάτρης in cod. 2644. Est πάτρης in Anth. App. 212] βλάστων τ' ἀπό [Cod. 2644 recte, βλάστοντ' ἀπο. Anthol. ἄπο]· τῶς γὰρ ἄτλητον Μῶμον ὑπεκπροφυγὼν [Cod. 2644 fere exhibet τος, cum litteris superscriptis nescio quibus. Propono: βλάστοντ'· ἀπὸ τῆς γὰρ ἄτλητον Μ. ὑπ.] Θούριον ἔσχε ν.... ν. Sic Cramerus, et sic fere codex, ultimo ν adhuc apparente, spatio omnino non capace nominis πάτρην, quod tenet Anthologia. Propono ναῖειν, verbum quod immerito grammatici severiores contemnunt. Bœckhius in Pindari Fr. 97 νάουται non mutavit.

(228) Conf. v. 440.

(229) Schol. in C, et in Anecd. Oxon. t. 3, p. 384. μηχανητὸν φρονήσει τοῦ τεχνουργοῦ, ἀλλ' οὐκ Ἀχιλλέως. Tzetzæ φρόνησις est allegoria Minervæ quæ ægide sua et nube humeros et caput operit Achillis, Il. 18, 204. Locus repetitur inferius v. 440. — Sic ardens speculum Diomedes clypeo et galeæ adaptavit libro E, 6.

(232) Cf. Il. 18, 217.

(233) A B, πέμπει.

(234) Cf. Il. 18, 239

(237) Cf. Il. 18, 254 A, παρεγγράψαι. B, παρεγγράψας.

Ὁ Ζεὺς καὶ ὁ τοῦ Κρόνου δὲ παῖς τοῦ ἀγκυλομήτου,
οὓς πρὸς τὸν Πολυδάμαντα ὁ Ἕκτωρ τὰ νῦν λέγει,
ἡ σκοτεινὴ καὶ ἄδηλος στρεβλή τε εἱμαρμένη
Φρένας τῶν Τρώων ἡ Παλλὰς ἐξείλετο Ἀθήνη,
τουτέστιν ἠφρονεύσαντο αἰνέσαντες τὰ χείρω.
Ζεὺς δὲ ὁ πᾶν τὸ νόημα μὴ συμπληρῶν ἀνθρώποις
ἡ εἱμαρμένη πέφυκεν. Ὁ Ζεὺς δ' ὁ μετὰ τοῦτον,
ὥσπερ φησὶ πρὸς ἀδελφὴν καὶ σύζυγον τὴν Ἥραν,
ζάλη τοῦ νεφελώδους τε καὶ τοῦ λεπτοῦ ἀέρος,
ἃ ἀδελφά τε πέφυκε, ταυτῷ τε τόπῳ κεῖται·
Ἐπεὶ λεπτοῦ ἀέρος τε καὶ ἴριδος φανείσης
μικρὸν φανεὶς ὁ Ἀχιλεὺς νενίκηκε τοὺς Τρῶας,
μετὰ βραχὺ δὲ ζάλη τις γέγονε τοῦ ἀέρος
τοῦ νεφελώδους τε αὐτοῦ καί γε τοῦ λεπτοτέρου.
Τὸ νεφελῶδες μὲν ὑγρὸν ὁ Ὅμηρος ὡς Δία,
αὐτὸ δὲ τὸ λεπτότερον ὡς Ἥραν παρεισφέρων,
ἐν προσωποποιΐᾳ νῦν καὶ λόγους περιάπτει.
ὑψῶν, γλυκάζων ἅμα τε τὸ εὐτελὲς τοῦ λόγου.
Οὕτω τοιαῦτα ἔλεγον ὁ Ζεύς τε καὶ ἡ Ἥρα,
οὕτω δὲ Ἥραν ὁ ἀὴρ ὁ ἔννεφος ἐκλόνει.
ἀντέτεινεν ἡ Ἥρα δὲ τούτῳ σὺν παρρησίᾳ,
ἤγουν ἤδη τὸ αἴθριον ἐνίκα τὸ νεφῶδες.
Ἡφαίστου δόμον δ' ἵκανεν ἡ Θέτις ἡ λευκόπους.
Τὸ εὐθεσίας ὕδωρ δέ, φημὶ τὸ νεφελῶδες,
ὃ ἀνιμώμενον κιρνᾷ τὸ φλογερὸν ἀέρος

(239) Cf. Il. 18, 292, 293.
(240) A B. σκοτ. τε ἄδηλος.
(241) Cf. Il. 18, 311.
(243) Cf. Il. 18, 328.
(245) Cf. Il. 18, 356.
(248) A B, ἀέρος δέ.
(253) A, παρεισφέρον.
(255) B, τε ἅμα.
(256) Cf. Il. 18, 368
(257) C, οὕτω τὴν Ἥραν, et super ἔννεφος scriptum σύννεφος.
(260) Cf. Il. 18, 369.
(261) Cf. n. ad v. 221.

(τοῦ ὕδατος τὰ ἄκρα δὲ πάντως τῶν λευκοχρόων)
μέλλον πρὸς πῦρ μεταβαλεῖν, πρῶτον ἐξηθερώθη,
εἶτα πρὸς πῦρ μετέβαλεν. Ἀλλά σοι νῦν φραστέον
πρῶτα τοῦ νῦν χωρίου μὲν πᾶν τὸ τοῦ μύθου ὕφος,
εἶτ' ἀλληγορητέον μοι πραγματικῶς τὸν μῦθον
εἰς Ἀχιλέα τὸν υἱὸν τοῦ Θετταλοῦ Πηλέως,
εἶτα στοιχειακώτατα τοῖς περὶ κόσμου λόγοις
εἰς Ἀχιλέα τὸν υἱὸν Πηλέως, ἤτοι κόσμου.

Δεινῶς πολέμῳ τοῖς Τρωσὶν Ἑλλήνων ἡττωμένων,
τὴν πανοπλίαν Πάτροκλος ἐνδὺς τοῦ Ἀχιλέως
τὸν Σαρπηδόνα καὶ λοιποὺς κτείνει τοῦ Τρώων γένους.
Ἕκτωρ δὲ τοῦτον ἀνελὼν, δεσπόζει καὶ τῶν ὅπλων.
Θρηνοῦντος τοῦ Ἀχιλέως δὲ τῇ τελευτῇ Πατρόκλου,
οἰκτρῶς μέγα κωκύσασα Θέτις ἡ τοῦ Νηρέως
σὺν Νηρηίσιν ἀδελφαῖς ἐξῆλθε τῆς θαλάσσης·
παρηγορεῖται τοῦτον δὲ, παῖδα τελοῦντα ταύτης,
εἴργει τε τοῦτον ἄοπλον ἐκβῆναι πρὸς τὴν μάχην,
ἕως αὐτῷ κομίσειε παρὰ Ἡφαίστου ὅπλα.
Καὶ Νηρηίσι λέγει μὲν ἐλθεῖν πρὸς τὸν Νηρέα,
αὐτὴ πρὸς τὴν Ἡφαίστου δὲ παρέδραμεν οἰκίαν
καὶ τοῦτον περὶ φύσας μὲν εὗρεν ἠσχολημένον.
Ἐχάλκευε γὰρ τρίποδας εἰκοσαρίθμους μέτρῳ,
ἵστασθαι τούτους μέλλοντας τοίχῳ τερπνοῦ μεγάρου·
χρυσοῦς τροχοὺς ἑκάστῳ δὲ ὑπέθετο πυθμένι,
ὡς εἰς ἀγῶνα θεῖον μὲν αὐτόματοι κινοῖντο

(263) C, λευκοχρόνων. Cf. v. 263.
(264) A, ἐξηθερώσαν. Verbum ἐξαιθερωθῆναι redit v. 335, 460. Erit ἠθεροῦτο v. 605, ἠθερώθη v. 681.
(266) A B, νέφος. Est ὕφη v. 322.
(279) A B, εἴργετο τοῦτον.
(283) B, περιφύσσας. C, φύσσας. A, ἠσχολούμενον. Cf. Il. 18, 372.
(284) A, ἐχάλκευε δέ.
(285) A, τερπνῷ. Cf. Il. 18, 374.
(287) A B, καὶ εἰς. Sæpe vidimus permutata ὡς et καί.

καὶ πάλιν ὑποστρέφοιεν· θαῦμα φρικτὸν καὶ μέγα.
Οὕτοι μὲν ἐξειργάζοντο, οὔπω δὲ εἶχον ὦτα,
ταῦτα κατασκευάζοντες· τότε δὲ τοῦ Ἡφαίστου,
Χάρις ἡ τούτου σύζυγος τὴν Θέτιν κατιδοῦσα,
χειρὶ λαβοῦσα φιλικῶς ἐνδότερον εἰσάγει
καὶ ἀργυρέῳ θρόνῳ δὲ ταύτην ἐγκαθιδρύει,
καλεῖ δὲ καὶ τὸν Ἥφαιστον, ὃς, κατιδὼν τὴν Θέτιν,
φησίν· « Εἰς οἶκον τὸν ἐμὸν ἦλθεν ἡ ἔσωσέ με,
« ἀνθ' ὧν ἡ μήτηρ ἔκρυπτε χωλόν με γεννηθέντα,
« ῥιφέντα καὶ παθόντα δ' ἂν ἐλεεινὰ μυρία,
« εἴπερ μὴ ὑπεδέξατο ἡ Θέτις με τοῖς κόλποις
« καὶ παῖς ἡ Εὐρυνόμη δὲ Ὠκεανοῦ κυκλόρρου,

(290) B, τότε τε. Clauditur hoc versu fol. 310; sequens orditur folium rectum 313, interversis foliis plurimis, quod jam fuit notatum. Vide n. ad v. 212.

(295) A B, φασίν. . ἡ. Cf Il. 18, 395.

(296) A B, χολόν. Et sic variatur in Iliade 18, 397. Cf. infra v. 536.

(297) A B, παθόντα δέ.

(299) A, καλλόρου. B. καλόρρου. C, εὐνόμη... κυκλόρρου, quod accedit ad Homericum ἀψορρόου. Cramerus An. Ox. t. 3, p. 369 id descripsit scholium Tzetzæ ad Chil. 7, 337, de filiis ac filiabus Ægypti et Danai : Κατ' ἄλλους —] Ἱππόστρατος τον Αἴγυπτον ἐξ Εὐρυρόης Νείλου Μόνης υἱοὺς πεντήκοντα λέγει γεγεννηκέναι, Τὰς θυγατέρας πάσας δὲ τὸν Δαναὸν ὁμοίως Ἐκ τῆς Εὐρώπης θυγατρὸς τοῦ εἰρημένου Νείλου. Præfero sic scriptum Εὐρυρόης editæ in contextu Chiliadum lectioni Εὐρυῤῥόης. Mirum est Cramerum, qui inspexisse videtur locum ipsum Tzetzæ (allegat enim numerum et pro lemmate duas voces), non vidisse quatuor hosce versus fuisse in serie historiæ ab editoribus positos, ac procul dubio ex codicibus quibus sunt usi. In codice quidem 2644 sunt ad marginem scripti, librario serius restituente quod fuerat omissum. Duo ρρ regula tribui jubebat verbo ἐπιρραψῳδεῖ in hac sententia Dialogi De vitarum auctione p. 132, quem Theodorus Prodromus ad imitationem Luciani composuit, nec sine quadam salis Lucianei particula : ἀλλ' ὅτε μὲν... κλέα ἀνδρῶν ᾄδει... ὅτε δὲ... τῇ Μοίρᾳ εὐθὺς ἐπιραψῳδεῖ. Scribe sis ἐπιρρ., ac præsertim ὁτὲ μὲν, ὁτὲ δέ. Duplicatio etiam facienda litteræ ρ in disticho quod edidit Dutheilius Notitiarum mann. t. 8, p. 194 : Ἔρως, τὰ δένδρα καὶ φύσεις καὶ μιγνύεις, Τὰ στέρνα δ' ἐξέρηξας, οὐχὶ μιγνύεις. Scribendum δ' ἐξέῤῥηξας quod tenet codex 1630. Id distichum quartum est de quinque, quod quid velit intelligetur ex lemmate : εἰς δακτύλιον ἔχοντα σφραγῖδα ἐρῶντας δύο, καὶ ἀπὸ τῶν στέρνων αὐτῶν δύο δένδρα ἐκπεφυκότα· plenius lemma codicis 1630 : ἐκπεφυκότα καὶ εἰς ἕνα συγκορυφούμενα κόρυμβον. Suspicatur Dutheilius distichorum auctorem esse Theodorum Prodromum, cujus suspicionis non fuisse falsum monstrat codicis 1630 lemma : τοῦ Προδρόμου κύρου Θεοδώρου τοῦ φιλοσόφου. Codex ille 1630 fuit olim Antonii Eparchi. In accuratissima plenissimaque ejus descriptione, quam Bibliothecæ Græcæ inseruit Harles. t. 9, p. 575, non omissa mentio istius poematioli : « Theodori Prodromi de annulo, in quo insculpti erant amantes duo ». Poterit lector

« αἷσπερ ἐχάλκευον πολλὰ ἐνναετῆ πρὸς χρόνον,
« περόνας, κάλυκας, γναμπτὰς καὶ ἕλικας, καὶ ὅρμους,
« ἐν γλαφυρῷ τῷ σπέϊ μέν· ὠκεανὸς δὲ ἔρρει.
« Οὕτω μοι Θέτιδι χρεὼν ζωάγρια παρέχειν ».
Οὕτως εἰπὼν παμμέγιστον ὁρμᾷ τοῦ ἀκμοθέτου
χωλεύων, ἀπὸ δὲ πυρὸς ἀπέθετο τὰς φύσας,
εἰς ἀργυρᾶν δὲ λάρνακα συνέλεξε πᾶν ὅπλον·
σπόγγῳ δὲ συμπὰς φαιδρυνθεὶς ἐνδύεται χιτῶνα,
σκῆπτρον λαβὼν δὲ στιβαρὸν ἐξέδραμε χωλεύων.
Ὥρμων δ' εἰς τούτου πλάγιον χρυσαῖ θεραπαινίδες
ζωαῖς οὖσαι νεάνισι πάνυ ὡμοιωμέναι,
αἷς νοῦς φωνὴ καὶ δύναμις, καὶ γνῶσις ἔργων θείων.
Αἱ μὲν προεπορεύοντο· οὗτος δ' ἐλθὼν κατόπιν,
πλησίον ἷζε Θέτιδος ἐν φαεινῷ τῷ θρόνῳ·
ἧς τῆς χειρὸς ἀψάμενος, ἤρετο τί δὴ θέλοι.
Τὰς συμφορὰς δὲ τὰς αὐτῆς ταύτης οἰκτισαμένης,
ὡς τῷ Πηλεῖ τῷ Αἰακοῦ ἄκουσα συνεζύγη,
καὶ οὗτος γήρει κεῖται μὲν ἐν οἴκοις βεβλαμμένος,
ὁ παῖς δὲ ταύτης Ἀχιλεὺς λελύπηται μυρία,
ὅπλων τε δεῖται συσκευῆς, ἄοπλος ὑπηργμένος,
εὐθὺς ἐξεργασάμενος ἣν πανοπλίαν γράφει,
δίδωσι ταύτης τῷ υἱῷ αὐτὴν ἀποκομίσαι.

Τὴν μὲν τοῦ μύθου σύμπασαν ὑφὴν νῦν ἠκηκόεις·

bibliographiæ studiosus consulere mihi annotata in Notitiis mss. t. 11, p. 266, et Camusio Villoisonique t. 5, p. 626, t. 7, p. 420.

(300) A C, αἷς παρεχάλκευον.

(301) A, πτερόνας. C, περόνας, superscripto πτερόνας. Homerus πόρπας. A, γναπτάς. C, γναμπτὰς suprascripto χαμπτάς.

(303) Cf. Il. 18, 407.

(305) A B, τὰς σφύρας. C, φυσσας. Il. 18, 412 : φύσας μὲν ῥ' ἀπάνευθε τίθει πυρός.

(307) B, ἐνδύετο.

(309) A B, τοῦτο.

(312) A, ἧξε. Cf. Il. 18, 422.

(316) A B, καὶ τῷ.

(319) A C, ὅπλων δέ. Mox Homerus scilicet γράφει.

(322) A, ὑφ' ἥν.

ἤδη πρὸς Ἀχιλέα δὲ τὸν Θετταλὸν ἐκεῖνον
πραγματικῶς, ῥητορικῶς ἀλληγοροῦντος, πρόσχες.
Ὁ μὲν Φθιώτης Ἀχιλεύς, ὁ στρατηγὸς ἐκεῖνος,
παῖς Θέτιδος τῆς Χείρωνος ὑπῆρχε καὶ Πηλέως·
λέγεται δὲ καὶ Θέτιδος παῖς εἶναι, τῆς θαλάσσης,
δι᾽ ἃς αἰτίας ἐν πολλοῖς ἐγράψαμεν τοῖς τόποις.
Ἐπεὶ δὲ καί, τὸν Πάτροκλον νεκρὸν ὀδυρομένου,
ἤχῳ βρασθῆναι πρὸς τὴν γῆν τὴν θάλασσαν συνέβη,
καὶ πάλιν ὥσπερ γοερὸν τότε μυκησαμένην
παλινδρομῆσαι πρὸς αὐτῆς τὴν κοίτην καὶ τὴν θέσιν,
τὸ ταύτης δὲ λεπτότερον κεραστικόν τε ὕδωρ,
ὃ εὐθεσίας αἴτιον, ὃ καὶ κυρίως Θέτις,
πρὸς οὐρανὸν ἀναδραμεῖν καὶ ἐξαιθερωθῆναι,
καὶ εὔδιον κατάστημα τότε γενέσθαι οὕτω,
ἐν ᾧ καιρῷ καὶ πλεύσαντες τινὲς τῶν Μυρμιδόνων
ἢ πρὸς Λημνίους ὁπλουργούς, ἢ πρὸς ἑτέραν χώραν,
διὰ θαλάσσης ἔφερον ὅπλα ὁποῖα τούτῳ,
ἐκ τοῦ πυρὸς ἀρτιτευχῆ καὶ καινουργὰ καὶ νέα,
οἵων μὲν Ὅμηρος φησὶν ὅλων ἐξειργασμένα,

(328) Vide supra v. 45.

(331) B, μυκησαμένη.

(334) Vide ad v. 221. B, αἴπτιον.

(338) A, λιμνίους. Cf. v. 215. Passim iota sedem vocalis ita male tenet. In Theocriti scholiaste 1, 3, ubi de Pane, pro πάρδαλιν εἰλῆφθαι Valckenærius, ad Herodotum 7, 69, 3 reponebat παρδαλῆν ἐνῆφθαι. Illud rejecerunt Geelius et Kiessling. vv. dd., hoc recepto. Utrumque vocabulum servandum fuit. Nam πάρδαλιν pro παρδαλῆν apte dici potuisse exempla parilia stabiliunt (videsis Ruhnkenii notam ad Timæi τὴν ἀλωπεκῆν); et εἰλῆφθαι sententiæ omnino convenit « Pan« di pellem esse sumtam ». Sed quum Cornutus de eodem deastro dicat c. 27, νεβρίδα ἢ πάρδαλιν αὐτὸν ἐνῆφθαι, rescripserim libens cum G. Dindorfio, in Thesauro Stephani sub παρδάλειος, pro πάρδαλιν παρδαλῆν, ob præcedens νεβρίδα. Quod si dedisset Cornutus νεβρὸν ἢ πάρδαλιν, ejus verba non tangerem, nominum congruentia contentus, memorque Herodoti apud quem vidi 7, 75, πέδιλα νεβρῶν. Sic vernacule dicimus « des gants « de chevreuil, un chapeau de castor ». Quibus scriptis inspexi Cornutum Ozanianum, in quem varietas codicis unius, παρδαλῆν, recepta fuit. Quum non agatur de restituenda lectione quæ sit absolute optima, sed de repræsentanda probabiliter Cornuti manu qui non fuit græcæ orationis artifex solertissimus, unus codex non omnino satisfacere videtur.

(340) A, ἀντιτευχῆ. Vide ad v. 213.

χαλκοῦ καὶ κασσιτέρου μέν, χρυσίου καὶ ἀργύρου
παντὸς δὲ κόσμου φέροντα ποικίλμασιν εἰκόνα,
οὗ πέρι φυσικεύεται ὁ Ὅμηρος, ὡς δείξω,
ἐμύθευσαν ὡς Πάτροκλον θρηνοῦντος Ἀχιλέως,
ἡ μήτηρ Θέτις ἐξ ἁλὸς ἦλθε σὺν Νηρηΐσι·
παρηγορήσαμένη τε ὅσα χρεὼν μητέρα,
ἐπεὶ καὶ ἄοπλος ὁ παῖς ταύτης ὑπῆρχε τότε,
ταῖς Νηρηΐσι λέγει μὲν παλινδρομεῖν θαλάσσῃ,
αὐτὴ δέ, πρὸς τὸν Ἥφαιστον εἰς οὐρανὸν ἐλθοῦσα,
ὅπλα κατήνεγκεν αὐτῷ θάμβος ἀνθρώποις ξένον.

Τὴν Ἀχιλέως Θετταλοῦ πᾶσαν ἀλληγορίαν,
τῆς παρηγόρου Θέτιδος καὶ τῆς ὁπλοποιίας
ἔχεις καλῶς μοι σύμπασαν νῦν ἠλληγορημένην·
πρὸ γὰρ βραχέος ἔφημεν πάντα λεπτολογοῦντες
μέχριπερ οὗ ἀνέτρεχε πρὸς Ἥφαιστον ἡ Θέτις,
νῦν δ' ἐκ τῆς ἀνελεύσεως ἔφημεν ἄχρι τέλους·
ὁμως ἐπιτομώτερον καὶ πάλιν μοι ῥητέον.

Τοῦ Ἀχιλέως Πάτροκλον νεκρὸν ὀδυρομένου
ἐξέδραμεν ἡ θάλασσα μυκήματι βιαίῳ,
ἣν καὶ μητέρα Ὅμηρος τοῦ Ἀχιλέως λέγει,
καὶ θρήνους περιτίθησι καὶ λόγους παρηγόρους,
δεικνὺς ὅτι παθαίνεται τοῦτον καὶ τὸ στοιχεῖον.
Καὶ Ἀχιλέως κεφαλῆς λέγει λαβέσθαι ταύτην,
εἰπεῖν τε ὅτι « Εἵμαρτο ταῦτα σοὶ γεγονέναι
ὥσπερ ἐπηύχου τοῖς Τρωσὶν Ἕλληνας ἡττηθῆναι »·
ἤτοι συνεὶς ὁ Ἀχιλλεὺς εἰς λογισμὸν οἰκεῖον,

(344) A, περιφυσικεύεται.
(362) Fortasse παρατίθησι.
(363) Cf. v. 108, 361.
(366) C, ὑπέσχου. In hoc versu desinit folium 315; sequens versus non sequentis folii primus est, sed folii 311. Vide n. ad v. 290.
(267) Repetit, lectorum et optimi viri Cotertzæ abusus patientia, quæ jam exposuit v. 148 seqq.

ἐκ πρὶν ὑδρομαντείας τε καὶ τοῦ συμβάντος τότε,
ὅτι χειμῶνι Ἕλληνες ἡττήσουσι τοὺς Τρῶας
ὡς καὶ αὐτὸς ἐπηύχετο, πρὸς ἑαυτὸν ἦν λέγων·
« Ὦ συνεργὸν στοιχεῖον μοι δίκην μητρὸς φιλτάτης,
« ποῖον ἐμοὶ τὸ ὄφελος Ἑλλήνων ἡττημένων;
« ἐπεὶ καὶ Πάτροκλος νεκρὸς νῦν σὺν ἐκείνοις κεῖται,
« Ἕκτωρ τὰ ὅπλα δ' ἔλαβεν, ἅπερ ἡ εἱμαρμένη
« εἴτε θεοὶ καὶ βασιλεῖς δεδώκασι Πηλεῖ,
« θνητῷ καὶ κατωτερας δὲ τῆς τύχης ὑπηργμένῳ,
« ὅτε τὴν σοῦ ὁμώνυμον, τοῦ Χείρωνος τὴν Θέτιν,
« τὴν βασιλίδα καὶ θεὰν ἐλάμβανε πρὸς γάμον·
(Μετάβασις ὀνόματος καλεῖται δὲ τὸ σχῆμα)
« ἡ ἅπερ ὅπλα ἦν χρυσοῦ τε καὶ ἀργύρου
« καὶ τῶν λοιπῶν δὲ τῶν ὑλῶν ἅσπερ θεοὶ δωροῦνται·
« τῶν πλανήτων ἑκάστῳ γὰρ ἀνάκειταί τις ὕλη,
« καθάπερ τερατεύονται παῖδες τῶν ἀστρολόγων.
« Ὡς ὄφελεν ἡ μήτηρ μου, τοῦ Χείρωνος ἡ Θέτις,
« ἡ νησιῶτις βασιλὶς ἡ παραθαλασσία »
(τοῦτο γὰρ νῦν ἐστι θεά), « Πηλεῖ μὴ συμφθαρῆναι

(373) B, νῦν νεκρὸς, contra metrum.
(375) A, ὅτε. B, οἶτε. C, εἶτε.
(379) Jam supra v. 137.
(381) C, ἅπερ, superscripto ἅσπερ.
(382) Conf. v. 429, et ad P 31.
(385) A, νησιώτης. A C, ἡ παραθαλασσία. Cf. v. 143.
(386) Sine νῦν. Sic, librariis, inscientibus etiam, omittuntur vocabula. Nicolaus Damascenus vita Cæsaris a viro doct. Mullero nuper e codicibus summo cum labore eruta § 18, pag. 438 : ἐπειδὰν τοὺς ἠρτημένους ἀριθμῆται κινδύνους τῶν συμπάντων ἄρχειν ἀξιοῦντι. Bene Dubnerus τῷ συμπάντων, qui, ni fallor, melius utroque cum articulo scripsisset τῷ τῶν συμπ. Sibi sæpe nocent articuli vicini; alter alterum absorbet. Vide n. ad Eunapium p. 230, et Jacobsium ad Philostr. p. 219. Lucianus De luctu c. 2, narrat in inferis locis regnare Jovis fratrem, Πλούτωνα κεκλημένον, διὰ τὸ πλουτεῖν τοῖς νεκροῖς τῇ προσηγορίᾳ τετιμημένον. Codex 1310, τῇ τοιαύτῃ πρ.. non male, non omnino bene. Libanius t. 4, p. 985 : κἂν νὺξ ἀφέληται, πάλιν ἧκεν ἡμέρα τὸ τῆς προτέρας φέρουσα. Codex, ἡ ἡμέρα, quod ducit ad conjiciendum κἂν ἡ νὺξ ἀφέληται. Quæ verba apponenda ad locum non facilem Æschyli Persis 434 : Ἕως κελαινῆς νυκτὸς ὄμμ' ἀφείλετο. Sententia anonymi in Georgidæ Gnomologio Anecd. Græc. t. 1, p. 29 : διακρίνειν ἐπιστημόνως καλὸν ἐκ τοῦ κακοῦ τελεωτέρας ἕξεως καὶ γεγυμνασμένων αἰσθητηρίων ἐστίν. Codex τοῦ Μηνᾶ recte, τὸ καλόν. Tertullianus Præscr. hæret. c. 8 : « Cum credimus, ni-

« θνητῷ καὶ κατωτέρας δὲ τῆς τύχης ὑπηργμένῳ »
(ἤγουν, ὡς ὤφελεν, φησίν, ὅλως μὴ γεννηθῆναι),
« νῦν δ', ἵνα πένθος δι' ἐμὲ καὶ σὺ μυρίον ἔχῃς,
« τὸν οὐ ὑποδέξῃ με τῇ Τροίᾳ τεθνηκότα »
(λείπει, συνήφθης τῷ Πηλεῖ καὶ δυστυχῶς γεννᾷς με).
« Ἐπεὶ δὲ καὶ ὁ Πάτροκλος τανῦν μοι ἀνῃρέθη,
« οὐ θέλω ζῆν, τὸν Ἕκτορα μάχῃ μὴ κατακτείνας ».
Θέτιδος δὲ « Μεθ' Ἕκτορα ταχὺ θνήσκεις », εἰπούσης,
μνησθεὶς ὑδρομαντείας τε τοῦτο προδηλωσάσης,
ὡς καὶ αὐτὸς μετὰ σφαγὴν Ἕκτορος θνήσκει τάχος,
μέγα στενάξας ἔλεξε· « Τεθναίην παραυτίκα,
« ὅταν ὁ Ζεὺς καὶ οἱ λοιποὶ ἐκλώσαντο ἀστέρες,
« ἐξ ὧν ἀνθρώποις γίνεται πάντα τὰ πεπρωμένα.
« Οὐδ' Ἡρακλῆς ὁ φίλος γὰρ Διὶ τῷ ἀστρολόγῳ
« ἢ τῷ ἡλίῳ νῦν Διΐ, ἢ καὶ τῷ οὐρανῷ δὲ »,
« ἔργα κλεινὰ γὰρ καὶ λαμπρὰ ζῶν Ἡρακλῆς ἐτέλει,
« καὶ οὐρανῷ δὲ φίλος ἦν ὡς ἀστρολόγος οἷος,
« τὴν κῆρα καὶ τὸν θάνατον ἐξέδραμε τῇ τέχνῃ.
« Ἀλλά ἑ μοῖρ' ἐδάμασσε καὶ χόλος ὁ τῆς Ἥρας·
« παρατραπεὶς γὰρ τῶν φρενῶν ἕδρας φαρμάκου χρίσει
« αὐτὸν εἰς πῦρ ἐνέβαλε Κηναίῳ τῆς Εὐβοίας.
« Οὕτως, ὦ μῆτερ, κἂν φιλῇς, μάχης μὴ κάτειργέ με.

« hil desideramus ultra credere ; hoc enim « prius credimus, non esse quod ultra « credere debeamus ». Sententia esse videtur imperfecta, sic restituenda, ni fallor : « Non esse quod, ultra credere, cre- « dere debeamus ». Judicium esto penes Œhlerum quem doctam nuper scriptori nimium neglecto operam navavisse didici.

(389) B, ἔχε.

(390) Τὸν ὃν est omnino vernacule *lequel*. Sic Θ 172, τὰς ἅσπερ, *lesquelles*. Sæpissime illa articuli ac pronominis junctura Tzetzes utitur. Conferantur libri Π, 47, 58 ; Ρ, 28, 763 ; Ω, 324.

(391) A B, κακῶς συνήφθης.

(394) A B, τῆς Θ. μεθ'.

(395) C, ὑδρομαντιας τε, superscripta diphthongo, τούτω προσδηλωθείσης.

(396) A B, θνήσκεις τάχει.

(397) A B, ἔλεγε.

(399) C, γίνονται. Cf. v. 166.

(411) A, χύσει.

(412) A, τῆς εὐμοίρας. Permutatio facilis litterarum β μ fecerat εὐμοίας ex εὐβοίας, tum εὐμοιας fiebat correctione εὐμοίρας.

« Οἶδα ἐκ σοῦ, ὦ μάντευμα τῆς ὑδατομαντείας,
« ὅτι, κτανὼν τὸν Ἕκτορα, θνήσκω κἀγὼ συντόμως·
« Ὅμως χρεὼν μοι πολεμεῖν, καὶ βοηθεῖν τοῖς φίλοις ».
Τῷ δὲ ἡ ἀργυρόπεζα Θέτις ἀνταπεκρίθη·
ὁ Ὅμηρος ὁ πάνσοφος παίζων συμπλάττει λόγους.
Εἰποῦσα Νηρηίσι τε στραφῆναι πρὸς Νηρέα
εἰς οὐρανὸν πρὸς Ἥφαιστον ὅπλα χωρεῖ κομίσαι.
Οὕτως ὁρμᾷ πρὸς πόλεμον ὁ Ἀχιλεύς, ὡς ἔφην.
Ὡς ἐκ μητρὸς δὲ διδαχθείς, ὑγροῦ καὶ τῆς θαλάσσης,
ὅτι, χειμῶνος νῦν καιρός, οἱ Ἕλληνες ἡττῶνται
καὶ μόνον, ἄοπλον, οὐ χρὴ πρὸς μάχην ἐξιέναι
αὐτὸς αὐτῷ ἐπίσχεσιν μάχης ποιεῖσθαι λέγει,
ἕς τ' ἂν αὐτῷ κομίσωσιν ὅπλα διὰ θαλάσσης
ἐκ τοῦ πυρὸς ἀρτιτευχῆ καὶ καινουργὰ καὶ νέα.
Ἐπεὶ δέ, τῆς θαλάσσης μὲν τῆς ἐξελθούσης τότε,
τὸ ὕδωρ τὸ βαρύτερον πάλιν ἀνθυπεστράφη,
αἱ Νηρηίδες πρὸς τὸν σφῶν πατέρα τὸν Νηρέα·
τὸ δὲ λεπτομερέστερον καὶ εὐθετίας ὕδωρ,
συγκρατικόν τε τοῦ θερμοῦ, πρὸς οὐρανὸν ἀνῆλθεν,
ὃ Θέτιδος ἀνέλευσις πρὸς οὐρανὸν καλεῖται,
ἤγουν αἰθρία γέγονεν ἐν οὐρανῷ εὐδία,
στέλλει ναῦσιν ὁ Ἀχιλεὺς ὅπλα τινὰς ὠνεῖσθαι.
Ἑλλήνων ἡττωμένων δὲ Τρωσὶ βιαιοτάτως

(418) A B, οὓς Ὅμηρος συνάπτει λόγους.
(427) A, ἀντιτευχῆ. Vide ad v. 213.
(431) Conf. n. ad v. 221.
(434) A, αἰθρεία. Hæc vocalium ι ει confusio nocuit Antiphonti sic edito Tetralogia 2, 2, § 4 : οὐδεὶς ἡμῖν λόγος ὑπελείπετο μὴ φονεὺς εἶναι. Non potest φονεὺς post ἡμῖν ab oratore scriptum fuisse. Reiskius correxit φονέας. « Præstiterit φονεῦσιν », Bekkerus ait, idque verissime. Finis σιν et initium ειν sibi nocuere ; syllabæ duæ sono similes in unam fuerunt conflatæ. Nominativus φονεῖς minus placeret. In Choricio sententiam, εἰ μὴ θέμις ἀνθρώποις ἀθάνατοι ζῆν, dativo ἀθανάτοις non indigere sum opinatus, ac pariter nominativum in Lysiæ quodam loco tuebar. Addendis Choricianis. Nunc hæreo.

ὁ Ἀχιλεὺς ἐξ Ἴριδος βαρεῖαν γνοὺς τὴν μάχην,
καὶ πρὶν κομίσαι πρὸς αὐτὸν ὅπλα τοὺς ἐσταλμένους,
ὡς πτοηθεὶς μὴ Πάτροκλος νεκρὸς Τρωσὶ ληφθείη,
σκέπῃ τινὶ συγκαλυφθεὶς τὴν κεφαλὴν καὶ ὤμους,
ἐξ ἧς, ἐκ μηχανήματος, ὁ φρόνησις, Ἀθήνη,
πῦρ ταῖς ἀντανακλάσεσιν ἔλαμπε τοῦ ἡλίου,
ὡς πρὸς τὴν τάφρον ἐξελθὼν καὶ τρὶς βοήσας μέγα
τρέπει τοὺς Τρῶας πρὸς φυγήν, Πάτροκλον δὲ λαμβάνει.
Ἡλίου ἀκουσίως δὲ δύντος βουλαῖς τῆς Ἥρας,
τῷ τοῦ ἀέρος ζοφερῷ προώρου κεκρυμμένου,
τῆς μάχης ἀπεπαύθησαν Ἕλληνές τε καὶ Τρῶες.
Ὁ Ζεὺς καὶ ὁ τοῦ Κρόνου δὲ παῖς τοῦ ἀγκυλομήτου,
ἡ σκοτεινὴ καὶ ἄδηλος, στρεβλή τε εἱμαρμένη.
Ταῦτα καὶ τἄλλα καθεξῆς κάλλιστα προεγράφη
μέχρις ἐκείνων τῶν ἐπῶν ὧνπερ ὁ νοῦς τοιόσδε.
Ἐντεῦθεν ἄκουε λοιπὸν σοὶ πᾶν ἀλληγοροῦντος.
Τὸ μὲν παχὺ τοῦ ὕδατος, ὃ Νηρηΐδας εἶπε,
μετὰ τὸν σάλον τὸν φρικτὸν τὸν τότε γεγονότα
αὖθις καὶ πρὸς τὴν θάλασσαν ἔστραπτο, τὸν Νηρέα·
τὸ δὲ λεπτομερέστερον ὕδωρ τῆς εὐθεσίας,
ὃ ἀνιμώμενον κιρνᾷ τὸ φλογερὸν ἀέρος,
(λευκὰ τὰ ἄκρα πάντως δὲ τοῦ ὕδατος τυγχάνει),
διὰ τὸ βάθος μέλαν δὲ δοκεῖ τε καὶ καλεῖται

(439) A, καὶ πτ. B, καὶ πτ. νεκρὸς μὴ Π. Τρ.

(440) B, τῇ κεφαλῇ καὶ ὤμοις. A, τῇ κεφαλῇ κ. ὤμους. Cf. v. 228.

(441) C, ἡ φρόνησις. A, ἐξ ἧς ἐμανήματο ἡ φρόνησις. Sch. in C: ὡς ἡ Ἀθηνᾶ ἡ ἐκ κεφαλῆς Ἀχιλλέως πῦρ ὑπανάπτουσα.

(444) B, πρέπει. Cf. ad O. 212. C, εἰς φυγὴν

(446) B, πρὸ ὥρας. Cf. v. 235.

(450) προεγράφη, scilicet v. 238 sq.

(451) In C hunc versum sequitur, Ἡφαίστου δόμον δ' ἵκανεν ἡ Θέτις ἡ λευκόπους, qui versus fuit jam lectus supra, ordine 260, ac folium 311 nunc claudit. Hinc in C interrumpitur liber Σ.

(455) B, αὖτις... ἔστρεπτο. Fortasse ὡς πρὸς de more.

(458) Conf. v. 263. B, λευκρά.

(459) A B, βάρος. Correxi ex permutatione solita. B, καλεῖται καὶ δοκεῖται.

μέλλον πρὸς πῦρ μεταβαλεῖν πρῶτον ἐξηθερώθη,
ἔπειτα συνεκράθη δὲ καὶ πρὸς πυρὸς οὐσίαν.
« Ἡφαίστου δόμον χάλκεον » φασὶ τὰ πρὸς αἰθέρα,
εἶα καὶ πυρωδέστερα τυγχάνοντα τῇ φύσει
κἄνπερ ὁ κομπολάκυθος οὐ λέγῃ Σταγειρόθεν.
« Κυλλοποδίων » δὲ τὸ πῦρ, τὸ μὲν ὑλῶδες οὕτω,
ὡς ἄνευ ξύλων καὶ ὑλῶν τοὺς πόδας ὑποσκάζον,
καὶ παρευθὺ σβεννύμενον, βαδίζειν οὐκ ἰσχύον,
καὶ ὡς ἀναφερόμενον, ἔνθεν κἀκεῖθεν ῥέπον,
καὶ δόκησιν χωλότητος βαδίσματος δεικνῦον·
ἔτι τε ποὺς διὰ πυρὸς βαδίζειν οὐκ ἰσχύει.
Καὶ τῷ αὔλῳ δὲ πυρὶ συνᾴδουσι τὰ δύο.
Δόμον δὲ ὃν ἐποίησεν ὁ Ἥφαιστος γινώσκεις·
τὸ πῦρ γὰρ κατὰ Ἕλληνας ἐν τῇ κοσμογενείᾳ
ἑκάστῳ διενείματο τοὺς τόπους κατ' ἀξίαν.
Τέλει τῆς Ἄλφα γέγραπται τοῦτό μοι σαφεστάτως.
Τοῦτον δ' εὗρεν ἱδρώοντα τότε περὶ τὰς φύσας·
τὸ πῦρ γὰρ πνεύματα κινεῖ, λεπτῦνον τὸ νεφῶδες.
Τρίποδας δὲ τὸ τριμερὲς λέγει τοῦ χρόνου τεύχειν,
τὸ γὰρ θερμὸν ὑπέστησε καὶ κόσμον καὶ τὸν χρόνον.
Τὸ « εὐσταθὲς δὲ μέγαρον » ἅπας ἐστὶν ὁ κόσμος,
ἐν ᾧ τὸ πῦρ τριμέρειαν ἐργάζεται τοῦ χρόνου.
Εἴκοσι δὲ οἱ τρίποδες εἰσὶν ὡς ὑπὲρ τέλος·

(462) Cf. Il. 18, 371. Expectatur φησί, Homerus scilicet.
(464) A B, κομπολάκιθος. Iterum utitur hoc vocabulo in Ω, 134. A B, λέγει.
(465) Conf. Il. 18, 371.
(467) A, παρευθύς... ἰσχύων.
(470) B, πᾶς.
(472) A B, νόμον. Correxi ex Il. 18, 371: δόμον... ὅν ῥ' αὐτὸς ποιήσατο.
(476) B, ἱδροῶντα. Cf. Il. 18, 372.
(478) Sic loquutus est et Chil. 2, 324: Οὐ γὰρ νῦν φυσικώτερον τὸ τριμερὲς τοῦ χρόνου Γηρυόνην φαίην ἄν. Cf. v. 48, et Il. 18, 473.
(480) Conf. Il. 18, 374, et infra v. 590.
(482) A, ὑπὲρ τέλους. B, ὑπερτέλος. Cf. 485, 668. Pro ὡς fere malim καί, quas voculas sæpissime permutatas vidimus.

τὰ δέκα τέλειος εἰσὶν ἐν ἀριθμῷ, ὡς οἶδας·
τὰ εἴκοσι δ' ὑπέρτερα τάξεως τοῦ τελείου.
Ὅμηρος ὑπὲρ τέλος δὲ κόσμον καὶ χρόνον λέγει.
« Τὰ κύκλα δὲ τὰ χρύσεα », τὰ τρίποδας κινοῦντα,
αἱ τοῦ ἡλίου χρυσαυγεῖς τελοῦσι λαμπηδόνες,
ὑφ' ὧνπερ αἱ τριμέρειαι κινήσει τῇ τῆς σφαίρας,
ἥν περ « ἀγῶνα θεῖον » σοι σαφῶς κατονομάζει,
αὐτόματοι χωροῦσί τε, ὑποχωροῦσι πάλιν.
Τί ταῦτα νῦν λεπτολογῶ τῷ Ἀχιλεῖ Φθιώτῃ,
τανῦν ἐπιτομώτερον δέον εἰπεῖν με ταῦτα;
ἐν δὲ τῷ κόσμῳ Ἀχιλεῖ τὸ πᾶν ἀναπτυκτέον.
Μετὰ τὴν ζάλην τὴν δεινήν, ἣν ἔφην, τῆς θαλάσσης,
ἀναδραμὸν τὸ ἔνυγρον εἰς τὸ πυρῶδες ἄνω,
οὐ πρώτως μεταβέβληκεν ὡς πρὸς πυρὸς οὐσίαν,
πρὸς δέ γε τὸ μεσαίτατον καὶ κατηυκρατωμένον,
ὅπερ καὶ Χάριν σύζυγον Ἡφαίστου νῦν μοι νόει·
εἶτα καὶ πρὸς θερμότερον καὶ παντελῆ αἰθρίαν,
ὃ τῶν φυσῶν κατάλειψις ἐστὶ παρὰ Ἡφαίστου
καὶ τοῦ προσώπου κάθαρσις καὶ ἔνδυσις εἱμάτων,
πλησιεδρία Θέτιδος καὶ κράτησις χειρὸς δέ,
καὶ πρὸς αὐτὴν ἐρώτησις οὗτινος χρείαν ἔχει,

(483) De denario numero perfecto Meursius Denario c. 12.

(486) A, κοινοῦντα. Cf. Il. 18, 375, et infra v. 591.

(488) Cf. infra v. 594.

(489) Cf. Il. 18, 376. Pro σαφῶς fortasse σοφῶς. Sed cf. v. 670.

(495) A, πυρῶδες ὕδωρ.

(496) A, sine ὡς. Omissa pariter vocabula aliis reddam obiter scriptoribus. Aristides Orat. 52, p. 605 : ὅρα μὴ αὐτὴν τὴν παῖδα μισήσῃς, ὅταν δι' αὐτὴν διαφθαρῇ πασσυδὶ τὸ στρατόπεδον. Codex 963 : μή ποτε αὐτ. ... διαφθαρῇ πᾶν τὸ στρ. Lucianus Tyrannicida c. 20 : καὶ τῇ βραδυτῆτι κολάζειν δέον, καὶ παρατείνει μοὶ τὸν φόνον καὶ μακροτέραν μοι τὴν σφαγὴν ποιεῖ. Codex 2956 bene :... δέον ἐγνώκει... caret et bene altero μοι.

(498) Cf. Il. 18, 382.

500) A, B, κατάληψις. Scripsi κατάλειψις, respecta ad Il. 18, 412 : Φύσας μέν ῥ' ἀπάνευθε τίθει πυρός· seponebat ab igne folles ac relinquebat Vulcanus. Permutatio solita vocalium η ει favet correctioni. Sic καταληφθήτω et καταλειφθήτω confusa libro ἰῶτα 137.

(501) A, ἔδυσις. Cf. Il. 18, 416.

(504) Il. 18, 422, 422, 503.

καὶ ταύτης δὲ ἀφήγησις τῶν ὅπλων ἀπωλείας,
καὶ αἴτησις ἐκ τούτου δὲ νεοχαλκεύτων ὅπλων,
ἅπερ ἐξεργασάμενος δίδωσιν οὗτος ταύτῃ.
Ἡ δὲ κατάγει τῷ παιδὶ ταῦτα πολλῷ τῷ τάχει.
Ἐν οὐρανῷ αἰθρίας γὰρ τοιαύτης γεγονυίας,
διὰ θαλάσσης Ἀχιλεὺς πέμπει ὠνεῖσθαι ὅπλα
ὁπλοποιῷ οἱ λέγουσι τὰ Ἀχιλεῖ συμβάντα·
ὃς ὅπλα, οἷα Ὅμηρος φησίν, ἐξειργασμένος,
ἀπεμπολήσας δίδωσι τούτοις ἀποκομίζειν.
Ἐπεὶ τὸ πῦρ, ὁ Ἥφαιστος καὶ πᾶς πυρὸς ἐργάτης,
καὶ ὅσαι ὗλαι τοῦ πυρός, κατὰ μετωνυμίαν,
διὰ θαλάσσης δ' Ἀχιλεῖ ἀπεκομίσθη τότε,
ἀνέπλασαν τὴν Θέτιδα πρὸς Ἥφαιστον ἐλθοῦσαν
πᾶν τὸ συμβὰν τῷ Ἀχιλεῖ λεπτομερῶς εἰποῦσαν,
καὶ πανοπλίαν ἀρίστην ποιῆσαι ἐξαιτῆσαι,
τὴν ἣν καὶ ἀπεκόμισε τῷ Ἀχιλεῖ λαβοῦσα.
Ταῦτα πανσόφως Ὅμηρος περὶ τοῦ Ἀχιλέως
συγγεγραφὼς ὡς γέγονεν, ἀλληγορῶν τε ἅμα,
πλὴν ἐν ἀλληγορήματι πραγματικῷ ῥητέρων,
παίζων καὶ φυσικεύεται περὶ κοσμογενείας,
ἀλληγορῶν στοιχειακῶς ἅπαν τὸ νῦν χωρίον.
Ἐν τοῖς ἀκαταλήπτοις γὰρ οὕτω χρεὼν συγγράφειν,
οὐ μὴν προδήλως γράφοντα κομπάζειν ἐψευσμένως.
Καὶ σκόπει πᾶσαν ἀκριβῶς τὴν νῦν ἀλληγορίαν.
Κἄνπερ ὁ πάνσοφος ἀνήρ, τῷ σπεύδειν λεληθέναι,

(505) Il. 18, 457.
(512) A, διδοῦσιν.
(515) B, sine τότε.
(519) A B, λαβοῦσαν.
(528) A, τὸ σπ. λελυθέναι. B, τῷ λεληθέναι, et sic v. 646. Similis sonus vocalium υ η. Sic Φ, 246 ἀναρρωννήσαν et ἀναρρωνῦσαν. Similis et vocalium υ οι, υ ει. Auctor Christi Patientis, Choro Deiparam alloquente v. 598: Πάγκλυτε, παγκαλλίστα κούρη, παρθένε. Vix potuit poeta, quamvis nonnunquam paulo negligentior, primo loco ponere trochæum, quarto spondæum. Codex A πάγκλυτε

λέγῃ τὰ πρῶτα ὕστερον, τὰ δ' ὕστερα προτέρως
καὶ συστροβῇ τοὺς γράφοντας καὶ τριλεγεῖν ποιῇ δε,
ἡμῖν δὲ κατ' εὐκρίνειαν τὴν τάξιν τηρητέον.
Ἥφαιστος νῦν, ἤτοι τὸ πῦρ, εἰσφέρεται Ὁμήρῳ
λέγων περὶ τῆς Θέτιδος, ὑδάτων τῶν ὀμβρίων·
« Ἐν τῷ ἐμῷ οἰκήματι ἦλθε θεὰ μεγίστη,
« ἥπερ με σέσωκε ποτὲ μέλλοντα κινδυνεύειν.
« Χωλὸς γὰρ ὤν, καὶ τῆς μητρὸς θελούσης με συγκρύπτειν,
« κατέπεσον· ἡ Θέτις δὲ σώζει καὶ Εὐρυνόμη·
« ταῖς αἷσπερ παρεχάλκευον εἰς χρόνον ἐνναέτη
« πορπὰς γναμπτὰς καὶ ἕλικας, καὶ κάλυκας καὶ ὅρμους
« ἐν σπηί· ῥοῦς δ' ὠκεανοῦ ἀφρῷ μορμύρων ῥέεν ».
Ἔρεβος εἶναι κατ' ἀρχὰς καὶ χάος δογματίζει·
αέρος κινηθέντος δέ, ὅπερ ὁ Ζεὺς τυγχάνει,
καὶ συμμιγέντος δὲ αὐτοῦ τῇ Ἥρᾳ λεπτυνθέντος,
καὶ πῦρ χωλόν τε καὶ ὑγρὸν καὶ ἀτελὲς ἐξέρρει,
ὃ πίπτον εἰς τὴν θάλασσαν, ὂν πλῆρες καὶ πνευμάτων,
ἐνναετῶς ἐχάλκευεν, ἤτοι πολλοῖς ἐν χρόνοις,
πρὸς τὸ πυρῶδες ἐξορμῶν πόσας στροφὰς ἐποίει,
πόσα δ' ἐκπυρηνίσματα σχήμασιν ἐν μυρίοις,
ἐν πόσῳ δὲ τῷ πνεύματι τὸ ὕδωρ συνεστρέβει,

quidem, sed amplector G. Dindorfii emendationem πάγκλειτε: amplector et πάγκάλλιστε ab alio viro d. propositum, favente etiam aliquatenus accentu codicis A, παγκάλλιστα. Est etiam aut esse videtur spondæus in quarto loco versus 460: Μὴ δὴ παρέλθῃς σίγα δούλην μητέρα. Codex A, σίγα. Sed omnino scribendum σῖγα. Paulo superius advertit oculos v. 458: Ἐξέψομαί σοι, τέκνον; ἢ μενῶ σ' ἔτι; sic codex. Fere malim dividere aliter syllabas, ἢ μενῶ σέ τι; magis placent integra pronomina duo σοι σε. Morabatur me etiam alibi adverbium ἔτι, scilicet v. 254: Ἔτ' εἰς ἀγῶνας σύ τε καὶ μιαιφόνοι. Sed satisfecit omnino tentamen editoris doctissimi, ἔτ' εἰσ' ἀγῶνές σοί τε καὶ μιαιφόνοις, quod firmat Medeæ v. 361: ἔτ' εἰσ' ἀγῶνες τοῖς νεωστὶ νυμφίοις.

(529) A, λέγει.

(530) A B, συστροβεῖ—ποιεῖ.

(539) A, πόρσας. A B, γναπτάς. A, ἕλυκας. Cf. supra ad v. 301.

(540) De ῥέεν non dubitandum. Servavit Tzetzes ipsa poetæ verba Il. 18, 403.

(544) A, ἐξαίρει.

(548) B, ἐκπυρρηνίσματα. Cf. Υ, 120.

ὡς ἀφριᾷν μορμύρειν τε, καὶ ἀναβράζειν οἷον.
Λοιπὸν ὁ κόσμος, ὁ Πηλεὺς (πηλεὺς ἦν ἀληθείᾳ),
ὑγροῦ ἀέρος ζοφεροῦ πέριξ κυκλοῦντος τοῦτον,
ἐν δὲ πλευραῖς τῆς Θέτιδος, θαλάσσης, συγκοιτούσης,
ἀμφοῖν δὲ παῖς ἦν Ἀχιλεὺς, γῆς φύσις ἀκαρποῦσα.
Δένδρα τινὰ καὶ ζῶα γὰρ, καὶ ἕτερα μυρία,
γινόμενα ἐφθείρετο τῷ ζοφερῷ ἀέρι,
ἕως ὁ Ζεὺς, ὡς λέγουσι, Κρόνον ταρτάρῳ βάλλει.
Οὕτως ἐγήρα μὲν Πηλεὺς ὃν ἔφημεν, ὁ κόσμος,
ἤτοι μακραὶ περίοδοι παρέδραμον τῶν χρόνων.
Ὑπῆρχε δ' οὗτος ὁ Πηλεὺς ἔνικμος καὶ πηλώδης,
ὁ Ἀχιλεὺς ὁ τούτου δὲ ἄτιμος παῖς ὑπῆρχε
καὶ ἄνοπλος, σύναμα δὲ γυμνὸς τῆς εὐκαρπίας,
παντός τε ὡραΐζοντος κενὸς, ἐστερημένος.
Τίς δ' Ἀχιλεὺς καθέστηκεν, ὁπόσον τῆς γῆς μέρος·
πολλοὺς χιλοὺς τε καὶ καρποὺς, πᾶσαν τροφήν τε φέρει,
τότε δ' ὑπῆρχεν ἄκαρπος καὶ ἀχιλεὺς τῷ ὄντι,
ἐπεὶ λελυπημένος δὲ, νῦν οὐ Πατρόκλου χάριν,

(551) Tzetzes Exegesi p. 42 : συνέβη τῷ Πηλεῖ, τουτέστιν τῇ γῇ πηλώδει πρῶτον κατὰ Ἀναξαγόραν φανείσῃ, μιγῆναι τὴν Θέτιν, ἤτοι τὴν θάλασσαν, τὸ ὑγρόν.

(552) A, πέρυξ, locus non integer.

(554) Verba γῆς φύσις ἀκαρποῦσα perspicua fient collatis vv. 562, 565, 566.

(557) A, χρόνω. B, βάλλειν.

(562) A, ἄοπλος σὺν ἅμα. B, συνάμα. Junctim scribunt συνάμα vel σύναμα. Tzetzes Chil. 1, 602 : Εὔκλων καὶ Πεισιρρόθιος σύναμα Λελεγέτῃ. Codex 2644, συνάμα. Scripsi σύναμα ut Proleg. v. 586, constantiæ causa vel in re tantilla. In Theocrito 25, 126 plurimæ editiones exhibent συνάμα, Ameisiana σύναμα.

(565, 566 Absunt ab A. Manifesto mendo B, Ἀχιλλεύς. Tzetzes enim ubique voluit Ἀχιλεὺς scribi, hic præsertim. Monui, ad Proleg. 218.

(567) Verbis οὐ Πατρόκλου χάριν alludit non inepte ad proverbium Πατρόκλου πρόφασιν, de quo inter alios Salmasius ac Bodenus ad Achillem Tat. 2, 34 : Πάτροκλον πρόφασιν, ἀναμνησθεὶς Χαρικλέους. Moneo obiter in Veneto 409 non reperiri Πάτροκλον πρόφασιν. Manasses Chron. 4450 : Πάτροκλον ἦλθεν πρόφασιν εὔλογον. Ibi Fabrotus remittit lectorem Gloss. ad Nicetam ; Gloss. autem ad Nicetam remittit ad Meursium. Id est brevitate abuti, re optima. Dicendum fuit : V. Meursium Glossario Græcobarbaro in Πάτροκλος. Theodorus Hyrtacenus Epist. 78 : νυνὶ δὲ, καὶ

Ὁμήρου δ' ἀστεΐσμασιν, ἕνεκα παγκαρπίας
καὶ πάσης πανοπλίας γε μέγιστον ᾤμωξέ τι.
Τὸ μὲν πυρῶδες ἔνυγρον πίπτον ἐν τῇ θαλάσσῃ
ζάλην καὶ θροῦν, καὶ συστροφὰς, ἃς εἴπομεν, ἐποίει.
Ἐπεὶ δὲ καὶ μυκήματα τῆς γῆς ἀπετελέσθη,
ξηραινομένου τοῦ ὑγροῦ κινήσει τῶν πνευμάτων,
ἐκβράττεται καὶ θάλασσα ῥόχθῳ πρὸς γῆν μεγάλῳ,
ὅπερ κατάσχεσις χειρός ἐστι τοῦ Ἀχιλέως
καὶ κεφαλῆς ἐφάπτεται, μερῶν τῶν ὑπερτέρων·
καὶ Νηρηΐδες αὖθις μὲν χωροῦσι πρὸς Νηρέα,
ὕδωρ τὸ παχυθάλασσον εἰς κοίτην τὴν οἰκείαν·
αὐτὴ δὲ Θέτις, τὸ λεπτὸν καὶ εὐθεσίας ὕδωρ,
συγκρατικόν τε τοῦ θερμοῦ, πρὸς οὐρανὸν ἀνῆλθε·
μέλλον δ' εἰς πῦρ μεταβαλεῖν πρῶτον ἀπῃωρήθη,
εἶτα καὶ ᾐθερώθη δὲ, ὅπερ ὁ μῦθος λέγει
περιπλοκὴν τῆς Χάριτος τῆς γυναικὸς Ἡφαίστου,
εἰσαγωγὴν πρὸς οἶκον τε καὶ ξένισμα πρὸς θέσιν,
ἕως ὁ Ἥφαιστος, τὸ πῦρ ἀφεὶς καὶ τὸ χαλκεύειν,
ἔλθοι καὶ μάθοι παρ' αὐτῆς τίνος ἀνῆλθε πέρι.
Τρίποδας γὰρ ἐείκοσιν ἐχάλκευε τῷ τότε,

τὸ τῆς παροιμίας, ἔχεις Πατρόκλου πρόφασιν. Anna Comnena Alexiade 3, p. 73: Πάτροκλον πρόφασιν ταῦτ' ἐσχηκώς. Ibi Cangius. Adde Corayum ad Heliodorum p. 36. Utantur genitivo et accusativo.

(568) A, ἀστερήμασι.

(569) B, τέ. A, ὤμωξέ τει.

(572) A, μυκήματος. B, μυκημάτων. Correctio fuit facienda.

(576) Cf. Il. 18, 71. Sed κατάσχεσις ubi χειρός? Videtur cogitasse de loco alio v. 423, ubi de Vulcano ad Thetin accedente: Ἔν τ' ἄρα οἱ φῦ χειρί. Vide infra 615. Modo A, ῥόχω. Cf. Σ, 105.

(577) Cf. Il. 18, 145.

(578) A, παχυθάλασσον, quod praetuli lectioni B πολυθάλασσον, ob oppositionem quae sequitur, λεπτὸν τὸ εὐθεσίας ὕδωρ. Cf. ad v. 221.

(581) B, ἀπηερώθη. A, ἀπηθερώθη. Sed sequitur statim ᾐθερώθη. Inde correxi ἀπῃωρήθη. Cf. ad v. 264.

(583) Cf. Il. 18, 382...

(584) A, ξέν. πρὸς οἶκον. Esse θέσιν puto sessionem Thetidos, cui Charis sedile exhibet officiosa. Cf. Il. 18, 389.

(583) Cf. Il. 18, 410...

(587) Sumsit ipsa verba Homeri Il. 18, 373, ne mutato quidem ἐείκοσιν, quae forma orationi suae non convenit. Conferatur v. 473.

ἀπειρομέτρων ἀριθμοῖς λέγω κινήσεις χρόνων.
Τὸ γὰρ θερμὸν ὑπέστησε καὶ κόσμον καὶ τὸν χρόνον.
Τὸ « εὐσταθὲς δὲ μέγαρον » ἅπας ἐστὶν ὁ κόσμος,
τὰ « κύκλα δὲ τὰ χρύσεα » τὰ τρίποδας κινοῦντα
ὁ σφαιροδρόμος ἥλιος καὶ χρόνους ἀπαρτίζων.
« Θεῖον ἀγῶνα » λέγει δὲ τοὺς σφαίρας περιδρόμους,
δι' ὧνπερ αἱ τριμέρειαι τῶν χρόνων συμπληροῦνται,
καὶ πάλιν ἀνακάμπτουσιν ἐξ ὑπαρχῆς ἑτέρας.
« Ὦτα » δ' αὐτοὺς τοὺς τρίποδας λέγει μὴ ἔχειν ἔτι,
ταῦτα κατασκευάζειν δὲ τὸν Ἥφαιστον τῷ τότε·
οὔπω γνωστὸν καὶ ἀκουστὸν κίνησις ἦν ἡλίου,
ὑφ' οὗ τρισσάκις ὁ ἀὴρ τῷ ἔτει μετατρέπει·
ἔμελλε δ' ἤδη γίνεσθαι τοῦτο, καθὼς ἐρεῖ σοι,
παίζων δὲ, τὴν Ἀχίλειον ἀσπίδα καταλέγων,
κόσμου παντὸς τὴν σφαίρωσιν, ἣν μετ' εὐτάκτου δρόμου
περιπολῶν ὁ ἥλιος πάντα γεννᾷ καὶ τρέφει.
Οὕτως ἡ Θέτις Χάριτι συνῆν καὶ συνετρύφα,
τὸ ὕδωρ ἐλεπτύνθη δὲ καὶ ἤδη ἠθεροῦτο.
Ἐξ ἀκμοθέτου δ' Ἥφαιστος ἀνασκιρτᾷ μεγάλως,
χωλεύων, τούτου πόδες δὲ ἀσθενεστάτως ὥρμων·
μακρόθεν θεὶς δὲ τοῦ πυρὸς τὰς φύσας, ὅπλα πάντα
ἐς ἀργυρᾶν τὴν λάρνακα θεὶς, καὶ λελαμπρυσμένος,
καὶ βακτηρίαν δὲ λαβὼν, ἐξέδραμε χωλεύων.

(588) A B, ἀριθμοῦ.
(590) Cf. Il. 18, 374, et supra v. 480, eadem dixerat homo tædiosus.
(592) A, σφεροδρόμους.
(594) Cf. supra v. 488.
(595) A, ἀπαρχῆς.
(596) Cf. Il. 18, 378.
(599) A B, τρισάκις.
(603) A, περὶ πολλῶν.
(605) B, A, δέ.
(606) Cf. Il. 18, 410. In A fit inde saltus ad v. 618, propter versus hujus iterationem.
(607) Cf. Il. 18, 411.
(609) B, λελαμπρυσμένην, quod mutavi. Ipse est λελαμπρυσμένος, scilicet vultu absterso et pectore, tunicamque indutus. Cf. Il. 18, 414, ac supra v. 306, præsertim infra 622, ubi λαμπρυσμὸς de Vulcani munditiis.

Χρυσαῖ θεραπαινίδες δὲ προέβαινον ἐκείνου
ζώσαις καλαῖς νεάνισι τοῖς πᾶσιν εὖ εἰκυῖαι,
αἷς νοῦς καὶ σθένος καὶ φωνὴ καὶ ἀθανάτων ἔργα.
Αὗται προεπορεύοντο, οὗτος δ' ἐλθὼν κατόπιν
πλησίον ἤδη Θέτιδος, καὶ τῆς χειρὸς λαμβάνει
κα', κατακούσας ταύτης δὲ, ποιεῖ τὴν πανοπλίαν.
'Εξ ἀκμοθέτου δ' Ἥφαιστος ἀνασκιρτᾷ μεγάλως·
ἐκ δὲ τοῦ ὑπεκκαύματος καὶ αἰθερίου τόπου
χωλὸν καὶ ἀδιάρθρωτον ὥρμησε πῦρ ἐκπνέειν
συγκερασθὲν δὲ τῷ ὑγρῷ, ὁ λάρναξ ἀργυρέα,
καὶ συνεδρία Θέτιδος, ταύτης χειρός τε σχέσις,
καὶ βακτηρίας στηριγμὸς, καὶ λαμπρυσμὸς ὡσαύτως.
Αἱ δὲ χρυσαῖ νεάνιδες, αἱ τούτῳ προπολοῦσαι
αἵ τε θερμαὶ καὶ θρεπτικαὶ καὶ ζωογόνοι φύσεις.
'Ο οἶκτος δὲ τῆς Θέτιδος τοιόνδε τι τυγχάνει·
μένον τὸ ὕδωρ τῷ θνητῷ Πηλεῖ, τῇ γῇ, ἐζύγη,
ἐν ᾗπερ ἔστι πᾶν θνητὸν καὶ τῆς φθαρτῆς οὐσίας·
τὰ τῶν στοιχείων δὲ λοιπὰ τοῖς θεοῖς γειτνιῶσι.
« Καὶ νῦν ὁ γέρων οὗτος μὲν κεῖται βλαβεὶς τῷ γήρει,
« ὁ δὲ υἱός μου Ἀχιλεὺς νῦν δεῖται πανοπλίας ».
Λοιπὸν ὁ Ἥφαιστος αὐτῷ τεύχει τὴν πανοπλίαν·
ἤτοι μακραὶ παρέδραμον περιστροφαὶ τῶν χρόνων
καὶ κόσμος κατερράγη δὲ καὶ γῆς ἦν ἀκαρπία,
καὶ τῶν στοιχείων δὲ δεινὴ σύγχυσις πεφυρμένη,

(612) B, ἐφεικυῖαι. Correxi εὖ εἰκυῖαι. Pronunciatio fere similis sæpe permutationem parit syllabarum εὖ ἐφ, αὖ, αφ. Inde scriptum in Anecdotis Bekkeri p. 362, O, καφθείσης pro καυθείσης; ἀνακαυφθεὶς pro ἀνακαυθεὶς in Notit. mann. t 5, p. 388; αὔξησιν pro ἄφιξιν in Leone Diacono 8, 9; ἄφθευρον pro αὐθώρει in Synesio De regno p. 18 D.

(619) A, χαλκόν. Cf. supra v. 465.

(621) A, συνεργεια. A, στηρισμός.

(622) A B, βακτηρία. Scripsi βακτηρίας. Litteræ similes vicinitate sibi nocent sæpissime. Cf. Il. 18, 416.

(625) A, τοιοῦτον τί. Cf. oratio Thetidis, Il. 18, 432; ac supra v. 315

(626) A, ἐφάνη.

(629) Cf. Il 18, 434.

ἕως τὸ φλέγον, κερασθὲν οἷς εἶπον τανῦν τρόποις,
πῦρ, ὕδωρ, γῆν, ἀέρα τε ποιοῖ καὶ τὸν αἰθέρα,
καὶ πάντα συνεστήσατο, συντόμως φάναι, κόσμον
διηρθρωμένον κάλλιστα, ὡς τοῦ ἡλίου πλέον
τηροῦντος δρόμον εὔτακτον ἀεὶ περὶ τὴν σφαῖραν,
καὶ πᾶν φυτὸν ἐκτρέφοντος καὶ πᾶν ζωογονοῦντος,
καὶ τὰς μυρίας δὲ τροφὰς πᾶσι διδοῦντος ζώοις.
Τὴν πανοπλίαν Ἀχιλεῖ ταὐτὴν τῷ κόσμῳ τεύχει.
Ἀλλὰ καὶ πᾶν τὸ χρήσιμον λεκτέον τοῦ κειμένου,
ὅσον εἰς ἀλληγόρημα τῶν χρειωδῶν τυγχάνει.
Ἂν δὲ πολυλογήσωμεν, τὸν Ὅμηρον αἰτιᾶσθε,
πολλῇ πυκνώσει τῶν φρενῶν, τῷ σπεύδειν λεληθέναι
πρωθύστερά τε γράφοντα καὶ πάλιν συμμιγνύντα,
καὶ τῷ κεκαλυμμένῳ δὲ τῶν νοημάτων βάθει
τὸν Τζέτζην περιτρέποντα γράφειν ἁπλῶς, συντόμως,
καὶ τότε τῷ σχεδίῳ δὲ τῷ λόγῳ συντιθέντα
ἅπερ οὐδεὶς ἐτόλμησεν, οὐ παλαιός, οὐ νέος,
εἰ μή πού τις, ἐκ τῶν ἐμῶν μεταποιήσας ταῦτα,
πρός τινα τερατεύσοιτο αὐτὸς συντεθεικέναι,
ὡς καὶ λοιποῖς συγγράμμασι δρῶσιν ἐμοῖς πολλάκις.
Ὅτι δ' οὐδεὶς ἐτόλμησεν ἀλληγορῆσαι τάδε,
ὁρᾶτε τὸν Ἡράκλειτον, καὶ τὴν μιμὼ σὺν τούτῳ,
τὴν ἀλαζόνα σφίγγα δὲ μᾶλλον τὴν ἐπηρμένην,
Κορνούτους, Παλαιφάτους τε πάντας ἀλληγοροῦντας,

(636) A, ποιεῖ.
(638) B, τὸ ἡλίου.
(641) A, δοκοῦντος.
(642) A B, ταύτην. Scripsi ταυτὴν, *eamdem*. Quæ accusativi forma in bonæ ætatis auctore non ferenda foret.
(645) A, αἰτιᾶσθαι. superscripto ε.
(646) Inserui τῶν φρενῶν ex Y, 42.
(650) A B, τότε σχ. Addidi τῷ. De repetito articulo cf. Prol. 342, II, 41.
(656) Nescio quem simiam vocet. Cogitavi de Heraclide illo cujus Allegorias Homericas ediderunt Galeus et Schowius.
(657) A, τὴν ἀνλοζοίαν φίγγα δε.
(658) A, χρονούτους. B, χουρνούτους.

καὶ τὰ ἐμὰ βιβλίδια, τὸ εὐτελές τε τόδε,
οἰκονομίᾳ συγγραφὲν, σπουδῇ τῇ τῆς Ἀνίσσης,
καὶ ὅπερ παρεσπάρη μοι τῆς χρονικῆς μοῦ βίβλου
τῆς ἱστορούσης τεχνικοῖς ἰαμβοῖς τὰ τῶν χρόνων,
ἀλληγοροῦν δὲ σύμπαντα συντετμημένῳ λόγῳ.
Ἀλλὰ δὴ πᾶν τὸ χρήσιμον ῥητέον τοῦ κειμένου.
Φῦσαι τὸ πνευματῶδες μὲν τὸ τοῦ πυρὸς τυγχάνει,
χόανοι τὸ θερμότερον αὐτοῦ καὶ κεραννύον.
Τὸ εἴκοσιν ἐν τρίποσι τοῖς εἴκοσι προέφην
ὡς ὑπὲρ τέλος Ὅμηρος κόσμον καὶ χρόνον λέγει.
Ἀεὶ τῷ πνευματώδει δὲ πυρός τε καὶ τῇ θέρμῃ
μέλλειν κιρνᾶσθαι σύμπαντα σαφῶς σοι δογματίζει.
« Χαλκὸν δὲ βάλλεν ἐν πυρὶ » καὶ τὰς λοιπάς τε ὕλας.
Τῇ θέρμῃ παρυπέστησε τὰ τέσσαρα στοιχεῖα·
ἡ γῆ καὶ θάλασσα, ἀὴρ, πῦρ, ὁ αἰθήρ τε πέμπτος.
Γῆ καθ' ἡμᾶς κασσίτερος (τήκεται γὰρ ὡς οὗτος),
ἄργυρος θάλασσα, ἀὴρ χρυσὸς, αἰθέρος φύσις,
χαλκὸς τὸ πῦρ ἀνώτερον ὂν πέριξ τοῦ αἰθέρος.
Τὸν δ' ἀκμοθέτην νόει μοι πᾶσαν τοῦ κόσμου σφαῖραν,
τὴν ἔτι ἀδιάρθρωτον, καὶ μίγμα τῶν στοιχείων·
ἄκμονα δὲ, τὸ καρτερὸν τῶν ἐσομένων δρόμων,
ῥαιστῆρα, τὴν λεπτύνασαν καὶ διαρθροῦσαν φύσιν,
πυράγραν, τὴν ἐπίσχεσιν καὶ κρᾶσιν τοῦ πυρώδους.
Σάκος δὲ τὸ πεντάπτυχον, ἡ σφαῖρα ἠρθρωμένη·
ἄντυξ, καὶ περιφέρεια, τριπλῆ δὲ, μαρμαρέη,

(661) A, παρεσπάθη· forlasse τῇ χρονικῇ μου βίβλῳ τῇ ἱστορούσῃ.
(665) A B, φύσσαι Cf. Il. 18, 468.
(666) Cf. Il. 18, 470.
(667) Fort. τῷ. προέφην scilicet v. 482.
(671) Cf. Il. 18, 474.
(677) Cf. Il. 18, 476.
(678) B, καὶ μίγμα.
(680) Cf. Il. 18, 477. A B, λεπτύσασαν.
(682, 683) Cf. Il. 18, 479, 480. A, ἄντιξ .. μαρμερέη.

ἀὴρ, αἰθὴρ κατέστηκε καὶ τοῦ πυρὸς τὸ σῶμα.
Ὁ τελαμὼν ὁ ἀργυροῦς ὅστις ὑπάρχει μάθε·
ἀναθυμίασις, ἀὴρ ὁ συγκινῶν τὴν σφαῖραν·
λευκὸς δὲ ὡς ὁ ἄργυρος ἐστὶν ἀὴρ τῇ θέᾳ,
καὶ συγκινεῖ τὴν σφαίρωσιν ἀναθυμίασίς τις,
ὡς ἡ Ὁμήρου πανταχοῦ δεικνύει Καλλιόπη.
Ἀλλὰ περὶ τῆς σφαίρας δὲ φησὶν ὁ Σταγειρόθεν.
Τὰς πέντε πτύχας ἄκουσον πῶς Ὅμηρος νῦν λέγει,
γῆν λέγων, καὶ τὴν θάλασσαν, σελήνην ἀντ' ἀέρος,
ἀντὶ πυρὸς τὸν οὐρανὸν, ἥλιον ἀντ' αἰθέρος.
Ἃ στεφανοῦται οὐρανὸς, τείρεα δέ μοι νόει·
νῦν μοι τὸν δωδεκάζωδον καὶ τὸν ἐκείνου κύκλον
τὰ ἀπλανῆ τῶν ἄστρων δὲ, ὀκτὼ πρὸς τριακάδι,
ὅσα τε Ἕλληνες φαμὲν, καὶ ὅσα διαγράφει
Τεῦκρος ὁ Βαβυλώνιος ἐν τῇ βαρβάρῳ σφαίρᾳ,
ὧν καὶ Πλειὰς καὶ ἡ Ὑὰς, Ὠρίων καὶ αἱ Ἄρκτοι,
ἅπερ κα παρενέγραψεν ὁ Ὅμηρος ἐνθάδε.
Νῦν ταῦτα λέγει τείρεα· τείρουσι γὰρ, ὡς οἶδας,
χειμῶνας ἐπεισφέροντα κα θέρη τὰ καυσώδη.
Μετὰ μικρὸν ὁ γέρων δὲ, παίζων σωφρονεστάτως,
ἐρεῖ τὸ δωδεκάζωδον, γέροντας καθημένους
λίθοις ξεστοῖς ἤτοι στερροῖς ἐν ἱερῷ τῷ κύκλῳ.
Κα πάλιν χορὸν ποίησε κλυτὸς Ἀμφιγυήεις
ᾧ νέοι κα παρθένοι τε χορεύουσι συμμίκτως·

(685) Cf. Il. 18, 480.
(689) Sic Chil 2, 383 : Ὡς ἡ χρυσῆ τετράνωχεν. Ὁμήρου Καλλιόπη.
(690) Fortasse ἄλλα.
(692) A. λέγω. Cf. Il. 18, 483...
(694) Cf Il. 18, 485.
(695) B, νῦν μή.
(696) A, τριηκάδι.
(698) B, τεῦκρος καὶ βαβυλ. De Teucro Babylonio Bibl. Gr. t. 4, p. 166.
(704) Homerus ἐρεῖ Il. 18, 503.
(706) Cf. Il. 18, 590, 593. Sums't ποίησε ex Homero, qui in Scuti descriptione hoc tempore non semel est usus. Nocebat metro ἐποίησε. Non nocebit v. 712.

τῶν γὰρ ζωδίων ἓν παρ' ἓν ἄρσεν ἐστὶ καὶ θῆλυ,
ὡς ἀστρολόγοι λέγουσι, καὶ νῦν ὁ θεῖος γέρων,
πλὴν τοῦ Ὀρφέως πρότερος ὢν πάντων ἀστρολόγων.
Ἀλλ' εἴ τι παρεδράμομεν, λεπτῶς ἀναληπτέον.
Δύο τὸ πῦρ ἐποίησε πόλεις ἀνθρώπων, λέγει.
Τὸ πῦρ πάντα διήρθρωσε καὶ ἄστρα καὶ ἀστέρας,
δύο ἀφ' ὧν ἐγγίνονται βροτοῖς περιπολήσεις,
ἡ εὐτυχὴς καὶ δυστυχὴς ἑκάστου γενεθλίῳ,
καὶ ταῖς λοιπαῖς δὲ καταρχαῖς αἷς τί τις πράττειν θέλει.
Τὴν εὐτυχῆ δεικνύει σοι, γάμους καὶ τἄλλα λέγων,
καὶ τοὺς φιλονεικοῦντας δὲ κρίσει τὸ νεῖκος λύειν.
Κρίνεσθαι δὲ καὶ γίνεσθαι ταῦτα φησὶ τὰ πάντα,
τῶν δώδεκα τῶν θαυμαστῶν γερόντων καθημένων,
Κριοῦ, Ταύρου, Διδύμων τε, Καρκίνου Λέοντός τε,
Παρθένου ἅμα καὶ Ζυγοῦ, Σκορπίου καὶ Τοξότου,
αὐτοῦ τε Αἰγοκέρωτος, Ὑδρόχου καὶ Ἰχθύων·
περιτρεχόντων πανταχοῦ τῶν πέντε δὲ κηρύκων
τῶν σκηπτροφόρων ὧν φησι, τῶν καὶ μεγαλοφώνων,
ἤγουν ὧν σθένος μέγιστον, οἳ καὶ περιθρυλλοῦνται
ὡς δεῖ με παῖξαι καὶ μικρὸν τῶν μανδατωριτζίων·
Κρόνου, Διὸς καὶ Ἄρεως, Ἀφρογενοῦς Ἑρμοῦ τε.
Δύο χρυσοῦ δὲ τάλαντα, ἥλιος καὶ σελήνη,
οὓς ἀστρολόγοι βασιλεῖς λέγουσι τῶν ἀστέρων,
ἅπερ ἐν μέσῳ ἔκειντο λῆψις εὐθυδικοῦσι.

(712) Cf. Il. 18, 490.
(713) A B, πᾶν. Scripsi πάντα.
(714) A, δι' ὧν ἀφ' ὧν.
(717) Homerus δεικνύει Il. 18, 491.
(718) Cf. Il. 18, 497.
(720) De numero senum tacet poeta.
(722) B, ἅμα δέ.
(724) Nec præconum numerum quotus fuerit declarat poeta Iliade 18, 503.
(725) A, ὧν. B ὧν.
(727) Μανδατωριτζίων diminutive pro μανδατώρων. Cf. N. ad iota, v. 71.
(729) Cf. Il. 18, 507.
(731) Fortasse εὐθυδικοῦντι. Homerus: Τῷ δόμεν ὃς μετὰ τοῖσι δίκην ἰθύντατα εἴπῃ.

Τῶν πέντε ὧνπερ εἴπομεν ἀστέρων πλανωμένων,
τῶν ἀγαθῶν ὑπάρχουσιν ὁ Ζεὺς καὶ Ἀφροδίτη,
φθοροποιοὶ καὶ βλάπτοντες ὁ Κρόνος δὲ καὶ Ἄρης·
Ἑρμῆς συνὼν δὲ ἀγαθοῖς ἐς πλέον ἀγαθύνει,
τοῖς βλαπτικοῖς συντρέχων δὲ τὸ βλάβος ἐπιτείνει.
Οὕτοι δὲ, περιτρέχοντες τὸν ζωοφόρον κύκλον,
ἀμοιβαδὶς δικάζουσιν ἄλλοτε ἄλλα δρῶντες.
Ὅταν δ' οἱ φῦλοι ἀγαθὰ δρῶσι τοῖς γενεθλίοις
καὶ καταρχαῖς πραγμάτων δὲ πάντων τῶν ἐν τῷ βίῳ,
καὶ οἱ χρηστοὶ παγκάλλιστον ἂν ὦσι δεδρακότες,
τοῦτο ποιοῦσι τὸ χρηστὸν τὸ μέγιστον τῷ τότε,
χρυσᾶ λαβόντες τάλαντα δύο, τὰ λελεγμένα,
ἤγουν παραμεσάζοντος ἡλίου καὶ σελήνης,
καὶ ζυγουλκούντων ἄριστα σοφῇ ταλαντουργίᾳ.
Δύο στρατοὶ δὲ εἵατο πρὸς τῇ ἑτέρᾳ πόλει.
Τὴν ἐκ περιπολήσεως ἀστέρων εὐτυχίαν
εἰπὼν, τανῦν δυστυχῆ μοῖράν σοι καταλέγει,
πολέμους καὶ διαρπαγάς· ἐν δὲ τῷ λέγειν τοῖσδε
χρυσοῦν ὁμοῦ τὸν Ἄρεα καὶ Ἀθηνᾶν ὑπάρχειν,
καλὸν βουλαῖς ὑπερμαχεῖν ὑπὲρ πατρίδος λέγει.
Τὰ πάντα τῇδε σοι σαφῆ μοίρας δυστυχεστάτης.
Τὰ ὡρισμένα μόνα δὲ ὁ Τζέτζης ὀβελίζει·
οἶον ποιμένες δύο τε καὶ τέσσαρες ποιμένες,
καὶ πάντα δὲ τὰ ὅμοια· πραγματικὰ εἰσὶ γαρ.
Οὐ μὴν ἀλληγοροῦνται καὶ τάλαντα τὰ δύο

(738) A, ἀμοιβαδίς. Il. 18, 506.
(741) B, οἱ χρηστον.
(742) B, τῶν τότε. A, τῷ τότε.
(743) A, βάλλοντες.
(744) B, παρὰ μεσάζοντος.
(746) B, ἑσπέρα. Cf. Il. 18, 509.
(750) A, χρυσον. Il. 18, 516.
(751) A. λέγειν.
(752) B, πάντα ταῦτα δέ.
(754) Conf. Il. 18, 525, 578.

καὶ πέντε πτύχες, καὶ λοιπὰ τῶν ἀλληγορουμένων.
Τὸ « ἐν δ' ἐτίθει δὲ νεῖον » καὶ τὰ λοιπὰ δε ταῦτα
δεικνύουσι σαφέστατα ὅτι καὶ γεωργία
καὶ βίος δὲ ποιμενικὸς, καὶ αἱ λοιπαὶ δὲ τέχναι
ἐκ τῆς περιπολήσεως γίνονται τῶν ἀστέρων,
τὴν ἣν περιπολεύουσι τὸν ζωογράφον κύκλον·
ὃν κύκλον Ἥφαιστος ποιεῖ χορείοις τῶν ἀστέρων,
ἐν ᾧ περιπολεύουσι παρθένοι τε καὶ νέοι.
Τὸ πρὶν σαφῶς εἰρήκειμεν πάντα σοι περὶ τούτων.
Κνωσσὸν δὲ νῦν καὶ Δαίδαλον ὁ Τζέτζης ὀβελίζει
καὶ στίχους ἄλλους ὡς ὀκτὼ μέχρι τοῦ στίχου τοῦδε·
« περὶ χορὸν δὲ ἱμερτὸν πλῆθος εἱστήκει τόσον »,
τοῦ ζωοφόρου κύκλου δὲ πλῆθος ἀστροθεσίας.
Οἱ δύο πάλιν ὀρχησταὶ, ἥλιος καὶ σελήνη.
Ὠκεανὸν δὲ ἔθετο ἄντυγα τῇ ἀσπίδι·
τοῦ κόσμου τέρμα γὰρ παντὸς ὠκεανὸς τυγχάνει.
Ἐπεὶ δὲ σάκος ἔτευξε μέγα τε στιβαρόν τε,
ἔτευξε καὶ τὸν θώρακα λαμπρὸν πυρὸς ἐς πλέον.
Ὅρα τὸν χρυσογέροντα πῶς παίζει νῦν δι' ὅλου.
Πέντε τοῦ κόσμου γὰρ εἰπὼν, τοῦ σάκους, εἶναι πτύχας,
πῦρ, ὕδωρ, γῆν καὶ θάλασσαν, καὶ πέμπτον τὸν αἰθέρα,
καὶ θώρακα τοῦ κόσμου δὲ, νῦν Ἀχιλέως, λέγει

(757) A B, πτύχας.
(758) Cf. Il. 18, 541.
(760) B, ποιμενητικός.
(761) A, καὶ τῆς.
(763) B, χορείης. A, χορείοις.
(764) Cf. Il. 18, 593.
(765) A, εἰρήκαμεν, scilicet v. 707. B, εἰρήκειμεν. Cf. ad II, 124.
(766) Cf. Il. 18, 591, 592.
(768) Cf. Il. 18, 603. A, χωρόν. B, πόσον.
(770) A, ὀρχισταί. Cf. Il. 18, 604.
(771) Cf. Il. 18, 606.
(772) B, ὠκεανοῦ.
(773) Cf. Il. 18, 608.
(774) Cf. Il. 18, 609 : φαεινότερον πυρὸς αὐγῆς. Tzetzicum πυρὸς ἐς πλέον idem est ac μᾶλλον πυρός· sic Ω, 36, παχυνθεὶς ἐς πλέον· 42, νυκτὸς μελάντερον ἐς πλέον, et 129, ἐπὶ πλέον : Α, 151, πρὸς πλέον.
(775) Cum χρυσογέροντα confer Ὅμηρος γέρων ὁ χρυσοῦς, Γ, 64.
(776) Homerus εἰπὼν Il. 18, 481.

τὸ μέρος τὸ αἰθέριον, τὸ πῦρ δὲ κόρυν τούτου,
τὴν γῆν κνημῖδας τούτου δέ, δῆθεν ἐκ κασσιτέρου.
Ἐπεὶ τὰ ὅπλα πάντα δὲ ὁ Ἥφαιστος ἦν τεύξας,
ἔμπροσθεν ταῦτα τέθεικε μητρὸς τοῦ Ἀχιλέως.
Ὡς ἴρηξ αὕτη δ' ἥλατο κομίζουσα ἐκεῖνα.
Ἐπεὶ πῦρ γοῦν ὑπέστησε κόσμου παντὸς τὴν θέσιν,
τὴν γῆν ἐξαπικμάσαν μὲν τῇ ζέσει τῇ πυρφόρῳ,
μετεωρῆσαν ἄνω δὲ τὸν ἔνυγρον ἀέρα
ἐς πλέον τὸν αἰθέρα δὲ καὶ φύσιν τὴν τῶν ἄστρων,
ὄμβροι τε κατεφέροντο καὶ Ἀχιλεὺς ὡπλίσθη,
ἐξ ἀκαρποῦντος πάγκαρπος, πολυχιλεὺς δειχθείς τε.

(779) Cf. Il. 18, 610 ..
(783) A, εἵλατο. B, ἥλλατο. Cf. Il. 18, 615.
(784) A B, ἐπεί περ γοῦν ὑπέστησε. Scripsi πῦρ.
(785) A B, ἐξαπικμάσαρ ἐν.
(786) A, μετεωρῆσαν. B, μεταιωρῆσαν.
(787) A, ἐς πλέον τὴν ἑσπέραν.
(789) Cf. supra v. 566.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Τ (*).

Παρὰ Ἡφαίστου Ἀχιλεῖ Θέτις κομίζει ὅπλα,
ὃς τὴν εἰς Ἕλληνας ὀργὴν εὐθέως ἀπορρίψας,
καὶ τὰ παρ' Ἀγαμέμνονος εἰσδεδεγμένος δῶρα,
ἀριστησάντων τῶν λοιπῶν, νήστης αὐτὸς ὑπάρχων,
ὁπλίζεται πρὸς πόλεμον. Ξάνθος ὁ τούτου ἵππος
θάνατον προμαντεύεται. Ταῦτα μὲν οὕτως ἔχει·
ἤδη τὰ τοῦ κειμένου δὲ λοιπόν μοι μοχλευτέον.

Ἠώς ἐστι « κροκόπεπλος », λαμπρὰ καὶ ποικιλείμων·
τὸ φῶς τοῖς ἀθανάτοις δὲ καὶ τοῖς βροτοῖς εἰσφέρον
στοιχείοις καὶ ἀνθρώποις νῦν ἐμφανέστατα λέγει.
Θέτις δ' ἐς νῆας ἵκανε θεοῦ φέρουσα δῶρα·
τῷ Ἀχιλεῖ δὲ ἥρωϊ τῷ Θετταλῷ ἐκείνῳ
διὰ θαλάσσης καὶ νηῶν προσήχθη πανοπλία
ἔργον θεοῦ τυγχάνουσα, ἤτοι σοφοῦ τεχνίτου,

(*) Lemma in B ; ἀρχὴ τῆς Τ Ὁμήρου ῥαψῳδίας. Sed altera manus pro Τ rescripsit Φ. Etenim fit saltus a libro Σ ad librum Φ. Superest mihi nunc unus codex A. Nam in C perierunt folia plurima, quibus finis libri Σ a versu 452, liber Τ integer, et libri Υ maxima pars ab initio ad versum 336.

(2) A, εἰς τήν. Scripsi ὃς τήν.

(7) κειμένου μοι Pro μοι scripsi δὲ ob sequens pronomen.

(8) De ἐστι an bene legerim dubito. Videtur posse etiam legi ἔτι. Cf. Il. 19, 1.

(9) A, εἰσφέρον. Locus est fortasse sanus, licet obscurior. Articulus non ad φῶς referendus, sed ad εἰσφέρον· τὸ χρῆμα, τὸ κατάστημα εἰσφέρον φῶς ἀνθρώποις. Transpositis verbis sententia foret perspicua magis : τὸ δὲ τοῖς ἀθανάτοις φῶς. Scilicet Homerus λέγει. Cf. Il. 19, 2.

(11) A, δ' ἐ νῆας. Voluit librarius scribere ἐς. Il. 19, 3 : Ἡ δ' ἐς νῆας ἵκανε θεοῦ πάρα δῶρα φέρουσα.

ἢ εἱμαρμένης καὶ θεοῦ δῶρον εἰς Ἀχιλέα.
Τὸ « φῦ χειρὶ » σημαίνει δὲ ὅτι πρακτικωτάτως·
Ἤδη τὰ ὅπλα κατιδὼν ὁ Ἀχιλεὺς οὐ λόγοις
θρήνου τοῦ περὶ Πάτροκλον ἀπέπαυσε καὶ γόων·
ἐτέρπετο τῶν ὅπλων δὲ προσβλέπων ποικιλίαν.
Ἄγαν ἐκπεπληγμένως δὲ βλεπόντων Μυρμιδόνων,
ἐλέγχων νηπιώδεις τε καὶ ἀγενεῖς ἐκείνους,
ἠγριωμένως κατιδών, μέμφεται σφόδρα τούτους.
Αὐτίκα λέγει δὲ ταυτὶ πρὸς τὴν αὐτοῦ μητέρα,
τοὺς τούτῳ προσκομίσαντας διὰ θαλάσσης ὅπλα,
τῆς συνεργούσης Ἀχιλεῖ τρόπῳ μητρός, ὡς ἔφην·
« Ὦ οἱ ἀποκομίσαντες θαλάσσῃ μοι τὰ ὅπλα,
« ἅπερ θεὸς παρέσχηκεν, ἤτοι ἡ εἱμαρμένη,
« ἢ ἃ σοφὸς ἐποίησε δημιουργὸς τεχνίτης,
« τὰ ὅπλα ταῦτα ἔργα μὲν εἰσὶ τῶν ἀθανάτων,
« οὐδὲ βροτὸς ἂν δέδρακε τοιαύτην ὁπλουργίαν.
« Εἶτα ἐξ εἱμαρμένης μοι ταῦτα τῆς τῶν ἀστέρων
« τὰ ὅπλα ἐκομίσθησαν, οἷα θνητὸς οὐ τεύξει·
« τοῖς οἷς ἐγὼ νῦν ὁπλισθείς, χωρήσω πρὸς τὴν μάχην.
« Ηττοῦμαι δὲ τὰ τραύματα μὴ συσσαπῇ Πατρόκλου ».
Οἱ δ' εἶπον· « Πρὸς τὸν πόλεμον πάνυ ταχέως χώρει;
« ἡμεῖς δὲ τοῦτον ἄσηπτον τηρήσομεν ἐντέχνως ».
Καὶ ἀμβροσίᾳ μὲν αὐτοί, φαρμάκοις ἀσηψίας,
ἐλαίῳ πάνυ παλαιῷ καὶ ἐρυθρῷ δὲ οἴνῳ
καὶ τοῖς λοιποῖς κατέχρισαν τὸν Πάτροκλον φαρμάκοις.

(16) Cf. Il. 19, 7. Post hunc versum plurimi sunt omissi, ni fallor.
(19) Conf. Il. 19, 18.
(20) A, ἐκπεπληγμένος. Inde feci adverbium. Cf. Il. 19, 14.
(22) A, ἠγριωμένους. Scripsi ἠγριωμένως. Iratus Myrmidonibus Achilles timidioribus erat: Ὡς εἶδ', ὥς μιν μᾶλλον ἔδυ χόλος.
(25) ἔφην scilicet Σ, 120, 370.
(32) A, τεύξη.
(34) Cf. Il. 19, 24. A, συσαπῇ.
(36) A, τηρήσωμεν.
(37) Cf. Il. 19, 38.

Ὁ δ' Ἀχιλεὺς παρώρμησε τοὺς Ἕλληνας κραυγάζων.
Καὶ τἄλλα πάντα μὲν σαφῆ· τοῦτο τανῦν ῥητέον.
Ἣν ἐν ναυσὶν ἡ Ἄρτεμις ὤφειλε κτεῖναι βέλει,
ἢ λοιμικῷ νοσήματι, εἴθε προανῃρέθη.
Τὰ λοιμικὰ τῶν νόσων γὰρ καὶ τὰ ὀξέα πάντα
ἡλίῳ τε προσάπτουσιν ὁμοῦ καὶ τῇ σελήνῃ.
« Ἀλλὰ Ζεὺς καὶ Μοῖρα καὶ ἠεροφοῖτις Ἐριννύς »,
ἡ εἱμαρμένη τε αὐτοῦ καὶ ἡ ἑκάστου μοῖρα,
καὶ σὺν αὐτοῖς ἡ σκοτεινὴ ἀόρατός τε βλάβη.
Θεὸν καὶ πάθος δὲ ψυχῆς τὴν « Ἄτην » ὀνομάζει.
Καὶ τοῦ Διός φησιν αὐτὴν καὶ εἱμαρμένης παῖδα·
πᾶν ἀγαθὸν καὶ βλάβη γάρ εἰσι τῶν εἱμαρμένων.
Ἄκουε καὶ τὴν ἄτην δὲ ἥπερ ὁ Ζεὺς ἐβλάβη
ἐξ Ἥρας, ὅτε ἔμελλεν ὁ Ἡρακλῆς τεχθῆναι,
καὶ πῶς ἡ Ἥρα λέγεται σχεῖν τοκετὸν Ἀλκμήνης.
Παῖς ἦν τοῦ Ἀμφιτρύωνος ὁ Ἡρακλῆς ἐν λόγῳ,
ἔργῳ Διὸς δέ, ἄνακτος ὄντος καὶ ἀστρολόγου,
ὃς διαφόροις γυναιξὶ πολλοὺς ἔσχηκε παῖδας.
Πρὸς τόκου δ' οὔσης ὑπ' αὐτοῦ ποτὲ καὶ τῆς Ἀλκμήνης,
τὸν Ἡρακλῆ μελλούσης τε τῷ τότε τίκτειν χρόνῳ,
οὔσης ἐγκύου τότε δὲ τούτῳ καὶ τῆς Ἀρχίππης
πλὴν ἀτελὲς ἑπτάμηνον τέκνον τὸν Εὐρυσθέα,
ὁ Ζεὺς ἐκεῖνος βασιλεὺς ὁ μέγας ἀστρολόγος

(40) Cf. Il. 19, 40, 41.

(42) Ante hunc versum videntur nonnulla periisse. Nam foret interpretatio nimis abrupta versus Homerici Il. 19, 59 : Τὴν ὄφελ' ἐν νήεσσι κατακτάμεν Ἄρτεμις ἰῷ. Saltem dicendum fuit de qua fit mentio, Briseisque nominanda. — A, μέλη, vel βέλη.

(46) Versus est integer Il. 19, 87.

(47) αὐτοῦ, ipsius Agamemnonis.

(49) Homerus ὀνομάζει Il. 19, 88.

(50) Cf. Il. 19, 91.

(55) Multa verbis similia in hujus eventus narratione conferantur quam Chiliadi 2, 157, Tzetzes inseruit. Jam Jupiter dictus fuit ἀστρολόγος libro Σ, 179.

(58) A, ὑπ' αὐτῆς. Correxi ex Chiliade 2, 170, ubi est versus integer, cum τότε.

(61) Accusativum cum ἔγκυος sæpius junxit Tzetzes. Vide ad Proleg. 175.

τότε καὶ μόνον ἔψευστο. Ἰδὼν γὰρ τοὺς ἀστέρας
καλῶς κειμένους ἅπαντας καὶ τόποις βασιλείοις,
πρὸς τοὺς ἀστέρας ἀπιδὼν μόνους τοὺς γενεθλίους,
μὴ προσκοπήσας εἰ τεχθῇ τότε δὲ καὶ τὸ βρέφος,
« Θεοὶ σοφοὶ καὶ ἄρχοντες, τοῦτο » φησὶ « προλέγω.
« Ἀλκμήνη τίκτει σήμερον τί δέ; τί; βασιλέα ».
Οὕτω μὲν εἶπεν, Ἡρακλῆ νομίζων γεννηθῆναι.
Μεγαλοσώμου τοῦ παιδὸς τούτου δὲ τικτομένου
καὶ περισχόντος ἅπαντα τῆς μήτρας τὸν ἀέρα,
ὅπερ καὶ Ἥρας κράτησιν ἔφασαν γενεθλίαν·
μᾶλλον καὶ Ἰφικλέους δὲ σὺν τούτῳ τικτομένου,
Ἀλκμήνη δυστοκήσασα μετά τινας ἡμέρας
δεκαμηναῖον τέτοκεν, ἡ δὲ Ἀρχίππη τότε
ἑπτάμηνον ἐγέννησεν ἀστράσι βασιλείοις
τὸν Εὐρυσθέα, καὶ λοιπὸν ἦρχε τοῦ Ἡρακλέους.
« Ζεῦ, πάτερ ἀργικέραυνε », ὦ ἄναξ δέσποτά τε,
δίκην ἀεὶ τῶν κεραυνῶν λαμπροὺς προπέμπων λόγους·

(67) Cf. Il. 19, 101.

(68) A, σήμερον τί δὲ βασιλέα. Addidi τί ut versum implerem. Sed alia latet lectio. Jupiter non sic potuit loqui. Librarius dormitabat.

(71) A, μῆτρας. Scripsi μήτρας ex Chil. 2, 188.

(73) Addidi δὲ ex Chil. 2, 190. Μᾶλλον, Tzetzes ait, quod hanc de Hercule corporis mole aerem uteri absorbente explicationem non facile admitteret. Conf. Σ, 190. Pariter addam δὲ implendo versui quem in codice 396 repertum, ineditum esse opinor, et inserendum Sententiis Menandreis singularibus : Γάμει δὲ τὴν γυναῖκα, μὴ τὴν προῖκα δέ. Substitit librarius in προῖκα. En et ineditum alterum fonte ex eodem : Πολλῶν κακῶν ἡ γλῶσσα γίνεται αἰτία. Corrigendum γίνετ' αἰτία. Transpositio remedium sæpe est optimum, Sententia singularis 336 sic est edita : Μίμου τὰ σεμνά, μὴ μίμου κακοὺς τρόπους. Conjecit Meinek., μὴ κακοὺς μ. τρόπους. Favet codex 396 : μὴ κακὸν μίμου τρόπον. Sed difficilior multo est hujusce medicatio versus Schneiderianæ 269, Meinekianæ p. 299, p. 324 : Καλὸν τὸ νικᾶν, ὑπερνικᾶν δὲ σφαλερόν. « Non est antiqui poetæ versus » Meinekius ait. Nec esse recentioris videtur, nam deleto δὲ, clausula ὑπερνικᾶν σφαλερόν, vel σφαλερὸν ὑπερνικᾶν non aptum loco accentum exhibet. Codex 396, ἀσφαλέστερον quod malum auget. Propono, transpositione facta et additione legendum : Νικᾶν καλόν, σφαλερὸν ὑπερνικᾶν δόκει. Ni forte quærenda sit sententia in Menandri Protectoris Historia, qui est sententiosus.

(78) Conf. Il. 19, 121.

(79) Explicat epithetum ἀργικέραυνε allegorice.

ὡς Ἥρα, περιτίθησι λόγους τινὰς ἀέρι.
Ὄλυμπον νῦν κατάστερον καὶ οὐρανόν σοι λέγει,
εἰς ὃν μὴ πάλιν ἀνελθεῖν ὤμοσε Ζεὺς τὴν Ἄτην.
Τὴν κεφαλὴν, τοῦ λογισμοῦ τὸ ὄργανον ἐκείνου,
κἂν φιλοσόφοις ὄργανον τοῦ λογισμοῦ καρδία
« Θεὸς » νῦν ὁ θυμός ἐστιν, ἡ ζέσις τῆς καρδίας·
ἐν ἀμφοτέροις τοῖς στρατοῖς μένος προσπνεῦσαι λέγει.
« Ἐν μοίρᾳ πάντα ἔλεξας », πρεπόντως, ἁρμοδίως·
« οὐδὲ ἐπιορκήσαιμι πρὸς δαίμονος », καὶ μοίρας,
ἢ πρὸς αὐτοῦ τοῦ δαίμονος, τουτέστι τῆς ψυχῆς μου·
ἤ τοι, « ὀμνύω τὴν ἐμὴν ψυχὴν, οὐ ψευδορκήσω »·
« ὁ Ζεὺς ὁ δοὺς τὸ κῦδος » δὲ, τανῦν ἡ εἱμαρμένη,
καὶ ὁ ὢν τοῖς ἀνθρώποις δὲ « ταμίας τοῦ πολέμου ».
Ταλθύβιος « αλίγκιος θεῷ εἰς τὴν αὐδὴν δε »
λιγὺς, ὀξυφωνότατος, εὔμουσον μέλος ἔχων,
οἷον ἠχεῖν ἁρμονικὸν φασὶ καὶ τοὺς ἀστέρας.
Ζεὺς δὲ ὁ « ὕπατος θεῶν » νῦν οὐρανὸς ὑπάρχει,
θεοὶ στοιχεῖα τὰ λοιπὰ τέως ἐν τοῖς ἐνθάδε.
« Θεοὶ δὲ δοῖεν ἄλγεα », ἀστέρες, εἱμαρμένη.
« Ὁ Ζεὺς πατὴρ δὲ, ὁ διδοὺς τὰς ἄτας », εἱμαρμένη,
καὶ « Ζεὺς ὁ θέλων θάνατον τοῖς Ἀχαιοῖς γενέσθαι ».
Γυνὴ « εἰκυῖα δὲ θεαῖς » κάλλει, ἐπιθυμίᾳ,
ταῖς ψυχικαῖς δυνάμεσιν, εἴτε καὶ τῇ σελήνῃ·

(80) Poeta scilicet περιτίθησι, qui et statim λέγει.
(81) Conf. Il. 19, 128.
(82) Conf. Il. 19, 129.
(83) Respectu ad Il. 19, v. 126 : εἶλ' Ἄτην κεφαλῆς.
(84) A, καρδίας.
(85) Conf. Il. 19, 159.
(86) Homerus λέγει, ibid.
(87) A, πάντας. Il. 19, 186.
(88) A, δαίμονας. Conf. Il. 19, 188
(91) A, κῆδος. Cf. Il. 19, 204.
(92) Cf. Il. 19, 224 Inserui ὤν.
(93) Cf. Il. 19, 250 : Ταλθύβιος δὲ θεῷ ἐναλίγκιος αὐδήν Tzetzes durius et inelegantius δὲ in fine transposuit metri sui causa.
(96) Cf. Il. 19, 258.
(98) Cf. Il. 19, 264.
(99) Cf. Il. 19, 270.
(100) Cf. Il. 19, 274.
(101) Cf. Il. 19, 286.

θεοειδής, ὥς τις γυνὴ εἰκυῖα ταῖς θεαῖσι.
« Κρονίων » ὁ τοὺς γέροντας οἰκτείρων μυρομένους,
ἡ σκοτεινὴ καὶ ἄδηλος νῦν ἔστιν εἱμαρμένη.
Πῶς Ἀθηνᾶ καθέστηκε παῖς δὲ τῆς εἱμαρμένης;
ἡ Ἀθηνᾶ δὲ ὁ ἀὴρ ἔστιν ἐν τοῖς ἐνθάδε·
ὅτι πᾶν τὸ γινόμενον ἔργον τῆς εἱμαρμένης,
καὶ τὸ ἐκ τοῦ αέρος δὲ σημεῖόν τι γενέσθαι,
καὶ τὸ ψυχρὸν ἢ καὶ θερμὸν αέρα γεγονέναι·
τότε δ' αὐτῆς ἐγένετο σημεῖον, ἐξ αέρος.
Ἅρπη ὀξὺ βοήσασα (ὄρνεον δ' ἔστι τοῦτο,
ἁρπάζον τὰ νεόττια ὀρνίθων κατοικίων,
καὶ ἐκ μακέλλης κρέα δὲ καὶ ἐκ τῶν κατεχόντων),
αὕτη λοιπὸν βοήσασα τούτους κινεῖ πρὸς μάχην,
ὡς οἰωνὸς τῶν δεξιῶν καὶ τύχης εὐξυμβούλου·
καὶ Ἀχιλεῖ δὲ γίνεται λήθη λιμοῦ καὶ πείνης
προθύμως ἀνορμήσαντι πρὸς πόλεμον καὶ μάχην,
ὃ ἀμβροσίαν Ὅμηρος καὶ νέκταρ ἄρτι λέγει,
Αὐτὴ πρὸς τὸν αέρα δὲ ἀνέπτη, πατρὸς δόμον,
ἀνεπετάσθη πρὸς αὐτὸν, τουτέστι τὸν αέρα·
πατὴρ ὀρνέων δὲ ἀὴρ, ὡς τούτῳ πετομένων·
« γέλασε πᾶσα περιχθὼν », τουτέστιν ἐλαμπρύνθη.
« Δύσετο δῶρα δὲ θεοῦ » σοφοῦ, ἡ εἱμαρμένης,
ἅπερ ὁ Ἥφαιστος, τὸ πῦρ, ἔκαμε τεύχων τῇδε.
Ἥφαιστος νῦν ὁ χαλκουργὸς τεχνίτης ὁ τῶν ὅπλων.
Τίς ἡ φωνὴ τοῦ Ξάνθου δε, τοῦ Ἀχιλέως ἵππου,

(104) Cf. Il. 19, 340.
(106) Cf. Il. 19, 342.
(111) A, αὐτῆς, vel αὐταῖς.
(112) Cf. Il. 19, 350.
(116) A. ὡς οἰνοσόν..... τὸν δεξιόν.
(118) Addidi τήν.
(119) Cf. Il. 19, 353.
(120) Cf. Il. 19, 355.
(123) A, περιχθών. C. 19, 362. Cf. nota Heynii.
(124) Il. 19, 368.
(125) A, ἃ Ἥφαιστος. Perfeci versum.
(127) Cf. Il 19, 404.

ἥπερ προεμαντεύσατο καὶ θάνατον ἐκείνῳ;
ἐλεεινὸς ὀλοφυρμός· τοῖς δὲ φρονοῦσι πάντα
λαλεῖ, καὶ προσημαίνουσι τὰ μέλλοντα γενέσθαι·
κἀκ τοῦ σημείου τῆς φωνῆς τοῦ ἵππου τῆς θρηνώδους
θάνατον ἐμαντεύσατο ἐκείνῳ προμηνύειν.
Ἐπεὶ φωνὴ τυγχάνει δὲ τὶς πλῆξις τοῦ ἀέρος,
ἔφασαν ὡς φωνήεντα τοῦτον ποιεῖ ἡ Ἥρα.
« Θεῶν ὁ ἄριστος » ἐστὶ καὶ παῖς ὁ τῆς Λητοῦς δε,
Ἀπόλλων, καὶ ὁ ἥλιος, ὃς Πάτροκλον ἀνεῖλε·
« Θεῷ δὲ ἐστὶ μόρσιμον καὶ ἐν ἀνδρὶ δαμῆναι »·
στοιχείῳ καὶ ἀνθρώπῳ σε πέπρωται τεθνηκέναι.
Ἐν γὰρ ναῷ Ἀπόλλωνος ὁ Ἀχιλεὺς τεθνήκει,
ἢ Ἀλεξάνδρου ταῖς χερσὶν ἢ καὶ τοῦ Δηϊφόβου.
« Οὕτως εἰπόντος Ἐριννῦς φωνὴν αὐτοῦ κατέσχον »,
οὕτοις εἰπὼν τὸ λυπηρὸν, εὐθέως ἀπεπαύθη.

(134 Cf. Il. 19, 407.
(135) Cf. Il. 19, 413. A, λυτους.
(136) A, πάτροχλος. Addidi ὃς.
(137) Il. 19, 417. Cf. Drelincurtii Achilles homericus, p. 91.
(141) Cf. Il. 19, 418.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Υ (*).

Διὸς βουλαῖς ἐφάπτονται θεοὶ τῆς συμμαχίας·
καὶ τῷ στρατῷ Ἑλλήνων μὲν ὑπῆρχον συμμαχοῦντες
Ἥρα, Ἀθήνη, Ποσειδῶν, καὶ Ἥφαιστος Ἑρμῆς τε·
Τρωσὶν ἡ Ἀφροδίτη δὲ, καὶ σὺν τῇ Ἀφροδίτῃ
Σκάμανδρος, Ἄρης καὶ Λητὼ, Ἄρτεμις, καὶ Ἀπόλλων
ὃς Ἀχιλεῖ μαχόμενον Αἰνείαν νέφει κρύπτει.
Πολλοὺς δὲ κτείνας Ἀχιλεὺς, καὶ παῖδα τὸν Πριάμου
Πολύδωρον ἀπέκτεινεν, Ἕκτορα δ' ἀντιστάντα
αὐτὸς Ἀπόλλων ἔσωσε καὶ ῥύεται θανάτου.
Τοὺς δὲ λοιποὺς ὁ Ἀχιλεὺς κατήπειγεν εἰς Τροίαν.

Οὕτως σὺν σοὶ ὁπλίζονται Ἕλληνές τε καὶ Τρῶες·

(*) Hic liber fuit omissus in B. In C folia perierunt quibus continebantur versus 1-335.

(10) A, κατήπηγεν.

(11) A, ὁπλίζονται συν σοί. . τρω, sic imperfecto vocabulo. Videtur deesse versus qui quid velit appellatio σὺν σοὶ declaret. Homerus quidem Il. 20, 2, ἀμφὶ σέ, sed addit Πηλέος υἱέ. Interverti ordinem codicis legens σὺν σοὶ ὁπλίζονται, melior ut evaderet rhythmus. In Nicarchi epigrammate Anth. 11, 74, transpositione facta hiatum corrigere tentabat Friedemannus De media syllaba p. 307, rescribens : Ὄξος· ἐπαισθάνεται δ' οὔποθ' ὅλως ἃ λέγω, pro edito : ὅλως δ' ὃ λέγω οὔποτ' ἐπαισθάνεται. Vir doctus alius facilius :... ὅλως δὲ λόγων οὔπ. Ipse facilius etiam propono :...ὃ λέγω μήποτ' ἐπ. Auctoritate non caret μήποτε pro οὔποτε. Sic sanetur Lucianus Anth. 11, 408 : Τὴν κεφαλὴν βάπτεις, τὸ δὲ γῆρας οὔποτε βάψεις, mendo gravissimo ; nam hiatus versus Nicarchei excusationem forsitan habuerit ex finito ordine priore elegiaci, trochæus autem γῆρας omnino damnandus. Et hic propono γῆρας μήποτε βάψεις. Qui credebant μήποτε esse solœcum reposuerunt οὔποτε, obliti poetas neglecturos grammaticam legem potius quam metricam. Trochæum alium procurabo in Epigrammate Lucilii Anth. 11, 80 : Οἱ συναγωνισταὶ τὸν πύγμαχον ἐνθάδ' ἔθηκαν Ἆπιν· οὐδένα γὰρ πώποτ' ἐτραυμάτισεν. Pronunciatio nota litteræ ny syllabam producebat : Ἆπιν

ἑτέρωθεν οἱ Τρῶες δὲ ἐπὶ θρωσμοῦ πεδίου.
« Ἐκ πολυπτύχου δ' οὐρανοῦ » Θέμιν ὁ Ζεὺς κελεύει
πάντας καλέσαι τοὺς θεοὺς εἰς δόμον τὸν ἐκείνου·
ἡ καὶ δραμοῦσα σύμπαντας συγκέκληκεν εὐθέως.
Οὐ Ποταμὸς ἐλείφθη τις, Ὠκεανοῦ δὲ ἄνευ,
οὔτε Νύμφη ἡ ναίουσα πίσεά τε καὶ ἄλση
καὶ τὰς πηγὰς τῶν ποταμῶν. Καὶ συνελθόντες πάντες
ξεσταῖς αἰθούσαις ἵζανον ταῖς οὔσαις πρὸ δωμάτων
ἅσπερ ὁ Ἥφαιστος Διῒ ἐποίησεν ἐντέχνως.
Καὶ Ἐνοσιχθὼν μετ' αὐτοὺς ἐξῆλθε τῆς θαλάσσης,
μέσοις καθίσας δ' ἐν αὐτοῖς ἀνήρετο τὸν Δία·
« Τί νῦν, ὦ ἀργικέραυνε, θεοὺς συνεκαλέσω;
« ἆρα περὶ τῶν Τρώων τι βουλεύῃ καὶ Ἑλλήνων;
« ἐγγὺς ἡ μάχη τούτων γὰρ καὶ πόλεμος τυγχάνει ».
Ὁ Ζεύς φησι δὲ πρὸς αὐτόν· « Ἔγνως τὸ βούλευμά μου·
« Φροντίδα τούτων ἔχω γάρ, καίπερ ἀπολλυμένων.
« Ἀλλὰ ἐγὼ καθήμενος ἔνθεν τερποίμην βλέπων·
« ὑμεῖς ὡς πρὸς τοὺς Τρῶας δὲ καὶ Ἕλληνας ἐλθόντες

νουδένα. Quod prosit et Palladæ Anth. 9, 168, qui versum elegiacum trochæo inchoasse videtur, μῆνιν οὐλομένην. Pronunciandum est scilicet, μῆνιν νουλομένην. Inveni in codice nullius varietatem pretii : μῆνιν τ' οὐλ. Redeo ad Nicarchi Epigramma. Scriptum est in anum surdastram, quæ pro τυροῖς postulatis ferebat πυρούς, τήγανον pro πηγάνῳ, λάσανον pro λαχάνῳ, τόξον non ὄξος : Ἢν ὀπὸν αἰτήσω, δοχὸν εἰσφέρει. Vocabula non satis similia sunt ὀπὸν et δοχόν. Scaliger πόχον legebat pro ὀπόν, sed accentus non conveniunt utriusque vocabuli, et Scaliger mutavit, non correxit. Anus, ut surdastra, percipiendo accentui præcipue fuit intenta. Servo ὀπὸν et propono pro δοχὸν, quod est omnino rejiciendum, nomen simillimum λοπόν.

(12) Cf. Il. 20, 3.

(13) Cf. Il. 20, 5.

(16) Cf. Il. 20, 7.

(17) Il. 20, 8, 9. Addidi ἡ.

(19) Il. 20, 11.

(21) Il. 20, 13.

(22) Il. 20, 15.

(23) A, τοίνυν. Scripsi τί νῦν. Il. 20, 16 : τίπτ' αὖ.

(24) A, ἄρα.

(26) A, ἔγνω. Il. 20, 20 : Ἔγνως, Ἐννοσίγαιε, ἐμὴν ἐν στήθεσι βουλήν. Cf. mox. v. 89.

(29) A, ἡμεῖς. Juncturæ vocum ὡς πρὸς, pro simplici ὡς vel πρὸς, infinita apud Tzetzem exempla. Ea fuit usus auctor Χριστοῦ πάσχοντος v. 188 : Ἔδοξα δ' αὐτὸς ὑπό του πεπονθέναι Σιγῇ λέγοντος ὡς πρὸς αὐτὸν ἠρέμα Τὸν δύσ-

« γίνεσθε μέρους βοηθοὶ οὗ ἕκαστος θελήσει.
« Εἰ πρὸς τὸν Ἀχιλέα γὰρ μάχοιντο μόνοι Τρῶες,
« οὐδὲ βραχύ τι κατασχεῖν ἰσχύσουσιν ἐκεῖνον ».

Φύσιν πλουτῶν ὁ Ὅμηρος ὑπὲρ ἀνθρώπου φύσιν,
ὢν τε φρενῶν θησαύρισμα καὶ νοῦς αἰθεροδρόμος,
καὶ θάλασσα καὶ πέλαγος ὠκεανὸς χαρίτων,
πασῶν τεχνῶν τε λογικῶν ἀσύγκριτος ἀκρότης,
πανσόφοις πάντα χάρισι τὸν λόγον κεραννύει,
ὥσπερ κἀντεῦθεν νῦν ποιεῖ συγκεραννὺς μυρία.
Ἐν τῷ τὴν μάχην λέγειν γὰρ τῶν μυθικῶν θεῶν σοι
τῶν συνεργούντων Ἕλλησι καὶ γένει τῷ τῶν Τρώων,
τοῦ μύθου τῷ γλυκάζοντι τέρπει τοὺς ἁπλουστέρους,
ῥητόρων δὲ δεινότητι καὶ τῇ φρενῶν πυκνώσει
δοκεῖ τὸν Ἀχιλέα μὲν πάντων ὑπερεξαίρειν,
δείκνυσι δὲ τὸ ἀληθὲς τῇ πρὸς Αἰνείαν μάχῃ
καὶ λόγοις οἷς ὁ Ἀχιλεὺς φησὶ πρὸς τὸν Αἰνείαν·
ἀλληγορῶν δὲ φυσικῶς τέρπει σοφὰς καρδίας,
καὶ πράξεις γράφων χρονικὰς διδάσκει καὶ προγνώσεις.

Καὶ δὴ προσέχων ἄκουε πᾶν μου λεπτολογοῦντος,
οἷα προάγγελα πολλὰ σημαίνουσι σημεῖα
ἐπὶ μελλούσαις συμφοραῖς ἐθνῶν καὶ πολισμάτων,
καὶ διωνύμων δὲ ἀνδρῶν, ἔν τισι τῶν στοιχείων.

Οὕτω κτανθῆναι μέλλοντος καὶ Ἕκτορος τῷ τότε
καὶ Τροίας δὲ τοῖς δόρασιν Ἑλλήνων πορθηθῆναι,
πρῶτον μὲν νέφος πάμπυκνον ἀέρος συγκινήσει

τροπον πράτην γε τοῦ διδασκάλου. Interpres latinus : « Qui submissa voce « et velut solum alloqueretur perditum « magistri sui proditorem ». Oportuit scribere ad sensum auctoris : « qui submissa « voce, ipsum alloqueretur placide male « moratum venditorem magistri ».

(30) A, μέρος.

(36) De metaphora θαλάσσης ad Proleg. 51.

(42) Hemistichium prius adeo est evanium, ut divinaverim potius quam legerim.

τὸν οὐρανὸν ἐμέστωσεν ὑδάτων ἀνιμήσει
τῶν ἐκ θαλάσσης, ἐκ πηγῶν, καὶ ποταμῶν ἀλσῶν τε,
ἁπλῶς ἐκ τόπου σύμπαντος ὄντος ἐκ τῶν πανύγρων.
Καὶ θάλασσα δ' ἐξέδραμε ταύτης βρασμῷ τῆς κοίτης,
καὶ ζάλη γέγονε δεινὴ σύμμικτος τῶν στοιχείων,
καὶ καταιγίδες, καὶ σκηπτοὶ, καὶ κεραυνοὶ βρονταί τε,
ὄμβρων ῥαγδαίων χύσεις τε καὶ ποταμῶν πλημμύρα,
ὑφ' ὧν ἐπελαγίζοντο τῆς γῆς αἱ πεδιάδες,
ἐκλείψεις τῶν φωστήρων τε, σεισμοὶ, ῥηγμοὶ καὶ βρόμοι.
Ὅμηρος γέρων δ' ὁ χρυσοῦς δεινότητι ῥητόρων
τὰ πάντα ταῦτά σοι καλῶς νῦν προσωποποιήσας,
Δία φησὶ τὸν οὐρανόν· Θέμιν δ' αὖ ὀνομάζει
δύναμιν τὴν ἀνάγουσαν εἰς οὐρανὸν ἰκμάδας,
καὶ πᾶσαν φύσιν ἔνυγρον, ἥνπερ καλεῖ καὶ Νύμφας.
Ὄλυμπον δὲ πολύπτυχον τὸν οὐρανὸν νῦν λέγει
διὰ τὰς ζώνας τὰς αὐτοῦ, τὰς καθ' ἑτέρους σφαίρας
αἵπερ ὀκτὼ τῷ ἀριθμῷ κατά τινας καλοῦνται
αἱ τῶν ἑπτὰ πλανήτων τε καὶ ἡ ἀπλανεστάτη·
ἐννέα καθ' ἑτέρους δὲ, καὶ κατ' αὐτὸν τὸν Πρόκλον.
καὶ γὰρ τὴν γῆν συντάττουσι ταῖς σφαίραις τῶν ἀστέρων,
ὡς κἀν τοῖς ἔπεσιν αὐτοῦ Ἐρατοσθένης γράφει.
Ὄλυμπον μὲν πολύπτυχον τὸν οὕτως.....
τοῦ νέφους δ' ἐπιστήριξιν ὡς πρὸς τὸν ἄνω πόλον
θεῶν καθέδραν σοι φησὶν ἐν ταῖς Διὸς αἰθούσαις,
ἤτοι ὑπαίθροις καὶ θερμοῖς μετεώροις τόποις,

(63) A, Ἐκλήψεις... ῥησμοί. Scripsi ῥηγμοί.
(65) A, προσωποποιήσας.
(66) Homerus φησὶ Il. 20, 4.
(68) Homerus καλεῖ Il. 20, 8.
(69) Homerus λέγει Il. 20, 5.
(70) A, καθ' ἑτέρας. Scripsi ἑτέρους.
(71) A, καλοῦσιν. Scripsi καλοῦνται.
(73) Allegat Proclum et Chiliade 12, Historia 410, quæ est conferenda.
(76) Post τὸν οὕτως nil potest discerni.
(77) Inter ὡς et πόλον litteræ sunt fere evanidæ.
(78) Cf. Il. 20, 11, ac supra v. 19.

ὥσπερ ὁ Ἥφαιστος, τὸ πῦρ, ὑπέστησεν ἀρχῆθεν.
Τὴν δὲ θαλάσσης ἔκβρασιν τὴν τότε γεγονυῖαν,
ἀφ' ἧς καὶ τὸ λεπτότερον ἀνιμηθὲν ἀνήχθη,
μὴ παρακούσαντα φησὶ Θέμιδος Ποσειδῶνα,
ἀλλ' ἀνελθόντα σὺν λοιποῖς καὶ μέσον ἱδρυνθέντα,
ἀνερωτῶντά τε, Διὶ φωνὴν τὸν ἦχον λέγων,
μή τι ἄρα τὸ βούλημα καθέστηκε τὸ τούτου,
περὶ Ἑλλήνων Τρώων τε μάχης τε καὶ πολέμου,
καὶ οὐρανὸν, τὸν Δία, δὲ λέγοντα τοῦτο πάλιν·
« Ἔγνως δὲ ἣν ἐκλήθητε, Πόσειδον, νῦν βουλήν μου· »
τὸ ὕδωρ δ' Ἐννοσίγαιον ὁ Ὅμηρός σοι λέγει
καὶ τὸ σεισμῶν παραίτιον. Μακρηγορεῖν οὐ δέον.
Τὸν οὐρανὸν, τὸν Δία δὲ πλάττει συγκατανεύειν,
ὅτι οὕτως ἀπέβησαν τὰ πράγματα τῷ τότε.
Μένει δ' ὁ Ζεὺς ἐν τῇ πτυχῇ καθήμενος Ὀλύμπου,
οἱ δ' ἄλλοι συγκατέρχονται πρὸς Ἕλληνας καὶ Τρῶας,
ὅτι ἀὴρ, ὁ οὐρανὸς, ἀνωφερὲς στοιχεῖον·
ὡς ἔτι πλέον ὁ αἰθὴρ, τὸ πῦρ δ' ἐπὶ πλέον,
τὸ ὕδωρ δὲ βαρύτατον κατωρρεπὲς στοιχεῖον.
Ἡ λαλιὰ δὲ τοῦ Διὸς Κρονίδου, τοῦ ἀέρος,
τοῦ ἐξ Ἐρέβους, Κρόνου, πρὶν καὶ Χάους γεννηθέντος,
πνεῦμα δεινὸν καὶ βίαιον, κλονῆσαν τὰ στοιχεῖα,
ὃ συμβολὴν πρὸς πόλεμον θεῶν νῦν ὀνομάζει.
Ἡ Ἥρα μὴν καὶ Ἀθηνᾶ καὶ οἱ λοιποὶ οὓς λέγει
ἔβαινον πρὸς βοήθειαν Ἑλλήνων, οἱ δὲ Τρώων.

(80) A, ἅπερ. Cf. v. 20.
(81) A, ἔκφρασιν.
(83) Homerus φησὶ Il. 20, 13.
(84) Ex divinatione μέσον. Il. 20, 15: ἷζε δ' ἄρ' ἐν μέσσοισι. Cf. v. 22.
(85) Pro Διὶ φωνὴν videtur reponendum Διὸς βουλὴν ex Il. 20, 15.
(88) Fortasse τούτω
(90) Cf. Il. 21, 20. A, ἐνοσίγαιον.
(94) Cf. Il. 20, 22, ubi πτυχί.
(98) Pro ὡς forsitan καί.
(99) Il. 20, 31: ὡς ἔφατο Κρονίδης.
(102) Cf. Il. 20, 32.
(103) Cf. Il. 20, 33.

Νῦν σοὶ κατὰ προέκθεσιν καὶ προκατάστασίν δε
θεοὺς Ἑλλήνων συνεργοὺς καὶ τοὺς τῶν Τρώων λέγει,
τὴν συμβολὴν τῆς μάχης δὲ τούτων προβαίνων εἶπε.
Ἡμεῖς δὲ νῦν ἐροῦμεν σοι τίνα στοιχεῖα τάδε,
καὶ πῶς τὰ μὲν τοῖσ Ἕλλησι, τὰ δὲ Τρωσὶ συνήργει.
Ἥρα αἰθὴρ ὁ καθαρὸς, λεπτομερὴς ἀήρ τε,
ἡ Ἀθηνᾶ ὁ πρόσγειος καὶ κάθυγρος ἀήρ τε.
Ὡς Ὅμηρος τοῖς ὄπισθεν ὑπέδειξε ταδί μοι,
οὕτω κατ᾽ ἔπος τὰ ῥητὰ προενεγκὼν ἐκεῖσε·
« πλησίαι αἴγ᾽ ἥσθην, κακὰ δὲ Τρώεσσι μεδέσθην· »
καὶ πάλιν ἐμφανέστερον, οὐ μύθῳ κεκρυμμένῳ·
« ἐλάτη δι᾽ ἠέρος τις ἵκανεν εἰς αἰθέρα ».
Οὕτως ἡ Ἥρα ὁ αἰθὴρ, ἡ Ἀθηνᾶ ἀὴρ δε.
Ὁ Ποσειδῶν ἡ θάλασσα, ὁ γῆν ὀχῶν, βαστάζων.
Ἑρμείας « ἐριούνης » δὲ, καὶ ὠφελῶν μεγάλως·
πυρὰ τὰ διεκτρέχοντα ἐν καθαρῷ ἀέρι,
ἃ γίνεται κινήσεσιν ἀνέμων κεκραμένων,
λυσιτελῶν, καὶ τὸ ὑγρὸν πᾶν ἐκπυρηνιζόντων.

(107) A, συμβουλὴν, et sic 91. Scripsi συμβολήν. Est συμβολὰς v. 281. Nomen συμβουλὴ variat in codice 391 Sententiam Menandream sic editam, idque rectissime: Ἐν νυκτὶ βουλὴ τοῖς σοφοῖσι γίνεται. Dixit Eustathius ad Il. B, 24, esse παροιμίαν λέγουσαν ἐν νυκτὶ βουλή. Vide Blomf. Gloss. ad Prom. 676. Codex autem 398 sic habet idque mendosissime: Ἐν νυκτὶ τοῖς σοφοῖς συμβουλὴ γίνεται. Metro tamen facile restituendo: Ἐν νυκτὶ συμβουλὴ σοφοῖσι γίνεται. Quæ lectio potest defendi. Etenim noctem græci vocabant εὐφρόνην, « benesuadam » Balzacius Aristippo p. 31: « les poëtes Grecs ont donné à la nuit le nom de sage et de conseillère ». Merimeus Columba: « la nuit porte conseil dit le préfet; j'espère que demain vos irrésolutions auront cessé ». Aliter sentiebat Ammianus Marcellinus 22, 8: « a contrario per cavillationem *evethe* Græci dicimus stultum, et noctem *euphron-n* ». Ipsi erat videlicet εὐφρόνη nox male suada. Quæ opinio non caret probabilitate, sed minus quam altera placuit. Vide Henricum Valesium ad Ammianum, Erasmi Adagia 2, 1, 43, et Cognati 3, 221.

(114) Versus est Hom. Il. 4, 21; 8, 458.

(116) A, δ' ἠέρος. Immutavit politice Homeri versus Il. 14, 287, 288.

(117) Addidi ἀήρ, sensu postulante et metro.

(118) Explicat γαιήοχος Iliadis 20, 34. Addidi γῆν ex Suida in Γαιοῦχος.

(116) Il. 20, 34.

(120) Conf. v. 235.

(121) A, κίνησιν. Libro Σ, 477: τὸ πῦρ γὰρ πνεύματα κινεῖ.

(122) A, ἐκπυρινιζόντων. Cf. Σ, 548.

Ἥφαιστος, ἡ θερμότης δὲ ἀέρος ἐξ ἡλίου,
ὃς βλεμεαίνει ἄγριον καὶ καυστικόν τι φαίνει,
κυλλοποδίων, καὶ χωλὸς, οὕτω πως κεκλημένος
δι' ἅσπερ τρεῖς εἰρήκαμεν σοὶ πρότερον αἰτίας·
καὶ ὅτι ἄκρατον τὸ πῦρ καὶ ἀμιγὲς ὑπάρχον
οὐ κίνησιν εἰς γέννησιν, ἀλλὰ φθορὰν εἰσφέρει.
Ταῦτα Ἑλλήνων συνεργὰ, καὶ συμμαχοῦντα ἦσαν.
Οὖσιν ἐν τῇ στρατείᾳ γὰρ τοῖς Ἕλλησιν ὡς οἶδας,
στρατοπεδευομένοις τε τοῖς τόποις τοῖς ὑπαίθροις,
οὐκ ἐν οἰκίαις οὖσι δὲ καὶ τείχει πολισμάτων,
ὅ τε λεπτομερέστερος ἀὴρ καὶ καθαρός δε,
ἔτι τε ὁ παχύτερος, πλὴν καθαρὸς καὶ οὗτος,
συνήργει τούτοις ποσαπλῶς, εὐδίῳ καταστάσει,
ἄνευ πελμάτων καὶ πηλοῦ βαδίζειν μὲν τὸ πρῶτον,
ὕπνον καθεύδειν ἄνομβρον, κἂν γέμοντα μερίμνης,
ῥᾷδιον ξυληγεῖσθαι τε, καὶ τέμνειν δὲ καὶ χόρτον,
χλόην τοὺς ἵππους νέμεσθαι, χειμῶνος μὴ ὀχλοῦντος,
τὰς τῶν βελῶν πτερώσεις τε καὶ τὰς νεύρας τῶν τόξων,
καὶ νεῦρα πλέον τὰ αὐτῶν χειμῶνι μὴ χαυνοῦσθαι.
Οὕτως συνήργουν Ἕλλησιν ἡ Ἀθηνᾶ καὶ Ἥρα.

(124) Cf. Il. 20, 36.
(126) πρότερον, scilicet Σ, 465...
(127) A, ὑπάρχει. Scripsi ὑπάρχον.
(130) Addidi τῇ.
(132) A, ἐνοικίαις... τείχη.
(133) Addidi ὁ.
(134) Scripsi ἔτι pro τι.
(137) Sententia videbatur pro scripto ἔνομβρον poscere ἄνομβρον. Facilis confusio syllabarum εν αν. Aristophanes Avibus 1069: Ἑρπετά τε καὶ δάκετα πάνθ' ὅσα περ Ἔστιν ὑπ' ἐμᾶς πτέρυγος ἐν φοναῖς ὄλλυται. Sic nunc locus est constitutus ex conjecturis Porsoni, Disseni, Reisigii. Fuit olim e codicibus, puto, sic editus: Ἑρπετά τε καὶ δάκεθ' ὁπόσα περ ἂν Ἔστιν... Particula ἂν cum ἔστιν displicet valde; cf. Matthiæ Gramm § 599 E. Propono: Ἑρπετά τε καὶ δάκεθ' ὁπόσσαπερ ἐν-Ἔστιν... Duplex sigma ὁπόσσα in lyricis omnino ferendum, ac quæ est in ἔνεστιν præpositio spectabit γᾶν et κήπους in præcedentibus memorata. Quum sit Comicus in manibus tangere lubet versum 506: Τοῦτ' ἄρ' ἐκεῖν' ἦν τοὔπος ἀληθῶς. Propono ἐκεῖσ', intellecto ἐκεῖσε de Ægypto et Phœnicia, de quibus regionibus agitur.
(138) Addidi τε.
(141) « Nervos ipsorum » id est militum. Cum proprietate oponit τὰς νεύρας et τὰ νεῦρα.

Ὁ Ποσειδῶν, ἡ θάλασσα, τούτοις συνήργουν πάλιν
καὶ ὁ Ἑρμῆς, ἡ κίνησις πνευμάτων κεχραμένων,
ὡς δι' ὁλκάδων, πνεύμασιν εὐκράτοις καὶ προσφόροις
κομιζομένοις ἅπαντα χρησιμοῦντα τούτοις.
Οἱ ἄνεμοι καὶ πνεύματα πῶς μεγαλωφελῆ δε;
ὡς πᾶν φυτὸν ἐκτρέφοντες, κομίζοντες ὁλκάδας,
ὡς εὐζωΐας αἴτιοι. Τί δὴ μηκύνειν λόγους;
Ἥφαιστος, ἡ θερμότης δὲ ἀέρος ἐξ ἡλίου,
ὅσα συνήργει τῷ στρατῷ τῷ τῶν Ἑλλήνων οἶδας.
Οὕτω θεοὺς στοιχειακῶς ἐνθάδε σύ μοι νόει.
Πραγματικῶς δὲ μηδαμῶς, μηδέ γε ψυχικῶς μοι,
μηδ' ἀστρονομικώτατα τούτους ἀστέρας νόει·
ἀλλ' ὥσπερ εἶπόν σοι ταυτὶ στοιχειακῶς μοι νόει,
τοῖς Ἕλλησιν, ὡς ἔφημεν, οὕτω λυσιτελοῦντα.
Ἤδη δὲ λέξω τοὺς θεοὺς τῶν Τρώων τοὺς συμμάχους.
Κορυθαίολος Ἄρης μὲν πῦρ ἄτακτον καὶ ζάλη,
οἷον τὸ πῦρ τῶν κεραυνῶν, ὁ ζάλης καὶ χειμῶνος.
Κορυθαιόλου φέρει δὲ τοῦτο τὸ πῦρ τὴν κλῆσιν,
τοῖς ἄνω τόποις ὡς ποιοῦν ποικίλας τὰς ἑλίξεις.
Τρώων δ' ὑπῆρχε συνεργὸν, τοὺς Ἕλληνας ὡς βλάπτον.
Φοῖβος Ἀπόλλων ἥλιος, τὸ φάος τὸ τοῦ βίου,
ἀκερσεκόμης, ὁ μακρὰς ἀκτῖνας κεκτημένος.
Πῶς δὲ συνήργει τοῖς Τρωσί; πῶς ἦν Ἑλλήνων βλάβος;

(143) A, συνήργουν, quod servavi relato ad Neptunum et Mercurium, huncque post verbum plurale nominatum. Figura est Alcmanica Lesbonacti p. 179. Illam agnovit Marklandus ad Iphig. Aul. 195, ubi Πρωτεσίλαον ἥδομένους Παλαμήδεά τε. Chumnus in meis Anecdotis Gr. t. 1, p. 308: Δαυὶδ ταῦτα φασὶ καὶ Ἡσαΐας. Vide Miscell. Obs. 5, p 304.

(144) A, κε·αμίων Scripsi κεχραμένων. Dixit v. 119, ἀνέμων κεχραμένων Statim πνεύμασιν εὐκράτοις.

(147) Quo modo ad ventos traheretur epithetum Mercurio proprium, ἐριούνης? Scripsi πῶς, cujus vocis superest tenue quoddam vestigium. Fit interrogatio cui respondetur: ὡς πᾶν... Sic interrogatur v. 163, 261, et alibi.— A, μεγαλοφελῆ. Sic male scriptum in A, libro Ω, 319, Ἑρμείας ὁ μεμαλοφελέστατος.

(158) Cf. Il. 20, 38.

(159) Pro ὁ fortasse τό.

(163,164) Cf. Il. 20. 39. A, ἀκερσοκόμης.

τῷ μὲν θερμῷ τοῖς Ἕλλησι τὰ μέγιστα συνήργει,
ὅπερ καὶ Ἥφαιστον φασί· βολαῖς δὲ τῶν ἀκτίνων
ἐν τῷ πολέμῳ μέγιστα τοὺς Ἕλληνας ἐστρόβει,
μέγα συνήργει δὲ Τρωσὶ, λάμπων τῶν μὲν κατόπιν,
Ἑλλήνων δὲ πρὸς πρόσωπον μέχρι καὶ μεσημβρίας.
Λητώ τε καὶ ἡ Ἄρτεμις, αὐτὴ ἡ Ἀφροδίτη,
ταῦτα Τρωσὶ δὲ ὄφελος, Ἕλλησι δ᾽ ἦσαν βλάβες.
Οἱ Τρῶες κατάστέροις γὰρ νυξὶ καὶ πανσελήνοις
καὶ ἀσελήνοις δὲ νυξὶ, καταδρομαῖς λαθραίαις
τοῖς Ἕλλησιν εἰργάζοντο τὰ δυσχερῆ παντοῖα,
ἵππους ἐλαύνοντες αὐτῶν, συλῶντές τε μυρία,
καὶ καταδορατίζοντες καὶ κτείνοντες ὁπόσους.
Καὶ Σκάμανδρος ὁμοίως δὲ Τρωσὶ μὲν ἐβοήθει,
Ἕλλησι δ᾽ ἦν ἀντίθετος, οἷσπερ ἀκούσῃ λέγοις.
Ὑπῆρχον γνώριμοι Τρωσὶν οἱ πόροι τοῦ Σκαμάνδρου,
δι᾽ ὧν νυξὶν ἐκτρέχοντες τοὺς Ἕλληνας ἐκάκουν,
κἂν ταῖς ἡμέραις πάλιν δὲ λοχῶντες λόχμους τούτου,
πολλοὺς ἀνῄρουν ἀπ᾽ αὐτῶν, αἴφνης ἐπιδραμόντες.
Οὕτω Τρωσὶπροσβοηθῶν ὁ Σκάμανδρος ὑπῆρχε·
τοῖς Ἕλλησιν ἀπείροις δὲ τῶν πόρων ὑπηργμένοις
ἦν πύργος καὶ ἀντίφραγμα χωροῦσι κατὰ Τρώων.
Καὶ ἄλλως Τρώων βοηθὸν τὸν Σκάμανδρον νῦν λέγει,
ὅτι, ῥαγδαίων ὑετῶν α᾽φνης καταρραγέντων,
ὡς περαιτέρω σοὶ σαφῶς ὁ Ὅμηρος διδάξει,

(166) A, συνείργει.
(167) A, βαλαῖς.
(171) Conf. Il. 20, 40.
(172) Sic A, ταῦτα. Fortasse ταὐτά.
(175) A, ἐργάζοντο.
(178) Cf. Il. 20, 40, ubi Xanthus nominatur idem Scamandro.
(189) A, παρετέρω σ, evanidis οἱ. Memini Tzetzici versus in quo καὶ non suum locum tenet Chil. 8, 584: στῆλαι τοῦ Διονύσου, Οὐ τοῦ Θηβαίου λέγω δὲ καὶ τοῦ Ζαβοσκοντέλη. Transponendum τοῦ καὶ Ζαβ. Sic sæpissime nomina propria ejusdem hominis bina formula ὁ καὶ, ἢ καὶ, jungit. Quod monstravi ad Hesiodum p. 161. Lucas A. Ap. 13:9: Σαῦλος δὲ ὁ καὶ Παῦλος. Ibi Albertius Observationibus. Quam Eusebii verba

Ὑπερκοιτήσας τῇ πολλῇ χύσει τῇ τῶν ὑδάτων,
μικροῦ δεῖν ἂν ἀπέπνιγε τότε τὸν Ἀχιλέα.
Θεοὺς Ἑλλήνων βοηθοὺς καὶ Τρώων ἠκηκόεις·
ἄκουε τούτων ἔριδα καὶ συμβολὴν τῆς μάχης.
Ὦρτο μὲν ἔρις καρτερά, ἐβόα δ' ἡ Ἀθήνη
ποτὲ παρὰ τὴν τάφρον μέν, ὁτὲ πρὸς τὰς ἀκτάς δε·
ὁ Ἄρης δ' αὖ ἑτέρωθεν αὔε Τρωσὶ κελεύων
ἐξ ἀκροπόλεως, ποτὲ θέων πρὸς τῷ Σιμοῦντι.
Ὦρτο μὲν ἔρις, συγχυσις γέγονε τῶν στοιχείων·
ἡ Ἀθηνᾶ δ' ἐβόησε, λαίλαψ δεινὸς ἐβόμβει·
ὁ Ἄρης, ἄτακτον δὲ πῦρ, δεινῶς ἐστρατηλάτει.
Τὸ πνεῦμα τὸ οὐράνιον, ὁ οὐρανὸς αὐτός δε,
ὃ καὶ πατὴρ καθέστηκεν ἀνθρώπων καὶ στοιχείων,
δεινὸν κροτήσει τῶν νεφῶν ἐβρόντησε τῷ τότε.
Τὸ ὕδωρ δ', ὃ καὶ Ποσειδῶν, ἐκ βάθρων καὶ κρηπίδων
πᾶσαν τὴν γῆν ἐσάλευσε σεισμῷ φρικωδεστάτῳ,
καὶ μύκημα δὲ βίαιον ἐκ γῆς ἐχώρει στέρνων,
ὅπερ βοὴν νῦν Ὅμηρος ᾅδου κατονομάζει.
Τὴν δ' ἐκ τῶν βάθρων κίνησιν ταύτης τῶν κατωτέρων
ἅπερ καὶ ᾅδης λέγεται πᾶσι μυθογραφοῦσιν,
ἅλμα τοῦ ᾅδου Ὅμηρος ἐκ θρόνων τούτου λέγει.
« Τόσος ἦν κτύπος τῶν θεῶν ἔριδι ξυνιόντων »,
τόσος ὁ κτύπος γέγονε συγχύσει τῶν στοιχείων.

Ἰτουραία ἢ καὶ Τραχωνῖτις vertisset latine Hieronymus, « Ituræa et Trachonitis regio », eademque alio ordine verba « Τραχωνῖτις χώρα ἢ καὶ Ἰτουραία, « Trachonitis regio, sive Ituræa », in Hieronymum, ejusque mediocrem editorem Martianæum, acerbe invehitur Jo. Clericus Quæstionibus Hieronymianis p. 71, ac Bibliotheca Selecta t. 17, 73.

(194,195) Cf. Il. 20, 48, 49. A, ὅτε.

(196) Cf. Il. 20 51.

(197) Inserui verbum θέων ex Il. 20, 53. Sed hemistichia non sunt apte divisa.

(199) Homero λαίλαψ femininum est, masculinum Tzetzæ, ætatis beneficio.

(200) A, ἠστρατηλάτει.

(202,204.) Cf. Il. 20, 56, 57.

(207) C. Il. 20, 62.

(209) A, μυγραφοῦσιν.

(211) Il. 20, 66.

Ἄντα τοῦ Ποσειδῶνος μὲν Ἀπόλλων εἶχε βέλη·
ὄμβροι μὲν κατεφαίνοντο βίαιοι καὶ ῥαγδαῖοι,
καὶ ἥλιος ὑπέφαινεν ἅμα βραχὺ σὺν ὄμβροις.
Ἄντα Ἐνυαλίου δὲ ἵστατο ἡ Ἀθήνη·
ἀντία δὲ τοῦ Ἄρεος, ἤτοι πυρὸς ἀτάκτου,
πυρὸς ἀτάκτου, λέγω δὲ κεραυνοβελημάτων,
ἡ Ἀθηνᾶ καὶ ὁ ἀὴρ ὕδατος πάχος σχοῦσα.
Ἡ γὰρ ὑγρότης τοῦ πυρὸς πάντως τῶν ἐναντίων.
Ἥρῃ δ' ἡ χρυσηλάκατος ἡ Ἄρτεμις ἀντέστη,
τῷ λεπτομερεστέρῳ δὲ ἀέρι αἰθερίῳ
ὅσπερ κινεῖ μὲν πνεύματα καὶ νέφη συνταράττει,
σελήνη, νῦν ἡ Ἄρτεμις χρυσοβολὶς, χρυσάκτις,
ἀντέτεινεν, ἀνθίστατο τῇ τῶν νεφῶν κινήσει.
Κελαδεινὴν δ' ὁ Ὅμηρος νῦν τὴν σελήνην λέγει,
διὰ τὰ κυνηγέσια καὶ τὰς κραυγὰς τὰς τούτων·
ἐν σεληναίαις δὲ νυξὶν οἱ παλαιοὶ ἐθήρων.
Τὴν δὲ σελήνην ἀδελφὴν ἡλίου καλεῖν θέλει,
οὐ θυγατέρα τούτου δὲ, καθὼς δοκεῖ τοῖς ἄλλοις,
οὐκ ἀγνοῶν δανείζεσθαι ταύτην ἡλίῳ σέλας,
τῷ τῆς δημιουργίας δὲ λόγῳ κατονομάζει
ταύτην ἡλίου ἀδελφήν· ἄμφω γὰρ καὶ παρήχθη
τέλεια καὶ ὁλόκληρα δημιουργίας λόγῳ·
οὕτω τῇ Ἥρᾳ Ἄρτεμις ἀντέστη, ἡ σελήνη.
Λητοῖ, νυκτὶ δὲ σκοτεινῇ, ἀντέστη ὁ Ἑρμείας·

(213) Adnd. εἶχε ex Il. 20, 6 , ubi ἵστατ' ἔχων.
(216) Il. 20, 69.
(221) Il. 20, 70.
(223) A, ὥσπερ. Scripsi ὅσπερ. Julianus Epist. 17, p. 24: τὴν δὲ ὑπὲρ ἀθλίων (codex 964 τῶν ἀθλίων) ἀνθρώπων ἀπολειπεῖν τάξιν, ὅταν δέῃ πρὸς κλέπτας ἀγωνίζεσθαι τοιούτους, καὶ ταῦτα τοῦ θεοῦ συμμαχοῦντος ἡμῖν, ὥσπερ οὖν ἔταξεν. Heilerus ὅσπερ?
(224) A, χρυσοβολής vel λὶς compendio obscuro.
(225) Scripsi ἀντέτεινεν pro ἀνέκτεινεν. Cf. v. 299.
(226) Homerus λέγει Il. 24, 70.
(227) Homerus καλεῖν θέλει Il. 24, 71.
(228) A, σελήνης. Scripsi σεληναίαις.

πυρὰ τὰ μερικώτερα τῶν πνευματωδεστέρων,
οἷον ἀστέρων χύσεις τε, δοκίδες, καὶ τοιάδε,
ἠναντιοῦτο τῆς νυκτὸς τῇ ζοφερᾷ τῇ τότε.
Ἔν δὲ Λητὼ καὶ ὁ αἰθὴρ κατά τι ὑπηργμένα,
ἕν δὲ καὶ Ἄρης καὶ Ἑρμῆς, ὡς ἕτεροι ἑτέροις
κατά τι διαφέρουσιν· ἅπερ τὰ νῦν μοι μάθε.
Ἡ μὲν Λητὼ ἡ νὺξ ἐστίν· ὡς φέρουσα δὲ ὕπνον,
τὴν ληθεδόνα τῶν κακῶν, Λητὼ κατωνομάσθη·
καὶ ὁ αἰθὴρ δὲ νὺξ ἐστίν· εἰ μὴ γὰρ νὺξ ἐπέλθοι,
τίς διακρίνειν αἰσθητῶς αἰθέρα οὐκ ἰσχύει·
ἂν τοὺς ἀστέρας ἴδῃ δὲ, γινώσκει τὸν αἰθέρα.
Ὡς μὲν οὖν ὑπνοδότειραν τὴν νύκτα Λητὼ λέγεις,
ὡς πυραυγῶν ἀστέρων δὲ γεννήτριαν, αἰθέρα,
κἂν περ ὁ Σταγειρόθεν σου οὐχ οὕτω δογματίζῃ.
Ἔγνως τὴν Ἥραν καὶ Λητώ. Πάλιν Ἑρμῆς καὶ Ἄρης
πυρὰ μὲν καὶ ἀμφότερα, καὶ κατὰ τοῦτο ἕν τι,
ἀλλ' ἡ πνευματωδέστερον καὶ ἀφλεγὲς Ἑρμείας,
ἡ δὲ σφοδρὸν καὶ καυστικὸν, ἄτακτον ἔχων ῥύμην,
Ἄρης κατονομάζεται, καὶ τὰ λοιπὰ ὁμοίως.
Σῶκον καὶ Ἐριούνην δὲ πνεῦμα πυρῶδες λέγει,
ὡς σωστικὸν, λυσιτελὲς καὶ διεκτρέφον πάντα,
τοῖς ψυχικοῖς ἑτέρως δὲ, τοῖς πρακτικοῖς ἀλλοίως.
Τῶν μὲν λοιπῶν ἀκήκοας θεῶν τὴν τότε μάχην.
Ἀντίος τοῦ Ἡφαίστου δὲ ἦν ποταμὸς ὁ μέγας,

(237) Cf. v. 118, 250. A, πνευματοδεστέρων, ut v. 253.
(238) A, οἵων. Scripsi οἷον.
(240,241) A, ἔνδε. Sic passim librarii particulam δε in his versibus pro enclitica habent.
(244) A, ληθεδῶνα.
(245) Pro νῦν scripsi νύξ, sententia jubente. Mox pro τίς fort. πᾶς.
(250) Scripsi δογματίζῃ ex aliis locis, qui subjunctivum recte exhibent. Conf. Φ. 35. Sic modo ἴδῃ dedi pro ἴδοι.
(252) A, ἔντι.
(254) A, ἡ δέ.
(255) A, ἄρις.
(256) Cf. Il. 20, 72.
(260,261) A, ξάνθος. Confer Iliadem 20, 73, 74.

ὃν οἱ θεοὶ καὶ οἱ σοφοὶ Ξάνθον καλοῦσι κλῆσιν,
Σκάμανδρον πάντες δὲ βροτοί, ἤτοι ἀσόφων γένους.
Πῶς ἐναντίος Σκάμανδρος Ἡφαίστῳ δὲ ὑπῆρχεν;
ὅτι, καὶ θέρμης οὔσης μὲν ἡλιακῶν ἀκτίνων,
ὅμως ὁ Ξάνθος ταῖς βροχαῖς ἐξέδραμε τῆς κοίτης,
ὅτι περ ἔμελλε ῥοαῖς κλύζειν τὸν Ἀχιλέα·
καὶ πάλιν ἀνθυπέδραμε πρὸς κοίτην τὴν οἰκείαν
καὶ ταῖς ἀκτῖσι θερμανθεὶς ἀνέπεμπεν ἰκμάδας
ἅσπερ πρὸς Ἥραν δέησιν κατονομάζει Ξάνθου.
Πλὴν ἀλλὰ πρόσχες ἀκριβῶς· βαθύς ἐστιν ὁ γέρων,
καὶ παίζων τοῖς μυθώδεσιν ἠπάτησε μυρίους.
Μὴ ἐν ἡμέρᾳ σύμπαντα ταῦτα γενέσθαι δόξῃς·
στοιχειακῶς γὰρ ὁ Ἑρμῆς πῶς ἐν ἡμέρᾳ λέγει;
Λητοῖ ἀνέστη τῇ νυκτί, αἰθέρι δὲ σελήνη·
νοεῖν δὲ ταῦτα ψυχικῶς ἐσχάτου ἀγνωσίας.
Ἀλλ' οὕτω λέγει προφανῶς ὁ γέρων, καὶ διδάσκει
ὅτι τῷ τότε σύγχυσις ἐτέλει τῶν στοιχείων
ἐν ταῖς ἡμέραις καὶ νυξίν, οὐ μὴν ἡμέραις μόναις.
Ἀπόλλων ὁ Αἰνείαν δὲ κατ' Ἀχιλέως ὥρσας,
ὁμοιωθεὶς Λυκάονι παιδὶ τῷ τοῦ Πριάμου,
αὐτός ἐστιν ὁ ἥλιος· ὅνπερ ἰδὼν Λυκάων
λάμποντα κατὰ πρόσωπον στρατοῦ τοῦ τῶν Ἑλλήνων
καὶ Ἀχιλέα βλάπτοντα πρὸς συμβολὰς τῆς μάχης,
τῷ Ἀχιλεῖ μονομαχεῖν λόγοις Αἰνείαν πείθει.
Ὁ Ζεύς, ἡ εἱμαρμένη νῦν, Ἀθήνη, πανουργία·
« θεῶν δὲ εἷς » ὁ τὸν λοιγὸν τῷ Ἀχιλεῖ ἀμύνων,

(268) ἰκμάδας, vapores scilicet undarum quæ bulliebant. Cf. Il. 21, 365.
(269) A, ὥσπερ. Scripsi ἅσπερ. Cf. Il. 21, 367.
(275) Sic Codex.
(279) Cf. Il. 20, 79.
(280) A, Λυκάωνι.
(285) Il. 20, 92, 94.
(286) Il. 20, 28.

Θυμὸς καὶ εὐτυχία δὲ, δόλοι καὶ πανουργία.
« Εἰ δὲ θεὸς » ὁ πόλεμος, ἢ καὶ θυμὸς ἐνθάδε.
« Θεοῖς αἰειγενέτησιν », αὐτῇ τῇ εἱμαρμένῃ,
τῇ ἐκ τῶν ἄστρων ἅμα τε καὶ δρόμου τῶν ἀστέρων.
« Καὶ σὲ δὲ κούρης τοῦ Διὸς φασὶ τῆς Ἀφροδίτης »,
ἤτοι ὡραίας θυγατρὸς Διὸς, νῦν βασιλέως.
Ὁ Ἀχιλεὺς δὲ « χείρονος θεᾶς », ἤτοι ἀρχούσης·
ἡ σὴ γὰρ μήτηρ παῖς « Διὸς », τουτέστι βασιλέως,
ἡ Ἀχιλέως μήτηρ δὲ τοπάρχου νησιώτου.
Ἡ Ἥρα δ' ἣν οὐκ ἔλαθεν ὁ παῖς τοῦ Ἀγχίσου,
εἰποῦσά τε ἃ εἴρηκε πρὸς Ποσειδῶ, Ἀθήνην,
πνεῦμα κινῆσαν θάλασσαν ἐστὶ καὶ τὸν ἀέρα,
ὃ τάχα καὶ ἀντέτεινεν ἡλίου ταῖς ἀκτῖσι,
κἂν οὐ κατίσχυσεν αὐτὸν νεφώσει συγκαλύψαι.
« Πάντες δ' Οὐλύμποιο κατήλθομεν ἀντιόωντες »·
Ἐμπεδοκλῆς καὶ στοῖχοι θέρος φασὶν ὑπάρχειν
πύκνωσιν κάτω τοῦ πυρὸς, χειμῶνα δ' ἀναστρόφως
ἀέρος εἶναι πύκνωσιν ὡς πρὸς τὸ ἄνω μέρος.
Ὅμηρος ἐν τῷ ἔπει δὲ ὥσπερ τανῦν εἰρήκειν

(288) Il. 20, 100.
(289) Il. 20, 104.
(290) A, τῆς ἐκ τῶν ἅμα τε. Addidi ἄστρων, correctionem monstrante ipso Tzetzes, qui Exegesi pp. 32, 54, 79, dicit τὴν εἱμαρμένην ἐκ τῆς τῶν ἄστρων καὶ ἀστέρων κινήσεως γίνεσθαι. Juncta vides ἄστρα καὶ ἀστέρας.
(291, 293) Il. 20, 105, 106.
(296) Il. 20, 112.
(297) Il. 20, 115.
(301) Versus est Homeri Il. 20, 125. A, ὀλύμποιο. Hæc genitivi forma dari poterit Timoni Phliasio, quem citat David Armenius apud Neumannum Dissertatione Davidea, p. 53: Ζήνων ὁ ἀμφοτερόγλωττος περὶ οὗ εἴρηται· « Ἀμφοτε« ρογλώσσου μέγα σθένος οὐκ ἀλα« παδνὸν Ζήνωνος. Plutarchus qui hunc Timonis sillographi locum allegavit Pericle c. 4, exhibet ἀμφοτερογλώσσου τε μέγα, et sic Diogenes Laert. 9, 25; forsan relato τε ad præcedentia quæ non servata sunt. Codex Davidis ἀμφοτερογλώττοιο μέγα. Timon meminerat Homeri Il. 5, 783: Ἢ συσὶ κάπροισιν τῶν τε σθένος οὐκ ἀλαπαδνόν. Quæ comparatio monstrat omnino malam esse lectionem Plutarchi ἀπατηλὸν, quam non satis confutabat unius Diogenis varietas ἀλαπαδνόν.
(304) A, ἴστω. Scripsi ἄνω, ex loco Stobæi Ecl. Phys. t. 1, p. 292, quem Tzetzes respexit. Vide ibi Heeren, collato Sturzii Empedocle p. 340.
(305) A, εἰρήκην.

φαίνεται καὶ τὴν πάχυνσιν ἀέρος εἰς τὸ κάτω,
καὶ ἀλλαχοῦ τὸ κίνημα ὑδάτων εἰς τὸ ἄνω,
χειμῶνα ὁριζόμενος καὶ περιτράνως λέγων.
« Εἰ δ' Ἀχιλεὺς οὐ ταῦτα θεῶν ἐκπεύσεται ὀμφῆς »,
εἰ Ἀχιλεὺς οὐ μάθοι δὲ ταῦτα ἐκ μαντευμάτων,
θεῶν, ἀστέρων, ἢ σοφῶν, εἴτε καὶ τῶν στοιχείων,
τουτέστιν ἅτε δι' αὐτῆς τῆς ὑδατομαντείας,
ἢ ψυχικῶν δυνάμεων, ἤτοι φρεσὶν οἰκείαις,
δείσει ὁπότε τις θεὸς κατ' ἐναντίον ἔλθῃ.
Θεοὺς τὸ πῦρ καὶ ὕδωρ δὲ καὶ τὰ λοιπὰ νῦν λέγει.
Αἰνίττεται δ' εἰς Σκάμανδρον μέλλοντα τοῦτον κλύζειν.
Τὸ χαλεποὶ δὲ οἱ θεοὶ βροτοῖς ὁρᾶσθαι μάχαις,
δύσκολον μάχεσθαι φησὶν θνητὸν πρὸς τὰ στοιχεῖα,
πρὸς γῆν, πρὸς πῦρ, πρὸς ὕδατα, πρὸς ἄλλο τῶν στοιχείων.
Τῇ Ἥρᾳ περιῆψε δὲ παντόφως νῦν τοὺς λόγους·
καὶ τὸν Ποσειδῶ λέγοντα πρὸς ταῦτα παρεισφέρει,
ὡς ἐξ ἀέρος τοῦ λεπτοῦ πνευμάτων κινηθέντων,
μετ' ἤχου τε τὴν θάλασσαν σφῆς ἐκβρασάντων κοίτης,
μέχρι τοῦ τείχους ὃ φασι τεῖχος τοῦ Ἡρακλέος.
« Ἐγὼ θεοὺς οὐ θέλω νῦν ἔριδι ξυνελάσαι·
« ἀλλ' ἡμεῖς μὲν ἔπειτα καθεζώμεσθα κιόντες
« ἐκ πάτου ἐς σκοπιήν· πόλεμος δ' ἄνδρεσσι μελήσει.
« Εἰ δέ κ' Ἄρης ἄρχῃσι μάχης ἢ Φοῖβος Ἀπόλλων,
« ἢ Ἀχιλλ' ἴσχωσι καὶ οὐκ εἰῶσι μάχεσθαι,

(306) A, ἀλλαχοῦ κινήμασιν.
(309) A, ἐκπνεῦσε τὸ ὀμφῆς. Correxi ex Il. 20, 129.
(314) A, δείσας. Scripsi δείσει sequutus Il. 20, 130.
(317) A, χαλεπόν. Il. 20, 131.
(320) A, τὸ Ἥρα
(321) Addidi τόν. Reddatur in transitu τὸν Tzetzæ Chil. 5, 729 : Τῶν πάντων ἀμορφότερον ἦγον ὡς πρὸς θυσίαν. Bene C, τὸν πάντων.
(323) A, σφῆς εἰσβρασάντων κοίτην, quod correxi.
(324) Il. 20, 145.
(325,330) Il. 20, 134-140. A, καθεζόμεθα ἀκούοντες... ἐσκοπήν... ἀρχίσῃ... Ἀχιλλῆ ἴχωσι καὶ οὐκ εἰῶθασι... ἀμμὶ παρ' αὐτὸ φαί....

« αὐτίκ' ἔπειτα καὶ ἄμμι παρ' αὐτόφι νεῖκος ὀρεῖται »·
Οὔπω ἀκμὴν ἡ σύγχυσις γέγονε τῶν στοιχείων,
ἔμελλε δ' ἤδη γίνεσθαι, ἤγουν ἐφησυχάζειν.
Ἂν ἄτακτα δὲ Ἄρεος πυρά τινα φανείη,
εἴτε καὶ κατὰ πρόσωπον ἥλιος Ἀχιλέως,
ἢ Ἀχιλέα Σκάμανδρος τῆς μάχης ἀποπαύει,
αὐτίκα μάχην καὶ ἡμεῖς συμβάλλωμεν ἐκείνοις.
Οἶμαι στραφῆναι τάχει δὲ πρὸς οὐρανὸν συνήκει.
Ῥητῶς δ' εἴργειν τὸν Σκάμανδρον, οὐκ εἶπον Ἀχιλέα,
ὅτι τὸ ὕδωρ Ποσειδῶν, καὶ Σκάμανδρος δὲ ὕδωρ·
καὶ πῶς ὕδωρ τῷ ὕδατι πολέμιον φανείη;
ἀλλ' ὁ παχὺς καὶ ἔνυγρος ἀὴρ ὁ ἐξ ὑδάτων
ἡλίου παύσει τὰς βολὰς μὴ βλάπτειν Ἀχιλέα·
εἶτα δὲ καὶ τὸν Σκάμανδρον ἐκ τῆς ὀμβροθλυσίας
ἀνακυμήναντα δεινόν, σφῆς κοίτης ἐκδραμόντα,
καὶ Ἀχιλέα μέλλοντα τοῖς ῥεύμασι συμπνίγειν,
ἥλιος ἐξικμάσειε θερμότατα προσλάμψας·
ὅπερ καὶ Ἥφαιστον καλεῖ δεινὸς ὢν λογογράφος,
ὅπως μὴ τὸν Ἀπόλλωνα, τὸν ἥλιον δὲ λέγω,
ὃν εἶπε Τρώων σύμμαχον, δείξῃ καὶ τῶν Ἑλλήνων.

(331) A, σύγχυσις.
(332) A, ἐφησυχάζειν. Locus non integer esse videtur.
(337) A sic, συνήκει. Cf. Il. 20, 141.
(338) Inde subsidium denuo præbebit codex C folio 318. A, εἴργον. C, εἴργειν. sic. Verbi εἴργω spiritus variat. Tzetzes Chil. 1, 608: πρὸς τὸν αὐτὴν ἀπείργοντα φησὶν ἑλλανοδίκην: Τί με κατείργεις, ἄνθρωπε, θεᾶσθαι τὸν ἀγῶνα; Codex 2644 ἀπείργοντα et καθείργεις. Ibi Tzetzæ ipsius scholium: διὰ τοῦ ἄνωθεν μὲν εἰπεῖν με « ἀπείργοντα », νῦν δὲ « καθειργεις », τοῖς ἀμαθεστέροις τῶν νέων λυσιτελέστατος γίνομαι ἐκ τούτου πάντως δεικνὺς ὅτι τὸ εἴργω καὶ ψιλοῦται καὶ δασύνεται, τῶν Ἀττικῶν μὲν αὐτὸ δασυνόντων, τῶν δ' ἄλλων πάντων ψιλούντων. Id scholium insertum est Anecdotis Oxon. t. 3, p. 352, non omnino accurate, nec integrum. Tzetzes in eo lapsus esse videtur, quod καθείργεις in ore ponit Aristopatiræ, quæ non Attica fuit, sed Rhodia.
(341) A, ἀνακυμάναντα.
(346) A, θερμτητα.
(347) Cf. Il. 21, 342.
(349) A, δείξει. C, δείξῃ. Hoc elegi ob codicis præstantiam. Nam utraque syntaxis est probabilis, et quæ fuerit Tzetzæ ipsius scripturam novisse iotacismus non sinit.

« Ὀίω τούτους δὲ νικᾶν » ὁ Ποσειδῶν εἰρήκει,
ὅτι τότε συμβέβηκεν οὕτω γενέσθαι ταῦτα,
στοιχεῖα ἡττηθῆναι τε τὰ σύμμαχα τῶν Τρώων·
ἄλλοις καιροῖς δ' ἐγένετο τὰ τούτοις ἐναντία.
« Ὣς ἄρα φωνήσας ἡγήσατο Κυανοχαίτης
« τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο »·
τὸν μετὰ ἤχου ἐκβρασμὸν τὸν τότε τῆς θαλάσσης
φωνήν τε, καὶ προήγησιν φησὶ τοῦ Ποσειδῶνος.
« Κυανοχαίτης » λέγει δὲ, ὡς ζάλης κινουμένης,
θαλάσσης οἰδαινούσης τε καὶ συμμελαινομένης.
« Ἔνθα Ποσειδάων κατ' ἄρ' ἕζετο, καὶ θεοὶ ἄλλοι·
« ἀμφὶ δ' ἄρ' ἄρρηκτον νεφέλην ὤμοισιν ἕσαντο ».
ἤτοι τὸ ὕδωρ καὶ ὑγρὸν, καὶ νέφος πνευματῶδες,
ἦσαν πρὸς οἷς εἰρήκειμεν τόποις τοῦ Τροίας μέρους·
ἀρεϊκοὶ δὲ σελασμοὶ καὶ κεραυνῶν ἐκχύσεις
ἅμα ἡλίῳ λάμποντι ἑτέρωθεν ὑπῆρχον.
Τὸ μήπω συγχυθῆναι δὲ ταῦτα πρὸς μίαν ζάλην.
βουλὰς αὐτῶν καὶ ὄκνον δὲ πρὸς μάχην εἶναι λέγει·
τὸ « Ζεὺς » δὲ, τὸ οὐράνιον πνεῦμα ἐκίνει ταῦτα·
ὅπερ Διὸς νῦν κέλευσιν ὁ γέρων ὀνομάζει.
« Ἤγον· ἀτάρ σε Ζεὺς ἐρρύσατο καὶ θεοὶ ἄλλοι »·
Ζεὺς ὁ ἀστὴρ, ὡς καὶ θεοὶ οἱ ἄλλοι τῶν ἀστέρων,
ἐξ ὧν τῷ βίῳ γίνεσθαι φασὶ τὰ εἱμαρμένα.
Ἡ Ἀφροδίτη νῦν δηλοῖ ἐπέραστον, ὡραίαν.

(350) A, ὁ οἴω. Cf. Il. 20, 141.
(351) A, ὅτε τότε.
(352) A, ἡττηθῆνεται ταί.
(354,355) Versus Iliadis 20, 144, 145.
(358) A, καὶ ἀνοχέτης. C, κυανοχαίτην.
(360,361) Ex Il. 20, 149, 150. A, καταρέζετο.
(363) A, εἰρήκειμεν τ. τῆς τρ. μέρος.
(365) A, ἅμα θηλίω.
(367,368) A, αὐτόν καὶ ἄοχνον. Cf. Il. 20, 154, 155.
(370) Cf. Il. 20, 194. A, ἥγουν αὐτάρ σε. C, ἧγον αὐτάρ γε.
(371) A sine καὶ et οἱ.
(372) A, ἐν τῶ
(373) Cf. Il. 20. 209.

« Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς »·
τὸ « Ζεύς » νῦν βασιλεὺς δηλοῖ· τὸ « νεφεληγερέτα »·
ὁ γέρας σχὼν καὶ τὴν τιμὴν ἐκ νεφελῶν, ἐξ ὕψους,
ἤγουν ἐξ εἱμαρμένης τε καὶ μοίρας οὐρανίας.
« Τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν,
« κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη »·
τὸν ὃν θεοὶ νῦν οἱ σοφοὶ καὶ τέχνης ἀστρολόγων
ἀπὸ τῆς γῆς ἀνήρειψαν, ἤγουν ἐξῆραν ἄνω,
τουτέστιν ἠστροθέτησαν διὰ τὸ κάλλος τούτου
ἵνα σὺν ἀθανάτοισι καὶ ἄστροις συμπαρείη,
καὶ τῷ Διΐ, καὶ οὐρανῷ, καλῶς οἰνοχοεύοι.
Ὁ ὑδροχόος γὰρ αὐτός ἐστιν ὁ Γανυμήδης.
« Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε »·
ἡ ἐκ τῆς εἱμαρμένης δὲ μοῖρα καὶ πεπρωμένη
καὶ στρατιώτου καὶ σοφοῦ, καὶ τῶν λοιπῶν ἁπάντων,
τὰς τεχνικὰς τὰς ἀρετάς, ἤτοι τὰς προτερήσεις,
καὶ ἐλαττοῖ καὶ αὔξει δὲ κατὰ τὰς συντυχίας·
Θεῶν ἐρικυδέα δὲ δῶρα κατονομάζει
τὰ ἔργα ἃ ποιήσουσι σοφοί τινες τεχνῖται.

(374) A, νεφέλης εράτον ζ. C, νεφεληγεράτα, omisso fine, aut potius sumto fine versus sequentis, cujus cetera omisit propter homœoteleuton. Cf. Il. 20, 215.

(376) A, γέρα σχών.

(378,379) Ex Il. 20, 234, 235. A, κάλλος εἵνεκα οἷοι ἀθανατισι.

(381) C, ἀνήριψαν.

(383) A, ἀθανάτησι.

(384) A C, οἰνοχοεύη.

(390) A, γαννυμήδης, vitiosa duplicatione litteræ ny. Sic sæpius occurrit δαίννυμι pro δαίνυμι. Apud Satyrum Athenæi 6, 54, libri exhibent συνδαιννύμενος et συνδαινύμενος. Recitat ibi Satyrus exempla adulationis putidæ, ridiculæ, qua Clisophus Philippo Macedoni subpalpabatur, hocce inter alia: εἴ ποτε δριμὺ προσφέροιτο τῶν ἐδεσμάτων ὁ Φίλιππος, αὐτὸς συνέστρεφε τὴν ὄψιν ὡς συνδαινύμενος. Mihi displicet συνδαινύμενος vel cum uno ny, quod id verbum prosæ narrationi vix sit aptum, ac præsertim quod non dicat debentia dici. Omnino faceret satis συνδακνόμενος, quod criticis viris in mentem venisse video.

(386) Ex Il. 20, 242 A, ἀφέλει.

(390) A C, εὐτυχίας. Sed in ἐλαττώσει nihil est εὐτυχίας. Scripsi συντυχίας. Vide n. ad Proleg. 407.

(391) A, ἐρικυδάων νῦν δῶρα. Cf. Il. 20, 265.

« Ἐπείπερ πέντε ἤλασε πτύχας Κυλλοποδίων »,
τὸ πῦρ, ὥςπερ φησί, πλὴν ἐν χερσὶ τεχνίτου.
Ὁ Ποσειδῶν, ἡ θάλασσα, ὁ σώσας τὸν Αἰνείαν
Ὅνπερ καὶ λόγους ὁ Ὅμηρος, οὗπερ φησί, προσάπτει·
φεύγων διὰ θαλάσσης γὰρ ἐσώθη καὶ τῶν πλοίων.
« Δῶρα θεοῖς τοῖς ἔχουσι τὸν οὐρανὸν » δὲ λέγει,
αὐτοῖς ὁμοῦ τοῖς ἄστρασιν, ἤγουν τῇ εἱμαρμένῃ.
« Κρονίδης » ἡ ἀόρατος τυγχάνει πεπρωμένη.
Πῶς δ', Ὅμηρε, χολώσεται ἡ εἱμαρμένη, λέγε,
ἂν τὸν Αἰνείαν Ἀχιλεὺς ἀνέλῃ τῷ πολέμῳ,
ἐπεί, ὡς γράφεις, μόρσιμος ἐστὶν ἐκπεφευγέναι;
Παῖζε καὶ γέλα καπυρόν· Τζέτζην γελᾶν μὴ δόκει·
χρῶ μὲν τῷ καθ' ὑπόθεσιν σχήματι παίζων οὕτω·
εἰ τοῦτον κτείνει Ἀχιλεὺς, χολώσεται Κρονίδης,
ἀλλ' οὐχ ὑπάρχει μόρσιμος θανεῖν ὑπ' Ἀχιλέως.
Κρονίδης Δάρδανον φιλεῖ, ἤτοι ἡ εἱμαρμένη,
ἤγουν ὑπῆρχεν εὐτυχῶν ὁ Δάρδανος ἐν βίῳ.
« Πριάμου πάλιν γενεὴν ἤχθηρεν ὁ Κρονίων »·
ἡ εἱμαρμένη, λέγει σοι, ἐμίσησεν ἐκείνους.
« Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη »·
Ἥρα, ὡς ἔφημεν, αἰθὴρ καὶ τὸ πυρῶδες πνεῦμα,
ἀὴρ δὲ πάλιν ὁ παχὺς ἡ Ἀθηνᾶ τυγχάνει.
Ἐπεὶ νυκτὶ δὲ γέγονεν ἡ πόρθησις τῆς Τροίας
ὄντος καὶ τοῦ ἀέρος μὲν τῷ τότε χειμερίου·

(393) Ex Il. 20, 270. A C, πτύχας ἤλασε. A, κυλλοποδίας.
(395) Cf. Il. 20, 291...
(396) A, προσάγει.
(398) Cf. Il. 20, 299.
(400) Cf. Il. 20, 301.
(402) A, ἀνεῖλε
(403) A, γράφει. Cf. Il. 20, 302.
(404) C, Τζέτζη.
(405) A, το καθ' ὑπόκρισιν.
(408) Cf. Il. 20, 304.
(410) Conferatur Ilias 20, 306. A, ὤχθηρεν.
(411) A, ἐμισεισεν.
(412) A, Ἴρη. Conferatur Ilias 20, 309.
(415) A, προθεσις.

νῦν δὲ πνεῦμα λεπτότερον τὴν θάλασσαν ἐκίνει,
ὡς Ἥρας τοῦτο πρόσωπον ὁ Ὅμηρος εἰσάγει
λαλοῦν ὡς πρὸς τὴν θάλασσαν, δῆθε πρὸς Ποσειδῶνα
ὅσα τοῖς ἔπεσι φησὶ δεινότητι ῥητόρων.

Τίς ἡ ἀχλὺς ἣν Ποσειδῶν τῷ Ἀχιλεῖ ἐποίει;
ἡ κρύψις ἣν ἐκρύπτετο φεύγων Αἰνείας τότε
διὰ θαλάσσης τε αὐτῆς καὶ πλείων τῶν Ἑλλήνων
μέχρι περ οὗ πρὸς ἔσχατα ἐξήχθη τοῦ πολέμου.

Ὁ Ποσειδῶν δ' ὁ προσλαλῶν Αἰνείᾳ οὐδεὶς ἄλλος,
αὐτὸς δ' Αἰνείας πρὸς αὐτόν, σωθεὶς θαλάσσῃ, λέγει·
« Εἰ μή, διὰ θαλάσσης τε φεύγων καὶ τοῦ ναυστάθμου
« τὸν Ἀχιλέα ἦν φυγών, πάντως ἂν ἀνῃρέθην·
« τίς με θεῶν ἀστέρων τε, τὰς φρένας παραβλάψας,
« πρὸς Ἀχιλέα συμβαλεῖν παρώτρυνε νῦν μάχην »;
ταῦτα Αἰνείας πρὸς αὐτὸν ἦν λέγων ἁρμοδίως,
Ὅμηρος δέ, γλυκύτερον χρῄζων ποιεῖν τὸν λόγον,
τὸν Ποσειδῶνα φέρει σοι ταῦτα λαλοῦντα δῆθεν.

« Αἰνείας φίλος δὲ θεοῖς », φίλος τῇ εἱμαρμένῃ,
τουτέστιν εὐτυχέστατος ἐστὶ καὶ ὁ Αἰνείας.

« Οὐδὲ κ' Ἄρης ὥσπερ θεὸς ἄμβροτος, οὐδὲ κ' Ἀθήνη »,
οὐδὲ τὸ πῦρ τῶν κεραυνῶν, ἀήρ τε βιοτρόφος.

« Μαχοίμην ἀθανάτοισι », τουτέστι τοῖς στοιχείοις,
τουτέστι γῇ καὶ ὕδασιν, ἀέρι καὶ πυρί δε.

(419) A, δῆθεν τὸν ποσ.
(420) Hic versus ultimus est folii 318, sequens autem primus folii 313. De qua foliorum perturbatione jam notatum sæpius; vide n. ad Σ, 366.
(421) Cf. Il. 20, 321.
(424) Cf. Il. 20, 328.
(425) Cf. Il. 20, 331.
(427) C, sine τε.
(428) A, ἀνῃρέθη.
(430) A, συμβάλλειν παρώτρυνεν ἐν μάχῃ.
(432) A, γλυκύτατον.
(434) Cf. Il. 20, 347.
(435) A, ὑπάρχων.
(436) Il. 20, 358. A, ὥσπερ θεῶν.
(438) Cf. Il. 20, 367.
(439) C, ὕδατι.

Ἀπόλλων Ἕκτορι φησί· « Τῷ Ἀχιλεῖ νῦν μὴ μάχου »·
ἤγουν ὁ Ἕκτωρ ἔγνωκεν ἐκ τοῦ ἡλίου μόνος
ὡς οὐ χρεὼν νῦν προμαχεῖν αὐτὸν κατ' Ἀχιλέως·
οὐ γὰρ λαμπρὸς ἦν, ὥσπερ πρίν, οὐδὲ κατ' Ἀχιλέως·
« Ὃν νύμφη τέκε τις Νηΐς », ὃς σκότιος ὑπῆρχε,
ῥιφεὶς παρά τινα πηγὴν ἐν καταδένδρῳ τόπῳ.
« Κεῖται θεῶν ἐν γούνασι », καμπῇ τῆς εἱμαρμένης
ἐν τῇ στρεπτῇ, καὶ τῇ λοξῇ, ἀδήλῳ εἱμαρμένῃ.
Ἡ Ἀθηνᾶ δ' ἡ τρέψασα τοῦ Ἕκτορος τὸ δόρυ,
ἀὴρ καὶ πνεῦμα βίαιον ἦν καταιγῖζον τότε.
Ἀπόλλων δ' ὁ τὸν Ἕκτορα Πηλείδου διαρπάξας,
κατ' Ἀχιλέως ὀφθαλμῶν ἥλιος λάμπων ἔστιν.

(440) Il. 20, 376, sine νῦν.

(444) Il. 20, 384.

(445) C, περί. Sumsi varietatem παρά. Sæpe permutatæ illæ præpositiones. Vide n. ad Proleg. 833, ad A 139, 330, etc. Aristo Chius Athenæi 15, 16 : οἱ ἀρχαῖοι διὰ τοὺς περὶ τὸν οἶνον πόνους τῶν κεφαλαλγιῶν δεσμοὺς εὕρισκον. Malim παρὰ τὸν οἶνον· « propter cephalalgiarum dolores inter bibendum subentium ligamenta invenerunt ». Statim legitur ἡ παρὰ τὸν οἶνον διαγωγὴ cum varietate περί. De quo sensu τῆς παρὰ vide n. ad Choricium p. 384, collato Schweigh. ad Athenæum.

(446) Il. 20, 435.

(448) Cf. Il. 20, 439. A, στρέψασα.

(449) A, καταιγίδων.

(450) Il. 20, 443.

(451) A, ἔστη.

# ΑΛΛΗΓΟΡΙΑΙ ΙΛΙΑΔΟΣ Φ (*).

Διχῆ τοὺς Τρῶας τῇ φυγῇ διαιρεθέντας τότε,
οὓς Ἀχιλεὺς πρὸς Σκάμανδρον, οὓς δὲ πρὸς Τροίαν τρέπει.
Ζωγρεῖ δὲ δυοκαίδεκα θύειν Πατρόκλῳ μέλλων,
κτείνει δὲ καὶ Λυκάονα, καὶ τὸν Ἀστεροπαῖον.
Σκαμάνδρου κινδυνεύοντα θανεῖν δὲ τῇ πλημμύρᾳ
σώζει τοῦτον ὁ Ἥφαιστος τὸν ποταμὸν ἐμπρήσας.
Εἶτα καὶ μάχη τοῖς θεοῖς ῥήγνυται κατ' ἀλλήλων.
Ἀπόλλων δὲ Ἀγήνορι ὁμοιωθεὶς καὶ φεύγων
τὸν Ἀχιλέα μὲν αὐτὸν ἐξαπατᾷ διώκειν,
τοὺς Τρῶας οὕτω σώζει δὲ δύντας ἐντὸς τῆς Τροίας.

« Ξάνθου δινήεντος ὃν ἀθάνατος τέκετο Ζεὺς »,
τουτέστιν ὃς ἐπαύξεται τοῖς οὐρανίοις ὄμβροις.
« Τῇ ῥ' οἵ γε προχέοντο πεφυζότες· ἠέρα δ' Ἥρη
« πίτνα πρόσθε βαθεῖαν ἐρυκέμεν· ἡμίσεες δέ... »·

(*) Utar codicibus A B C. B in lemmate habuit T nunc correctum.

(3) B, καὶ δυόδεκα. C, καὶ δυώδεκα. Conjunctio καὶ, quæ in B C abundat, male videtur omissa fuisse in Antiphonte Tetralogiæ secundæ capite 2, § 1 : νῦν δὴ φανερόν μοι ὅτι αὐταὶ αἱ συμφοραὶ καὶ χρεῖαι τούς τε ἀπράγμονας εἰς ἀγῶνας, τούς τε ἡσυχίους τολμᾷν τά τε ἄλλα παρὰ φύσιν λέγειν καὶ δρᾷν βιάζονται. Sic olim locus edebatur ; nunc post ἀγῶνας fit lacuna ex conjectura. Equidem opinor deesse voculam καὶ post τά τε ἄλλα, syntaxi hocce instituenda modo : τούς τε ἀπράγμονας βιάζονται εἰς ἀγῶνας, τούς τε ἡσυχίους βιάζονται τολμᾷν τά τε ἄλλα καὶ παρὰ φύσιν λέγειν καὶ δρᾷν.

(11) Ex Il. 21, 2.

(13, 14) Ex Il. 21, 6, 7.

ἀορασίαν δὲ πολλὴν ἐκείνοις ἐνεποίει
τὸ πνεῦμα τὸ λεπτότερον ἐξανασπῶν ἰκμάδας,
ὁμίχλην παχυτάτην τε, δεινὴν ἐξειργασμένον.
« Μοῖρ' ὀλοή · μέλλω που ἀπέχθεσθαι Διὶ πατρί ».
Μοῖρα ἐστὶ τῆς τελευτῆς τοῦ καθενὸς ὁ τρόπος·
« Ζεὺς καὶ πατήρ », ὑπάρχει δὲ πάλιν ἡ εἱμαρμένη,
ἡ ἐκ τῶν γενεθλίων πως οὖσα προωρισμένη.
Ἔοικα μισηθῆναι δέ φησι τῇ εἱμαρμένῃ·
« Ἀντίθεον », ἰσόθεον · νῦν εὐπρεπῆ, ὡραῖον.
« Δαίμων », ἡ εἱμαρμένη δέ, ἡ ἐκ τοῦ διακόπτειν,
ἢ ἐκ τοῦ δαίειν, σύμπασι καὶ νέμειν ἅπερ θέλει.
« Πατρὸς δ' εἴμ' ἀγαθοῖο, θεὰ δέ με γείνατο μήτηρ »·
εἴτε γυνή τις βασιλίς, εἴτε πρακτικωτάτως
τὸ ῥωμαλέον λέγεται νῦν μήτηρ Ἀχιλέως·
αἱ πρακτικαὶ γὰρ ἀρεταὶ θεαί, ὡς προειρήκειν,
θεοὶ δὲ πάλιν λέγονται ἔσαι τῆς θεωρίας.
« Ὣς ἄρ' ἔφη · ποταμὸς δὲ χολώσατο κηρόθι μᾶλλον·
« ὥρμηνε δ' ἀνὰ θυμόν, ὅπως παύσειε πόνοιο
« δῖον Ἀχιλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι ».
Δεινός ἐστιν ὁ Ὅμηρος ἐντέχνοις πάντα γράφειν

(17) A, ταχυτάτην. A B, δέ.
(18) Ex Il. 21, 83.
(19) C, τοῦ καθ' ἑνὸς τῆς τελευτῆς. A B, καθ' ἑνός. Fuit καθένα K, 25.
(21, 22) Non habet C, omissos propter homœoteleuton. Exemplum obiter proferam ex scholiis Pselli in Oracula Chaldaica, editionis Obpsopœanæ p. 110 : αἱ δὲ βουλαὶ τοῦ πατρὸς διὰ τὴν νοητὴν ὑπερβολὴν ἄφθεγκτοι· τὰ δὲ τῶν ἐξῃρημένων συνθήματα... Amplior codex... ἄφθεγκτοι· φθεγκταὶ γάρ εἰσιν αἱ ἐνέργειαι τῶν ὄντων, αὐταὶ δὲ ὑπάρξεις ἄφθεγκτοι· τὰ δὲ συνθήματα... Sententiam sic expletam, simulque variantium totius operis lectionum spissam farraginem, communicavi, ante hos octo annos, cum doctissimo viro qui Pselliani operis editionem tunc moliebatur.
(23) Cf. Il. 21, 91. A, εὐπρεπεῖ.
(24) Cf. Il. 21, 93.
(25) A, θέλειν.
(26) Ex Il. 21, 109. A B C, μεγείνατο.
(31, 32, 33) Ex Il. 21, 136... C, καρόθι. A, ὥρα δῦν ἐδ' ἀνὰ θ. B, ὥρα δῦνε δ' ἀνα θ. Librariis obversabatur, puto, verbum ὡρόθυνε. Inter illorum menda δ natum est e pronunciatione simili litterarum δ θ, quam attigi ad P. 46. — A, λόγον. B, ἀλάλεοι. Ceterum tres illi versus reponendi post v. 44.
(34) C, γράφων. A, γράφει.

κἄνπερ σπουδάζων γράφῃ τι, κἂν παίζων ὡς ἐνθάδε.
Θέλων εἰπεῖν γὰρ οἴδαινεν ὁ ποταμὸς τῷ τότε,
ἔμελλε δ' ἤδη πλημμυρῶν εἴργειν μὲν Ἀχιλέα,
πολλοῖς Τρωσὶ δὲ θάνατον καὶ ὄλεθρον ἐκτρέπειν.
Λέγοντα πρῶτον παρεισφρεῖ τὸν Ἀχιλέα τάδε·
« Φθείρεσθε, Τρῶες· Σκάμανδρος ὑμῖν οὐ βοηθήσει,
« ᾧ ταύρους ἦτε θύοντες μονώνυχάς τε ἵππους »·
εἶτα ὡς ἔμψυχον αὐτὸν τὸν ποταμὸν εἰσφέρει,
οἷα ταῖς ὕβρεσιν αὐτοῦ δεινῶς ἐξωργισμένον,
καὶ οὕτως ἐφορμαίνοντα λοιπὸν κατ' Ἀχιλέως.
« Υἱέϊ Πηλεγόνος, τὸν δ' Ἄξιος εὐρυρέεθρος ».
Παῖς οὗτος ἦν ὁ Πηλεγὼν οὐ ποταμοῦ Ἀξίου,
Ἀξίου κλῆσιν δέ τινος ἀνθρώπου καλουμένου
ἀφ' οὗ Ἀξίου κέκληται καὶ ποταμὸς τὴν κλῆσιν.
« Κεῖσ' οὕτω· χαλεπόν τοι ἐρισθενέος Κρονίωνος
« παισὶν ἐριζέμεναι ποταμοῖο περ ἐκγεγαῶτι ».
« Ἐρισθενοῦς Κρονίωνος », νῦν δὲ τῆς εἱμαρμένης·
τοῦ Κρόνου τοῦ κατάρξαντος πρώτως ἀνθρώπων λέγει
ἀφ' οὗ Κρονίδαι σύμπαντες οἱ βασιλεῖς καλοῦνται,
καὶ δίες ὁμοτρόπως δὲ ἀπὸ Διὸς τοῦ Κρόνου
καὶ τοῦ Διὸς ἀστέρος δέ, τοῦ βασιλεῖς ποιοῦντος.
Ἤτοι ἐγὼ υἱός εἰμι μοίρας εὐτυχεστάτης,
ἢ καὶ ἀνθρώπων ὑψηλῶν υἱὸς καὶ αἰθερίων·

(36) Abest ab A B.
(39) C, πρῶτα.
(40, 41) Cf. Il. 21, 128, 132. — A, φθείρεσθαι. A B, ἡμῖν.
(45) Ex Il. 21, 141. A B C, ἄξιος. Editiones Ἀξιός. Ἀξίου in clausula sequente monstrat pronuntiasse Tzetzem Ἄξιος. V. ad Proleg. 821. Addidi δ'.
(49, 50) Ex Il. 21, 184, 185. A, κλεῖς ὁ οὕτω. A B, τι.
(51) Clauditur hoc versu folium 313; sequens orditur folium 312. Plurima fuerunt interversa folia, plurima perierunt. Vide ad Υ, 418.
(52) A, B, οὐ χρόνου. In C syllaba evanuit ante χρ. Scripsi τοῦ.
(54) A, δῖες. B, διες. C, δίες. Latinum est « dies » ni fallor.
(56) Explicat quem fortasse librarii omiserunt, versum 187 Iliados 21: Αὐτὰρ ἐγὼ γενεὴν μεγάλου Διὸς εὔχομαι εἶναι.

τὸ « ποταμοῦ γεγῶτι » δὲ εἰρήκειμέν σοι πρώην,
ὅτι Ἀξίου ἦν υἱὸς ὁ Πηλεγὼν ὃν εἶπεν
ἀφ' οὗ περ καὶ ὁ Ἄξιος ὁ ποταμὸς καλεῖται.
Οὗτος ὑψῶν τὸν λόγον δὲ σχήματος μεταβάσει
τὸν τοῦ Ἀξίου νῦν υἱὸν, ἀνθρώπου τοῦ ῥηθέντος,
Ἀξίου λέγει ποταμοῦ δῆθεν υἱὸν τυγχάνειν.
« Ὁ δ' Αἰακὸς ἦν ἐκ Διός », τουτέστι βασιλέως,
ἢ, ὥςπερ εἴπομεν τὸ πρὶν, μοίρας εὐτυχεστάτης,
ἢ καὶ ἀνθρώπων ὑψηλῶν καὶ ὄντως αἰθερίων,
ἢ μᾶλλον, ὥςπερ εἴπομεν, ἀνάκτων ὑπερτάτων,
οἷσπερ ἐξ ὕψους οὐρανοῦ τὸ σκηπταρχεῖν ἐδόθη·
οὗτοι δὲ κρείττους ποταμῶν, καὶ παῖδες παίδων τούτων.
« Διὶ Κρονίωνι » τανῦν τῇ εἱμαρμένῃ λέγει.
« Καὶ γάρ τοι ποταμός γε πάρα μέγας, εἰ δύναταί τι
« χραισμεῖν· ἀλλ' οὐκ ἔστι Διὶ Κρονίωνι μάχεσθαι,
« τῷ οὐδὲ κρείων Ἀχιλώϊος ἰσοφαρίζει,
« οὐδὲ βαθυρρείταο μέγα σθένος Ὠκεανοῖο,
« ἐξ οὗπερ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
« καὶ πᾶσαι κρῆναι καὶ φρείατα μακρὰ νάουσιν·
« ἀλλὰ καὶ ὣς δείδοικε Διὸς μεγάλοιο κεραυνὸν
« δεινήν τε βροντὴν, ὅτ' ἀπ' οὐρανόθεν σμαραγήσῃ ».
Ἐγώ, φησὶν ὁ Ἀχιλεὺς, γένος εἰμὶ ἀνθρώπων,
εἴπερ ἐξ αἵματος εἰσὶ μεγάλων βασιλέων
οἷσπερ ἐξ ὕψους οὐρανοῦ τὸ σκηπταρχεῖν ἐδόθη

(58) A, sine δέ. Πρώην scilicet superius v. 45.
(61) A C, σχήματι.
(63) A B, ποταμόν.
(64) Cf. Il. 21, 189. Εἴπομεν scilicet v. 56, 57.
(67) A B, ἀτάκτων.
(68) A B, σκῆπτρον ἄρχειν. C, σκηπταρχεῖν. Mox v. 81. B, σκηπτραρχεῖν.
(70) Cf. Il. 21, 193. Hic versus positus erat post 66.
(71-78) Ex Il. 21, 192, 200. A B, καὶ γάρ τοι. C. σοι. A, ναίουσι. B, νάουσι. B, καὶ ὣς δέδοικα. A, ὃς δέδοικε. C, οὐρανόθε. A, συναρηγήσῃ.
(79) A B, ὦ ἀχιλλεῦ.

τοῦ οὐρανοῦ τὴν ἀστραπὴν καὶ τῆς βροντῆς τὸν ἦχον
καὶ ὁ πατὴρ ὠκεανὸς πάντων ὑδάτων τρέμει.
« Καί νύ κ᾽ ἔτι πλέονας κτάνε Παίονας ὠκὺς Ἀχιλεύς,
« εἰ μὴ χωσάμενος, προσέφη Ποταμὸς βαθυδίνης
« ἀνέρι εἰσάμενος, βαθέης δ᾽ ἐφθέγξατο δίνης ».
Ὑψῶσαι χρῄζων Ὅμηρος τὰς πράξεις Ἀχιλέως
πρόσωπον περιτίθησι τῷ ποταμῷ Σκαμάνδρῳ,
καὶ λόγους οὕσπερ ἔπλασε δῆθεν ἐκεῖνον λέγειν·
« Αἰεὶ ἀμύνουσι θεοί », ἤτοι ἡ εἱμαρμένη.
« Τὸν δ᾽ ἀπομειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλεύς ».
Ἠθοποιεῖ ὁ Ὅμηρος χωρίῳ τῷ ἐνταῦθα
τίνας ἂν εἶπεν Ἀχιλεὺς τῷ ποταμῷ Σκαμάνδρῳ.
« Δαίμονι ἶσος » λέγει δέ, ὡς ἕν τι τῶν στοιχείων,
ὡς πῦρ, εἴτ᾽ ἄνεμος τυφώς, εἴτε θαλάσσης ὕδωρ.
« Καὶ τότ᾽ Ἀπόλλωνα προσέφη Ποταμὸς βαθυδίνης·
« Ὢ πόποι, ἀργυρότοξε Διὸς τέκος, οὐ σύ γε βουλὰς
« εἰρύσαο Κρονίωνος, ὅ τοι μάλα πόλλ᾽ ἐπέτελλε
« Τρωσὶ παριστάμεναι καὶ ἀμύνειν εἰσόκεν ἔλθῃ
« δείελος ὀψὲ δύων, σκιάσῃ δ᾽ ἐρίβωλον ἄρουραν ».
Ἐπεὶ Τρωσίν, ὡς εἶπον πρίν, ἥλιος συνεμάχει,
ὡς λάμπων κατὰ πρόσωπον στρατεύματος Ἑλλήνων
μέχρι καιροῦ μεσημβρινοῦ, τότε δ᾽ οὐκ ἦν προφαίνων
ἅτε τοῦ καταστήματος ἔντος συγκεχυμένου,
ὁ ποταμὸς δ᾽ ὁ Σκάμανδρος μένος Τρωσὶ συνήργει,
καὶ μᾶλλον κατασύρειν δὲ ὥρμα τὸν Ἀχιλέα·
λόγους συμπλάσας Ὅμηρος, τὸ πέλαγος τῶν λόγων,

(84-86) Ex Il. 21, 211-213. A B C, δ᾽ ἐφθέγξατο.
(89) B, ἐκεῖνον λέγει.
(90) Il. 21, 215.
(91) Il. 21, 222.
(94) Il. 21, 227.
(96-100) Il. 21, 228-232.—A B, ὅτι μάλα. A, ἔλθοι.
(101) πρὶν scil. Υ, 168. A, συνεμάχῃ.
(107) De metaphora πέλαγος λόγων

οἵους ἂν εἶπε βοηθὸς ἔθνους τινῶν ἀνθρώπων
πρὸς βοηθὸν καὶ σύμμαχον ἕτερον ῥαθυμοῦντα,
αὐτὸς ἀγωνιζόμενος γενναίως ὑπὲρ φίλων,
Σκάμανδρον τούτους λέγοντα τὰ νῦν σοὶ παρεισφέρει,
μεμφόμενον ἡλίῳ νῦν, καὶ λέγοντα ἐκείνῳ·
« Ἄπολλον, οὐκ ἐφύλαξας βουλὰς τῆς εἱμαρμένης
« ἐξ ἧς θεσμός σοι ἔκειτο περιφρουρεῖν τοὺς Τρῶας
« μεχρὶ δειέλου », τοῦ καιροῦ τάχα τῆς μεσημβρίας.
Τὸ δ' « ἀργυρότοξος » δηλοῖ λευκὸν τὸ φῶς ἡλίου.
« Μέγας θεὸς », τὸ μέγιστον στοιχεῖον, ἤτοι ὕδωρ·
καὶ τὸ « θεοὶ δὲ φέρτεροι ἀνθρώπων », τὰ στοιχεῖα.
« Ἀθάνατοι φοβέουσιν » οὐράνια στοιχεῖα,
ὄμβροι καὶ πῦρ, καὶ ὁ ἀήρ· μὴ καταπίπτει πάντα.
« Ζεὺς πάτερ », νῦν ὦ οὐρανέ, εἴτε καὶ εἱμαρμένη.
Φίλην μητέρα ψεύδεσι θέλγουσαν τοῦτον λέγει
τὰ λεκανομαντεύματα, ἐξ ὧν ἐμεμαθήκει
ὡς ἐν ναῷ Ἀπόλλωνος, ἔγγιστα τείχους Τρώων,
τὸν βίον ἐκμετρήσειεν, ὅνπερ ναὸν νῦν λέγει
καὶ βέλη τοῦ Ἀπόλλωνος ὡς ἀνελόντα τοῦτον.
Τὸν Ἀχιλέα σώζει δὲ ὁ Ποσειδῶν, Ἀθήνη,
εἴτουν οἰκεῖος λογισμὸς, εἴτε τις τῶν ἐμφρόνων
εἰπὼν αὐτὸν πρὸς θάλασσαν χωρεῖν καὶ τὰς ἐκχύσεις·
ἐκεῖ γὰρ ἀβαθέστερος ὁ ποταμὸς εἰσρέει·
« Καὶ σὺ σωθήσῃ οὕτω μὲν, τῶν Τρώων δὲ μὴ φείδου ».

ad Proleg. 51. Addesis n. ad mea Anecd. Gr. t. 3, p. 12.

(108) A B, βοηθούς, et sic fere C. Scripsi βοηθὸς, quod firmant sequentia βοηθὸν καὶ σύμμαχον ἕτερον.

(112) B, ἡλίῳ γῆν. A, ἡλωγήνδέ.

(115) A, δι' ὅλου.

(117) Cf. Il. 21, 248.

(118) Cf. Il. 21, 264. A B, σφέτεροι.

(119) Non est in A C. Cf. Il. 21, 267.

(120) Sic A B C.

(121) Il. 21, 273. C, Ζεύς.

(122) Cf. Il. 21, 276.

(127) Cf. Il. 21, 284.

(128) C, εὐφρόνων.

(131) Cf. Il. 21, 294.

Εἰπόντες μὲν ἀπέβησαν οὗτοι μετ' ἀθανάτους;
ἤτοι ἡ θάλασσα μὲν ἦν ἐν κοίτῃ τῶν ὑδάτων·
ἡ δὲ βουλὴ τῷ λογισμῷ τοῦ συμβεβουλευκότος.
Νῦν « ἐφετμὴ » δὲ τῶν θεῶν συμβεβουλευκότων.
  Τὸ « φίλε δὲ κασίγνητε » Σιμόενθ' ὑπεμφαίνει,
ὡς καὶ Σιμόεις εἰς αὐτὸν τὸν Σκάμανδρον εἰσβάλλει,
  « Ἶσα θεοῖσι μέμονε », τουτέστι τοῖς στοιχείοις.
  « Ἥρη δὲ μέγ' ἄϋσε περιδδείσασ' Ἀχιλῆϊ·
« αὐτίκα δ' Ἥφαιστον προσεφώνεεν ὃν φίλον υἱόν ».
Πνεῦμα λεπτὸν κεκίνητο, πᾶν ἐκαθάρθη νέφος·
θερμότερον ὁ ἥλιος ἐκλάμψας δὲ τῷ τότε
ἐκ ποταμοῦ καὶ πάσης δὲ τῆς ἐν τῇ γῇ νοτίδος
ἐξατμιζούσας ἔνθερμον ἀνῆγε τὰς ἰκμάδας,
ὅπερ Σκαμάνδρου δέησιν ὡς πρὸς τὴν Ἥραν λέγει.
Ἡφαίστου σβέσις δὲ πυρὸς κελεύσει τῇ τῆς Ἥρας
τὸ συγκρυβῆναι πάλιν μὲν ἀκτῖνα τὴν ἡλίου,
καὶ τῶν στοιχείων σύγχυσιν αὖθις δεινὴν γενέσθαι,
ἥνπερ καὶ μάχην τῶν θεῶν τῶν ἄλλων ὀνομάζει.
  « Σὺν δ' ἔπεσον μεγάλῳ πατάγῳ, βράχε δ' εὐρεῖα χθών,
« ἀμφὶ δ' ἐσάλπιγξε μέγας οὐρανός· ἄιε δὲ Ζεὺς
« ἥμενος οὐλύμπῳ, ἐγέλασσε δέ οἱ φίλον ἦτορ

(132) A B, ἀθανάτων. Cf. Il. 21, 298.

(133) Hic versus ultimus est folii 312, sequens autem primus folii 304, plurima quam sint interversa folia. V. n. ad v. 51.

(135) Cf. Il. 21, 299.

(136) Cf. Il. 21, 308. B C, σιμόει παρεμφαίνει. Non potuit servari σιμόει. Profeci ex mendis A, σιμόνε παπεμφαίνει.

(138) Il. 21, 315. A B, μέμηνε.

(139) Il. 21, 328. B C, ἄεισε. A, ἄεισε e correctione, prius ἄυσε.

(140) Il. 21, 330.

(145) A B C, ὅπερ Ἡφαίστου, lapsu calami. Scripsi, jubente re ipsa, Σκαμάνδρου. Libro Υ, 269, loco conferendo legitur recte δέησιν Ξάνθου.

(146) Cf. Il. 21, 379.

(147) C, συγκριβῆναι. C, τοῦ ἡλίου.

(149) Cf. Il. 21, 385.

(150-158) Il. 21, 387-395. C, νῦν δ' ἔπεσον. Sed infra v. 171, σύν. B, ὁμάδω. A, σίδηρον ἀμφέστησαν. B, ἐρέστασαν. C, ἦρχεν ἄρης.

« γηθοσύνῃ, ὅθ' ὁρᾶτο θεοὺς Ἔριδι ξυνιόντας.
« Ἔνθ' οἵγ' οὐκέτι δηρὸν ἀφέστασαν· ἦρχε γὰρ Ἄρης
« ῥινοτόρος, καὶ πρῶτος Ἀθηναίῃ ἐπόρουσε
« χάλκεον ἔγχος ἔχων, καὶ ὀνείδειον φάτο μῦθον·
« Τίπτ' αὖ, ὦ κυνόμυια, θεοὺς Ἔριδι ξυνελαύνεις
« θάρσος ἄητον ἔχουσα; μέγας δέ σε θυμὸς ἀνῆκε ».
Τζέτζης τὸ « ἦ οὐ μέμνῃ δὲ ὅτε τὸν Διομήδην »
ἑτέρους τρεῖς τε καθεξῆς τῶν στίχων ὀβελίζει,
τὸν πέμπτον πάλιν γράφει δὲ ὡς ὄντα τῶν Ὁμήρου·
ὃς στίχος οὕτως ἔχει τε κατὰ ῥητὸν καὶ λέξιν·
« Ὣς εἰπὼν, οὔτησε κατ' ἀσπίδα θυσσανόεσσαν
« σμερδαλέην, ἣν οὐδὲ Διὸς δάμνησι κεραυνος.
« Τῇ μιν Ἄρης οὔτησε μιαιφόνος ἔγχεϊ μακρῷ.
« Ἡ δ' ἀναχασσαμένη λίθον εἵλετο χειρὶ παχείῃ
« κείμενον ἐν πεδίῳ, μέλανα, τρηχύν τε μέγαν τε,
« τόν ῥ' ἄνδρες πρότεροι θέσαν ἔμμεναι οὖρον ἀρούρης·
« τῷ βάλε θοῦρον Ἄρηα κατ' αὐχένα, λῦσε δὲ γυῖα ».
Ἀλλ' ἀλληγορητέον μοι πᾶν τὸ χωρίον τοῦτο.
« Σὺν δ' ἔπεσον », σὺν δ' ἤρραξαν, συνέβαλον εἰς μάχην.
Τὴν τῶν στοιχείων σύγχυσιν νῦν ὀνομάζει μάχην·
καὶ συρραγὴν πρὸς πόλεμον· γέγονε γὰρ τῷ τότε
ἐκ γῆς δεινὰ μυκήματα, πρό γε τῶν ἄλλων πάντων,
ἃ συρραγῇ τῇ τῶν θεῶν ἦχον τῆς γῆς σοι λέγει·
ἐξ οὐρανοῦ δ' ἐκρότησεν ἦχος βροντῆς βιαίας.
Εἶτα κροτήσει τῶν νεφῶν καὶ κεραυνὸς ἐξήχθη·

(160) Τρεῖς scilicet 397, 398, 399.
(161) πέμπτον scilicet v. 400. A, τοῦ Ὁμήρου.
(163-169) Il. 21, 400-406.—A B C, ἀσπίδα.—B, σμερδαλέως, et sic ferè A.—A B, οὐδὲ δεινός.—A B, πρότερον.
(171) A, δ' ἤραξαν. C. συνήραξαν A B, συνέβαλλον.
(173) A B, συρραγή.
(174) A, πρός.
(175) Λέγει poeta Il. 21, 387.
(176) Cf. Il. 21, 388.

ἀέρι παχυτέρῳ δὲ προσβάλλων τῷ προσγείῳ
ἐσβέννυτο, καὶ πάλιν τι μικρὸν ἐκπυρηνίσας
ἡττήθη ᾧ εἰρήκειμεν καὶ πρότερον ἀέρι,
εἶτ' ἐκ τῆς ζάλης γέγονεν εὐθέως καὶ αἰθρία.
Ὁ γέρων δ' οὗτος ὁ δεινὸς εἰς τὸ συγγράφειν λόγους,
ὁ πάντων, ἀλλ' εἰς πόσον δὲ, ῥητόρων ὑπεκτρέχων
καὶ φιλοσόφων καὶ λοιπῶν ὧνπερ τὸ ἔργον λόγος,
γράφων καὶ σύμπαν τὸ τυχὸν τὸ γεγονὸς τῷ τότε,
μεθόδῳ τῆς δεινότητος θέλων ὑψοῦν τὸν λόγον
καὶ τῷ γλυκεῖ τοῦ μύθου δὲ τέρπειν ἠκροαμένους
τὴν μὲν βροντὴν ὡς οὐρανὸν σαλπίσαντα παράγει,
Ἄρεα δὲ τὸν κεραυνὸν, τὸν δὲ παχὺν ἀέρα
Ἀθήνην, καὶ ἀσπίδα δὲ ταύτης κατονομάζει,
ἣν κεραυνὸς οὐ δάμνησιν, ὡς καὶ αὐτός σοι λέγει.
Τὸ ἔτι δὲ παχύτερον καὶ ἔνυδρον ἀέρος,

(178) B, ἐκπυρρηνίσας. C, ἐκπυρινίσας. Cf. Υ, 122.

(182) B, καὶ δεινός.

(183) C, ἐς πόσον. Fort. ὑπερτρέχων.

(185) B, εἰς τὸ γεγ.

(187) C, γλυκὺ, permutatione solita vocalium υ η ει. Agathias Anth. 10, 66: Πάντα, φίλος, μερόπεσσι παρέρχεται· εἰ δ' ἀπιθήσῃς, Ἔμπαλιν αἰτίζων μάρτυρα σαυτὸν ἔχοις. Malim syntaxi notiore εἰ δ' ἀπιθήσεις, quod tenent editiones Stephaniana ac Planudea. Exempla subjunctivi plurima quæ protulit Jacobsius parum habent ponderis propter iotacismi labem. Videtur proponenda mutatio et in alio versu ejusdem epigrammatis: Εὖτέ τις ἐκ πενίης πλούτου τύχοι ἠδὲ καὶ ἀρχῆς, Οὐκέτι γινώσκει τίς πέλε τὸ πρότερον. Τὴν ποτὲ γὰρ φιλίην ἀπαναίνεται, ἀφρονέων δὲ Τέρψιν ὀλισθηρῆς οὐ δεδάηκε τύχης. Ut τέρψιν confirmem meminero Horatiani loci: « Fortuna sævo læta negotio, Ludum insolentem ludere pertinax »; sed epithetum ὀλισθηρῆς me ducit ad nomen τρέψιν simillimum, quod usitatissimum τέρψιν potuit sede depellere. Nam Fortuna, quæ versatur celeri levis orbe rotæ, quæ dubio stat in orbe, ὀλισθηρὴ, ideo et necessario ἀείτρεπτος est, εὔτρεπτος, εὐτράπελος, frequenti obnoxia τρέψει. Nec recte minus a τρέψω fiet τρέψις, quam a τέρψω τέρψις, ῥέψις a ῥέπω, et alia

(188) A B, εἰς οὐρ. C, ὡς. Syllabæ ὡς εἰς ἐς calamo properante et inaccurato sæpius permutantur. Theodorus Lascaris a viro d. in Catalogo Scorialensi allatus e codice: οἱ λεοντιδῶς βριαρόχειρες πρὶν, κνωδάλων γεγόνασιν ὕστερον ἀσθενέστεροι. Emendatio proponitur λεοντοειδῶς; contrapono λεοντιδεῖς, vel λεοντώδεις, vel etiam, quod equidem malim, servato adverbio λεοντώδως. Cf. lib. Π, 61, ubi λεωντώδεις ἄνδρες. Theodorus Prodromus Rhodante 8, p. 561: Μαθὼν δ' πατὴρ εἰς τὸ Πισσαῖον πέδον Δοῦλον παροικῶ. Lego, ὡς τὸ Πισαῖον π. Philostratus V. A. 6, 9: ξυγγέγονας γὰρ αὐτοῖς ἐς τὸ εἰκός. Codex 1696 ὡς τὸ, quod et Huetius conjecerat, receptumque nunc est in Kayserianam.

(192) A B, ἔτι καὶ παχύ.

λίθον τραχὺν καὶ μέλανα, ὅνπερ οἱ πάλαι ἄνδρες
ἦγουν οἱ πρότεροι σοφοί, οὖρον ἀρούρης θέσαν·
ὅρος γὰρ γῆς, καὶ διαιρῶν ἀὴρ τυγχάνει ταύτην.
Ἀναχωρεῖ δὲ Ἀθηνᾶ, εἶτα τὸν Ἄρην πλήττει·
τὸν γὰρ ἀέρα τέμνει μὲν ὁ κεραυνὸς τὸ πρῶτον,
εἶτα δὲ κατασβέννυται τούτου τῷ παχυτέρῳ·
καὶ θραύεται ὁ τράχηλος ἐκείνου καὶ ἡ ἄρσις·
τὸ πῦρ, ὅπερ μετέωρον εἴληχεν ἔχειν φύσιν,
τῶν κεραυνῶν δ' ὡς κάθυγρον τοῖς κάτω καταρρέει.
Αἱ χαῖται δὲ τοῦ Ἄρεος εἰσὶν αἱ κονισθεῖσαι
αἱ μέχρι πρὸς τὰ πρόσγεια τῶν κεραυνῶν ἐκχύσεις.
« Τεύχεα τ' ἀμφαράβησε » πάλιν ἑτέρως λέγει,
τρόπῳ μεταποιήσεως ῥητορικῷ διδάσκων
τὰ νέφη τε καὶ τὴν βροντὴν τὴν Ἄρεος πανοπλίαν·
τὰ νέφη συρραγέντα γὰρ ἀλλήλοις παταγοῦσιν·
ὁ τῶν νεφῶν δὲ πάταγος πάντως βροντὴ τυγχάνει·

(194) A B, πρότερον. Confer superius v. 168.

(196) B, πλάττει.

(198) B, τούτω.

(199) Cf. Il. 21, 406.

(201) B C, τὸν κεραυνόν.

(203) Cf. Il. 21, 407.

(204) Cf. Il. 21, 408.

(207) A, πυραθέντα. B, πυρραγέντα pro παρραγέντα. A B, ππαταγοῦσι.

(208) A B, πάτταγος. Plochirus v. 45 : Βάλλει με νῦν πάταγος ὠσὶν ἐν μέσοις. Sic bene Tilmannus. Morellus, ut iambicum daret Plochiro qui versus tantum duodecasyllabos fecit, scripsit νυνί. Editor nuperus id reliquit, quem doleo caruisse libro Tilmanniano ; sed veram scripturam divinabat. Sic v. 35 Tilmannus bene : Ὦ μιαρὰ γραῦς κακὸν ἀνθρώποις μέγα. Nuper non bene, κακόν τ' ἐν ἀνθρώποις μέγα. Nec tangendi fuerunt alii versus quos Tilmannus accurate edidit : Ναὶ κλεῖσον, αὐτὰς ἄφες ἔξω τῆς θύρας (intelligo αὐτὰς de Musis). Παράφρονας μὲν ἐν συνεδρίω βλέπω, Σοφοὺς ἀτίμους, ἀσόφους τιμωμένους. Χρυσὸς γὰρ ἄρτι καὶ λαλεῖ καὶ σέβεται, Morello rescribente, λαλεῖ γ' ἡ δὲ σέβεται, quam clausulam adsuit et versui 50, Ὤνησεν οὐδὲν οὐδαμῶς ἥγε σοφία, pro lectione Tilmanni. Ὤνησεν οὐδὲ οὐδαμῶς ἡ σοφία· Ipse ad Philostratum Epist. p. 128, Morello carens ac Maittario, proposueram οὐδέν. Adsuit et dactylum quintæ sedi v. 60 : Ἔχεις παρ' αὐτῷ πλοῦτον αὐτῆς γε σοφίας. A Tilmanniana γε abest. Inseruit pessimo consilio ἰδὲ v. 6 : Τὴν ὡς ἀληθῶς βδελυρὰν ἰδὲ τρισαθλίαν. Sed Tilmannus exhibuit quas inveniebat duodecim syllabas, nec offendebat ad trochæum tertiæ sedis, neque v. 8 ad quartæ pirrychium: Σίγα, σιώπα, σφίγγε τὸ λαῦρον στόμα. Vir criticus, qui ignorabilem istum versificatorem nuper curis est suis dignatus, Morellianam lectionem τόδε servavit, non sine hæsitatione.

τῇ παρατρίψει τούτων δὲ ξηρὸς ἀὴρ ἐκτρέχων
ὁπλίζει πάντως καὶ ποιεῖ τῶν κεραυνῶν τὴν φύσιν,
εἴπερ ἐξυγραινόμενοι τῷ πάχει τοῦ ἀέρος
ῥέπουσι κάτω καὶ πρὸς γῆν, οὐχ ὡς τὸ πῦρ τοῖς ἄνω.
Γέλασεν ἡ Ἀθήνη δὲ, ἀὴρ δὲ ἐφαιδρύνθη·
ὁ γὰρ ἀὴρ τῶν κεραυνῶν κρείττων ἐστὶν εἰς σθένος,
εἰδας, ὅπως ἐκσβέννυσι τοὺς κεραυνοὺς τῷ πάχει.
Μήτηρ τοῦ Ἄρεος ἐστὶ καὶ τοῦ Ἡφαίστου πλέον
ἡ Ἥρα, ὁ αἰθέριος λεπτὸς ἀὴρ ξηρός τε.
Ἐπεὶ δὲ τὸ κατάστημα τὸ αἴθριον ἀέρος,
δῆθεν ἡ Ἥρα ἡ θεὰ, τοῖς Ἕλλησι συνήργει,
καὶ σὺν αὐτῇ ὁ Ἥφαιστος, υἱὸς αὐτῆς ὑπάρχων,
τὸ ἔτι ἐνθερμότερον καὶ αἴθριον, πυρῶδες·
τὸ δὲ πυρῶδες κεραυνῶν χειμῶνας, ὄμβρους φέρον,
Ἕλλησι βλάβην ἔφερε, Τρωσὶ δ' ἐλυσιτέλει.
Ἀέρα λέγων Ἀθηνᾶν καὶ προσωποποιήσας,
καὶ λόγους λέγουσαν αὐτὴν ὡς πρὸς τὸν Ἄρην πλάττει·
« Τὰς ἐριννύας τῆς μητρὸς τῆς Ἥρας ἀποτίνοις,
« ἥπερ ὀργιζομένη σοι τοιαῦτα μηχανᾶται »·
γεννᾷ τὸ πῦρ τῶν κεραυνῶν Ἥρα, ξηρὸς ἀήρ τις·
λίαν δ' ἐπινυσσόμενος καὶ διεγηγερμένος,
καὶ ἀνιμῶν ἰκμάδας δὲ, παχύνων τὸν ἀέρα,
πάλιν τὸ τούτων καυστικὸν ὑγραίνει καὶ σβεννύει·
« Ὅτι, παρεὶς δὲ Ἕλληνας, τοῖς Τρώεσσιν ἀρήγεις ».
Χάρις ἐστὶ καὶ ἡδονὴ, ἀπάτη τε τῶν νέων.

(212) Fortasse, ὡς πρός.
(213) Cf. Il. 21, 408. C. ἀήρ τις. AB, ἐφαιδρώθη.
(214) A B, ὁ δέ γ' ἀήρ.—Hic versus ultimus est folii 304; sequens autem primus folii 309, ob foliorum interversionem de qua sæpius.
(215) In C prima vox periit chartæ laceratione; secunda est ὅπως, quod placuit. A B, ὅπερ.
(220-224) Absunt ab A. C, φέρων.
(225) A, λέγουσα.
(226) Il. 21, 412.
(232) Il. 21, 413.

Θεόν τινα νομίζουσιν Ἄρεα τοῦτον εἶναι,
καὶ ἡττηθῆναι Ἀθηνᾷ, Ἥρας ὀργιζομένης,
ἀνθ' ὧν ἡ μὲν τοῖς Ἕλλησιν, ὁ δὲ Τρωσὶ συνήργει.
Γέρον δαιμονιώτατε ταῖς χάρισι τῶν λόγων,
ἀεὶ οὕτως σβεννύεται τῶν κεραυνῶν τὸ φλέγον,
καὶ πρὸ τοῦ Τρῶας εἶναι δὲ καὶ χρόνοις ἡμετέροις·
τί δρᾷς, ὦ βαθυνούστατε, τοὺς ἁπλουστέρους παίζων;
« Ὣς ἄρα φωνήσασα, πάλιν τρέπεν ὄσσε φαεινώ.
« Τὸν δ' ἄγε χειρὸς ἑλοῦσα Διὸς θυγάτηρ Ἀφροδίτη
« πυκνὰ μάλα στενάχοντα. Μόγις δ' ἐσαγείρατο θυμόν ».
Ἐπαύθη μὲν ὁ ἔνυγρος, παχυμερής ἀήρ τε,
βραχὺ δ' εὐδία γέγονεν, ἣν Ἀφροδίτην λέγει,
κρατοῦσαν τοῦτον τῆς χειρὸς, ὥσπερ ἀναρρωννῦσαν,
ἡ ἐκ πυρώδους γίνεται βραχέος κεκραμένου.
Πυκνοὺς δὲ τούτου στεναγμοὺς κρότους βροντῶν μοι νόει,

(237) A C, γέρων.

(241-243) Ex Il. 21, 415-417. Ilias edita, τράπεν. A B C, τρέπεν.—B, τὸν δ' ἀγελαὸς εὕρουσα. — C, μόλις. A, μόλις ἐσαγείρωτο.

(246) A, κρατοῦσα... ἀναρρωνήσαν. B, ἀναρρωννύσαν.

(247) Pro ἡ scripsi ἥ. Tzetzes Chil. 6, 425; de Herode, Ὃς παῖς ἢ Ἀντιπάτρου τε καὶ Κύπριδος ἡ Ἄραψ. Sic et codex 2644 cum scholio: ἤγουν ἥτις ἦν Ἀράβισσα. Inde manifestum est scripsisse Tzetzam, ἣ Ἄραψ. Pronomen ἥ viros criticos impedit in epigrammate, Anth. 9, 126. Clytæmnestra Orestem alloquitur matricidam: Πῆ ξίφος ἰθύνεις; κατὰ γαστέρος ἢ κατὰ μαζῶν; Γαστὴρ ἥ σ' ἐλόχευσεν· ἀνετρέψαντο δὲ μαζοί. Scaliger transponebat ἡ γαστήρ σ' ἐλόχ., quod est paulo frigidius, meo quidem judicio. Meinek. legit γαστὴρ μέν σ' ἐλ., et id debile; Jacobs., γαστὴρ ἔκ σ' ἐλ., laboriose, ac γάστρης ἥ σ' ἐλ., genitivo bene, ipso pessime vocabulo, et ad id tacita ductus Brunckii lectione γαστέρος. Inveni in apographo Vaticani codicis γαστὴρ ἧς ἐλ., quod quidem idem esse videtur edito ἥ σ' ἐλ., litteris male in unam syllabam contractis; sed quod, ob similem fere sonum litterarum δ et σ, posset etiam legi, γαστὴρ ἥδ' ἐλόχευσέν, ἀνεθρέψαντο δὲ μαζοί, aptissima utriusque membri consequutione. Ceterum ex præmissis tentaminibus Brunckianum, hodie quidem, mihi plus reliquis placet, in quo nativa est maxime γαστέρος repetitio, tum nativa quoque in tanto motu mutatio syntaxeos, ἀνεθρέψαντο δὲ μαζοί. Attamen sequendus potius codex: γαστὴρ ἥ σ' ελ., vel γαστὴρ ἥδ' ελ.

(248) A B, τε. C, δέ. Reponatur utilius τε Chiliade 5, 733, de homine φαρμάκῳ: Τυρόν τε δόντες τῇ χειρὶ, καὶ μάζαν, καὶ ἰσχάδας, Ἑπτάκις γὰρ ῥαπίσαντες ἐκεῖνον εἰς τὸ πέος. Melius codex A, ἑπτάκις τε ῥαπ. Habet et μάζας, quod non prætulerim, cum hoc scholio, recepto in Anecd. Oxon. t. 3, p. 366: μάζα, μὴ ἄζα τις, ἀλλὰ τὸ νεοφύρατον ἀρτίδιον.

πλὴν ἀμυδροὺς, καὶ κεραυνοὺς ἀσθενεστάτους πάνυ,
ὅθεν « καὶ μόλις τὸν θυμὸν ἀγείρατο » εἰρήκει.
Πρὸς Ἀθηνᾶν δὲ λόγους μοι νόει τῆς Ἥρας εἶναι,
οἷς πειθομένη Ἀθηνᾶ νικᾷ καὶ Ἀφροδίτην,
τὸ τῷ λεπτῷ τοῦ πνεύματος κινούμενα τὰ νέφη
πάλιν συγκρύψαι καὶ αὐτὸ τὸ αἰθριάζον μέρος.
Ἃ δὲ φησὶν ἡ Ἀθηνᾶ, δῆθεν ὡς καυχωμένη,
Ὁμήρου πλάσμα πέφυκε καὶ προσωποποιΐα.
Ἥρας δὲ τὸ μειδίαμα πάλιν αἰθρίας μέρος.
Οἱ δὲ πρὸς τὸν Ἀπόλλωνα τοῦ Ποσειδῶνος λόγοι,
τὸ πάλιν νέφος ἔνυγρον, πλὴν μὴ παχὺ τελείως,
ὁτὲ συγκρύπτειν ἥλιον, ὁτὲ δ' ἐᾷν προφαίνειν,
οἷα πολλάκις γίνεται καιροῖς ὀμβροευδίοις.
Τὸν Ποσειδῶνα πρότερον Ἀπόλλωνος δὲ λέγει
ὅτι τὸ ὕδωρ πρότερον καθ' Ὅμηρον στοιχεῖον.
Ἄκουε καὶ τῶν λόγων δὲ τῆς προσωποποιΐας·
οὓς διὰ Λαομέδοντα καὶ Τροίαν δοκεῖ λέγειν,
περὶ τῆς πρώτης λέγει δὲ συστάσεως τοῦ κόσμου
ὥσπερ καὶ μέδων τῶν λαῶν ἐστὶ καὶ τῶν ἀνθρώπων,
καὶ πῶς ὕδωρ καὶ ἥλιος λατρεύουσι τῷ κόσμῳ·
« Ἴλιον » νῦν τὴν συστροφὴν τὴν πρώτην τῶν στοιχείων,
ὁπότε κόσμος κατ' ἀρχὰς τὸ πρῶτον διηρθροῦτο·
τὸν κόσμον Λαομέδοντα· πῶς δὲ « ἀγήνωρ » οὗτος;

(250) C, ἀγίρατο.
(253) A, τῷ δὲ λεπτῷ. C, τὸ τῷ θερμῷ.
(254) C, συγκρίψαι. A, αὐτὸ αἰθριάζον. B. αἰθεριάζον.
(255) Il. 21, 429.
(257) Il. 21, 434. A B, μειδίασμα.
(258) Il. 21, 435.
(259) A, ἄνυγρον.
(260) C, σῦγκρίπτειν. A, ὅτε... ὅτε. Fortasse συγκρύπτον... δ' ἐῶν· vel ὁτὲ δὲ αὖ προφαῖνον· vel, ὥστε συγκρύπτειν ἥλ., ὁτὲ δ' ἐᾷν προφ.
(261) C, ὀμβροευδίας. Cf. Θ, 152.
(262) Il. 21, 440.
(264) A B, τὸν λόγον.
(266) C sine πρώτης.
(267) A, ὅπερ.
(268) A B C, καὶ πῶς.
(269) Il. 21, 442.
(271) Il. 21, 443.

εἴτουν ὡς ἄγαν ἀνορμῶν καὶ τρέχων πρὸς αὐξήσεις,
εἴτουν ὡς ἄγαν ὢν ἀνδρῶν καὶ τῶν ἀνθρώπων πλήρης.
« Πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτόν »·
τὸ « πὰρ Διὸς ἐλθόντες » νῦν, εἴτε τῆς εἱμαρμένης·
οὕτω γὰρ εἵμαρτο, φησί, τὸν κόσμον γεγονέναι,
εἴτε Διός, καὶ πνεύματος εἰδοποιοῦ προσπνεύσει,
ὁ πνεῦσαν ἐταρτάρωσε τὸν Κρόνον, καὶ τὴν ὕλην,
[2] Pro πλάτος forsan scripsit auctor πέλαγος, metaphora notissima. Gregorius Cyprius in meis Anecd. Græcis t. 1, p. 343: τοσοῦτον πραγμάτων διανήξασθαι πέλαγος. Libanius t. 1, p. 413: ἐκεῖνα μέν μοι χορηγήσει πρὸς μῆκος λόγου μικρὸν (cod. σμικρόν) ὕστερον, ἐπειδὰν εἰς τὸ πᾶν ἀφεῖναι πέλαγος ὁ θεὸς ἐπιτρέπῃ. Discipulus Libanii Joannes Chrys. ad Antiochenos Hom. 7, § 5, magistri premens vestigia: ὁρῶ τὸν καιρὸν ἡμῖν οὐκ ἐπιτρέποντα πρὸς τοιοῦτον ἀφεῖναι τὸν λόγον πέλαγος. Quem opinor scripsisse τῶν λόγων, verbo ἀφεῖναι pendente ἀμεταβάτως, ut Philostrati Heroicorum initio: φασὶ γὰρ ἡμᾶς ἀφήσειν εἰς τὸν Αἰγαῖον αὐτόν. Ibi nota mea. Infinita sunt exempla. Ovidius forte est sub oculis F. 2, 4: « Nunc primum velis, Elegi, majoribus itis ». Quod admovebo ad Byronis *Donny Johnny*, libro quinto, stropha 158: but 'tis time.... To slacken sail and anchor with our rhyme.

[3] Nominativus est absolutus αἱ τελεταί, τούτων, quæ figura non rara est. Philostratus Icon. 6, p. 11: φαρέτραι χρυσόπαστοι καὶ χρυσαῖ, γυμνὴ τούτων ἡ ἀγέλη πᾶσα. Ibi Jacobs. Monui et ad Nicetam Eugenianum pag. 98. Adde Palairet. ad Joannem Evangelio 8, 45; Battier. Observat. ad N. T. § 4, in Biblioth. Hist. philol. theolog. classe octava; Kayser ad Philostr. Soph. p. 165.

[4] Alludit Psellus ad Mysteria et initio Allegoriæ de Sphinge, loco conferendo.

[5] G B, αἰσθητῶν. A, ἐσθήτων.

[6] G B sine τοῦτον. quod accessit ex A.

[7] G B οἱ μὲν γὰρ αὐτὸν πρῶτον τοῦ παντός. Et hic sequor A.

[8] A sine τῆς.

[9] G B, φοιτήσασαν. A, φοιτήσαντα. An αἴτιον? Posset tamen defendi, etsi durum valde, φοιτήσαντα αἰτίαν, exponente nomine αἰτίαν τοῦ φοιτήσαντος τὴν ποιότητα, τὴν φύσιν. Phurnutus c. 2 mundi animam vocari Ζεὺς ait, quod sit αἰτία τοῖς ζῶσι τοῦ ζῆν. Plato Craty1o § 28: οἱ μὴν Ζῆνα, οἱ δὲ Δία καλοῦσι· συντιθέμενα δὲ ταῦτα εἰς ἓν δηλοῖ τὴν φύσιν τοῦ θεοῦ, ὃ δὴ προσήκειν φαμὲν ὀνόματι οἵωτε εἶναι ἀπεργάζεσθαι· οὐ γάρ ἐστιν ἡμῖν καὶ τοῖς ἄλλοις πᾶσιν ὅστις ἐστὶν αἴτιος μᾶλλον τοῦ ζῆν ἢ ὁ ἄρχων τε καὶ βασιλεὺς τῶν πάντων. Ibi Heindorf, collato Heeren. ad Stobæum Ecl. 1, 3, 26; Kapp. ad Aristot. De mundo 7, 2.

καὶ τρίτον ποιοῦσιν ἀπὸ τοῦ ἑνός. Ἓν γάρ φασι τὸ ἐκ τῶν πάντων καὶ πρὸ τῶν[1] πάντων, μεθ' ὃ[2] ἰδέας, καὶ ἐφεξῆς τὸν δημιουργόν. Τοῦτον γὰρ ἀμέσως προσάγουσι τοῖς ποιήμασιν. Οἱ δέ τινες ταύτην μὲν τὴν αἰτίαν ἀπέγνωσαν[3], φαινομένῃ ἔτι τινὶ φύσει τὴν προσηγορίαν ταύτην ἐπιφημίζουσιν, ἥτις δὴ[4] ὁ δεύτερος πλάνης ἐστὶ, Ζεὺς τοῖς ἀστρολόγοις ἐπονομαζόμενος, ὅτι, τοῦ ὑπερκειμένου τούτου φθαρτοῦ τυγχάνοντος ταῖς γενέσεσιν, οὗτος εἰς ἂν ἀλῷ σχηματιζόμενος ἢ ὑφαιρεῖταί τι τῶν[5] κακιόνων, ἢ προστίθησι τὰ καλλίονα.

Τοιαύτη μὲν καὶ ἡ δευτέρα δόξα περὶ τοῦ Διὸς τοῖς Ἕλλησιν· ἡ δὲ τρίτη ἱστορικωτέρα, καὶ ἴσως ἀληθεστέρα[6]. Αὐτόν τε γὰρ καὶ τὸν τούτου πατέρα τὸν Κρόνον[7] οἱ μῦθοι ὁμόθεν[8] ἀπὸ Κρήτης γεννῶσι, καὶ τὸν μὲν οὐκ ἴσασιν ὅπου[9] γῆς κατορώρυκται, τοῦ δὲ τὸν ἐπὶ τῷ τάφῳ δεικνύουσι κολωνόν[10]· εἶτα, τὴν θνητὴν ὑπεραναβάντες[11] φύσιν, ἀγχιστέρους ποιοῦσι τῆς οὐσίας τῆς κρείττονος, καὶ πρὸς τὸ τῆς θειότητος εἶδος μεταβιβάζουσι. Τούτῳ δὴ τῷ λόγῳ καὶ Ἑρμῆς προστίθεται ὁ Τρισμέγιστος. Τἆλλα γὰρ παραθεωρῶν τοὺς μύθους[12], τοῦτον δὴ μόνον γυμνὸν ἐξεδέξατο[13], καὶ πρὸς τὴν ἐκείνου μίμησιν τὸν ἑαυτοῦ παῖδα διερεθίζει τὸν Τάτ[14].

[1] A dedit τῶν..τῶν.
[2] G B μεθ' ὅν. A, μ. δ.
[3] G B ἐγύμνωσαν. A, ἀπέγνωσαν.
[4] Ex A addidi δή. Sic p. 349, 15, ἥτις δή.
[5] G B, φθαρτικοῦ... ὑφαιρεῖται τῶν. Potest τι per ellipsin abesse. Sed sequor A ob præstantiam. Et infra p. 350 ubi G B ἀφαιρεῖται τοῦ δέους, A inserit τι.
[6] G B, ἱστορικωτέρα ἴσως, καὶ ἀλ. A, ἀληθέστερον.
[7] A, γὰρ τόν... G, γὰρ καὶ τὸν π. τ. Κρόνον.
[8] Sumsi ὁμόθεν ex A.
[9] A, ὅπῃ. B, ὅποι. G, ὅπου.
[10] Locus est classicus Ciceronis N. D, 3, 21, dicentis tres theologis Joves numerari, « primum et secundum Arcadas, tertium Cretensem, Saturni filium, cujus in illa insula sepulcrum ostenditur ». Ibi Davisius. Legendum nobile exordium Hymni in Jovem Callimachei cum nota Spanhemii.
[11] G B, ὑπεραναβάντες φύσιν. A, φύσιν ὑπεραναβάντας.
[12] A, θεωρῶν τοὺς μύθους. G B, παραθ. τοῖς μύθοις.
[13] G B, ἐδέξατο. A, ἐξεδέξατο.
[14] G B, μίμησιν διερεθίζει τὸν Τάνταλον. Sequor A, excepto quod Τὰτ scripsi pro τα. Etenim in Hermetis Trismegisti Pœmandro sermones ab eo scripti sunt πρὸς τὸν ἑαυτοῦ υἱὸν Τάτ.

Ἡμῖν μὲν οὖν, εἰ πρὸς [1] τὴν ἱστορίαν τὸν μῦθον μεταχειριζοίμεθα, οὐδὲν μέγα ἔσται σωματικὰς γενέσεις τοῦ Ταντάλου συνειληχόσιν·[2] ἀλλ᾽ οὐδ᾽ εἰ[3] πρὸς τὸ ἄστρον τὸν λόγον ἀνατείνοιμεν, ἄξιόν τι τῆς φιλοσόφου σπουδάσομεν σκέψεως· τὰ γὰρ ἐκ τῶν μαθημάτων οὐχ ὑπάρξεις, ἀλλὰ σχήματα καὶ ποιότητες. Λεγέσθω τοίνυν παρ᾽ ἡμῖν [4] Ζεὺς ὁ χορηγὸς ζωῆς τοῖς ὅλοις θεός, Τάνταλος δὲ τὸ αἰθέριον πῦρ· τέταται [5] γὰρ δι᾽ ὅλων τῶν σφαιρῶν, καὶ φύσιν ἔχει ἄνω κάτωθεν ἅλλεσθαι. Τοῦτο γοῦν τὸ αἰθέριον πῦρ, ὁ παρὰ τῷ τραγῳδῷ Τάνταλος, τῷ ἀέρι πέφυκεν ἐποχούμενον· τῷ γὰρ πέρατι τῆς τοῦ πυρὸς σφαίρας ἡ ἀρχὴ τῆς τοῦ ἀέρος προσῆπται· λεπτότερον δὲ τυγχάνον τοῦ ἀέρος τὸ πῦρ, ὥσπερ ὀχήματί τινι τούτῳ ἐπελαφρίζεται. Ὁ δὲ ὑπερτέλλων τὴν τούτου κορυφὴν πέτρος [6], ὁ κατὰ τὸν Ἐμπεδοκλέα σφαῖρος [7] ἐστίν, ὡς δ᾽ ἂν ἡμεῖς φαίημεν[8], ἡ ἀπλανὴς κυκλοφορία. Ὁ μὲν γὰρ ἀὴρ τὸ πῦρ ὑποβέβηκε, τὴν ἀπλανῆ δὲ σφαῖραν τὸ πῦρ, ἥτις δή, ὥσπερ τις [9] χερμάς, ἐπιβεβάρηται καθάπερ τινὶ κορυφῇ τῇ πρώτῃ ἐπιφανείᾳ τοῦ πυρός· αὕτη δὲ ἡ ἀπλανὴς τῇ ἀπαύστῳ καὶ ταχείᾳ περιαγωγῇ τῆς κινήσεως δοκεῖ μὲν πιέζειν τὸ πῦρ, ἵνα μηδέν τι καινὸν ἐν τοῖς πολυκλονήτοις στοιχείοις γένηται· οὐ

[1] G B, ἡμῖν μεν οὖν, εἰ μὲν πρός. A sine utroque μέν.

[2] G B, συνειλοχόσιν. A. συνειληχ.

[3] A sine εἰ.

[4] A, ἡμῖν. G B, ἡμῶν. Utraque lectio est probilis.

[5] G, πῆρ πέταται. B, πῦρ πέτ. A, πῦρ τέτ. Mox G B, τοῦ ἀέρος τυγχάνον.

[6] G B, κεφαλὴν λίθος. Cf. p. 345, n. 4. Alia est in Platonis Cratylo de Tantalo inversio allegorica § 28, ad quem adhibe Procli Scholia § 92.

[7] A, κατὰ ἐμπεδόκλη. Sturzius quidem Empedocle p. 514, v. 24, affert philosophi distichon, cujus hoc duntaxat hemistichium Σφαῖρος κυκλοτερὴς non controversiam facit, ac magna cum eruditione et diligentia plurimos veterum de sphæro locos collegit atque ordinavit, non cognito tamen, ut videtur Pselli testimonio. Proclus in Alcibiadem p. 113: σεμνὸν μὲν καὶ τίμιων (imo τίμιον) ἡ φιλία ἐστί... τὴν πρώτην ἐν τοῖς θεοῖς ὑπέστη καὶ τῇ νοερᾷ ζωῇ, καὶ τῷ κατὰ τὸν Ἐμπεδοκλέα νοητῷ θεῷ· Σφαῖρον δὲ αὐτὸν ἐκεῖνος εἴωθεν ἀποκαλεῖν. Ibi Creuzerus disticho Empedoclis, ut est a Sturzio editum, utitur; quod miror equidem.

[8] A, φαίαιμεν.

[9] G B, τὴν δὲ ἀπλανῆ. Accessit τις ex A.

διαφθείρει δὲ, ἀλλὰ τὸ μὲν ὥσπερ ὑποπέφρικε (διδέσθω [1] γὰρ τοῦτο τῇ τοῦ μύθου ἐξουσίᾳ), συναγόμενόν τε καὶ συνειλούμενον· ὁ δὲ περιελισσόμενος κύκλος ἀφαιρεῖταί τι αὐτῷ ἀεὶ τοῦ δέους, τὸν ἅπαντα χρόνον ζωογονῶν, ἀλλ' οὐ φθείρων.

Τὸ δὲ ἀμφιβάλλειν τὸν ὑποκριτὴν [2] περὶ τῆς τούτου γενέσεως ταύτην μοι ὑποβάλλει τὴν ἔννοιαν, ὅτι τετολμήκασί τινες τῶν στωϊκῶν πυρώδη φύσιν τῷ τοῦ παντὸς προσάψαι δημιουργῷ [3], ἀλλ' οὐχ ἥ γε Ἀκαδημία, οὔθ' ἡ πρεσβυτέρα οὔθ' ἡ νεωτέρα, τοῦτον τὸν λόγον ἐδέξατο [4]· ἀσώματον δὲ τοῦτον ὡρίσαντο καὶ πρὸς μηδὲν τῶν στοιχείων ἐοικός τι ἔχοντα. Διὰ τοῦτο καὶ ὁ ἐν τῇ σκηνῇ λόγος ἀμφιβάλλει περὶ τὰς τοῦ Ταντάλου γονὰς, καὶ τὸ ἀπὸ τοῦ δημιουργοῦ τὸ πῦρ γεγεννῆσθαι ταῖς δημώδεσι παραχωρεῖ ὑπολήψεσι· σπουδάζεται γὰρ φιλοσοφία κἀπὶ τοῖς δράμασι, καὶ διὰ τοῦτο ὅπερ ἀπεμφαῖνον [5] τοῦ μύθου πρὸς τὸν ἀληθῆ λόγον εὑρίσκει [6] τῷ συρφετῷ τοῦ πλήθους δίδωσιν [7].

Ἀλλὰ πῶς ὁ Τάνταλος ἄνθρωπος ἦν [8], πῶς δὲ τῆς κάτω γενέσεως πεφυκὼς ἀποτέλεσμα, συνδιῃτᾶτο θεοῖς, πῶς δὲ καὶ συν-

[1] Sic A. G B, δεδόσθω. Pachymeres Progymn. p. 558 : θεὸς οὖσα συνέσεως πλήρης οὐκ ἂν ᾑρεῖτο τῶν κρειττόνων τὰ χείρονα· ἀλλ' ἔστω, δεδόσθω καὶ τοῦτο τοῖς ποιηταῖς. Procopius Gazæus epistola 36 Maianæ, quum oratione declamatoria valde et sophistica exclamasset, εἴθε γενοίμην Περσεὺς καὶ φανείη ὑπόπτερος.... ἤδη καὶ τὸν Ἄβαριν πολλάκις ἐζήλωσα.., addit : Περσεὺς δὲ καὶ Ἄβαρις ποιηταῖς δεδόσθω καὶ μύθοις.

[2] Est ὑποκριτὴς ipse tragœdiæ auctor Euripides, ut superius p. 346, 4.

[3] Aristocles Eusebii Præp. Ev. 15, c. 12, de philosophia Stoicorum : στοιχεῖον εἶναί φασι τῶν ὄντων τὸ πῦρ, καθάπερ Ἡράκλειτος, τούτου δ' ἀρχὰς ὕλην καὶ θεόν. Porphyrius ibid. c. 14, contra Stoicorum de deo opinionem : τὸν δὲ θεὸν οὐκ ὀκνοῦσι πῦρ νοερὸν εἰπόντες ἀΐδιον καταλιπεῖν. Stobæo Ecl. Phys. 1, § 28, p. 60, Zeno dicitur νοῦν κόσμου πύρινον posuisse. Zeno apud Ciceronem Acad. 1, 12, « statuebat ignem « esse ipsam naturam, quæ quidquid gigne- « ret ». Ibi Castillon. Lipsius videndus Physiol. Stoic. 1, 6.

[4] G B, ἐδέξατο, et mox γεγενῆσθαι. A, ἐδέξαντο.

[5] Verbum ἀπεμφαίνειν scripsi in Tzetzæ Allegoriis Φ, 136.

[6] A, εὑρίσκει. G B, εὑρίσκων.

[7] G B, τῷ συρφ. δίδ. τ. πλ. Transposui ex A. Et statim G B, ἄνθρωπος ὁ τ., quod ex A transposui.

[8] G B, συνδιῃτοῦτο.. διαιτώμενος. Sequor A. Variantem συνδ. indicabam olim ad Vitam Barlaami Anecdotis Græcis t. 4, p. 5.

διαιτώμενος τούτοις ἔκφορα τὰ ἐκείνων ἐποίει μυστήρια [1], καὶ διὰ τοῦτο ἠώρηται καὶ τὸν λίθον πεφόβηται [2]; Φημὶ τοίνυν ἐγὼ ὡς ἀρχὴ τοῖς ἐν γενέσει τὸ πῦρ. Ἡμῖν τι [3] γὰρ εἰς τὴν σωματικὴν οὐσίαν συντελεῖ καὶ μέρος γίγνεται τῆς συνθέσεως τὸ κορυφαιότατον. Ἀλλὰ καὶ πᾶν αἰσθητὸν, φύσιν ἔχον ὁρᾶσθαι, κἂν μὴ ὁρῷτο, ἐπιπροσθοῦντος αὐτῷ τινὸς σώματος, αὐτὸ δὴ τὸ ὁρᾶσθαι τῆς πυρώδους οὐσίας μετείληφε. Τὴν δὲ ἀπλανῆ [4] παῖδες Ἑλλήνων πέμπτον [5] ὑποτιθέμενοι σῶμα, οὐδέν τι λυσιτελεῖν ἡμῖν εἰς τὴν γένεσιν οἴονται. Διὰ τοῦτο λέγεται ὁ τοῦ Διὸς παῖς Τάνταλος, ὃν ἡμεῖς πῦρ [6] ἐθεωρήσαμεν, ἄνθρωπος εἶναι, καὶ τὴν γῆν λαχεῖν οἰκητήριον, ὅτι μεθ' ἡμῶν τὸ πῦρ καὶ πρώτη τοῦτο τοῦ σώματος ἡμῶν [7] σύστασις, τὸ δ' αὐτὸ καὶ θεοῖς ἔλαχεν ἑλληνικοῖς συνοι-

[1] Sunt μυστήρια, secreta, arcana privata. De hac significatione non rara mirum est tacuisse H. Stephanum. Photius Lexico p. 45 Porsonianæ: Ἐχέμυθον, μυστήριον κρύπτον ἢ φρόνιμον· fortasse corrigendum κρύπτοντα. Artemidorus 4, c. 80, de muliere per somnia mulierem περαινούσῃ vel a muliere περαινομένῃ, ait sic secreta communicari, μυστήρια. Stephanites Symeonis Sethi p. 25, tria esse ait a quibus abstinebit homo prudens, regis familiaritatem, venenatam potionem, et τὸ ταῖς γυναιξὶ πιστεύειν μυστήρια. Hoc etiam suadet Georgius Lapitha v. 643: Μὴ ἐκκαλύψῃς σὸν αὐτῇ μυστήριον, μηδόλως· αὐτῇ scilicet τῇ συνοικῷ. Qui et alibi sic nomine est usus, quod monstravi. Menander Fragm. inc. 168: Μυστήριόν σου μὴ κατείπῃς τῷ φίλῳ, Καὶ οὐ φοβηθήσῃ αὐτὸν ἐχθρὸν γενόμενον. Secundum versum, cujus emendationem aliis quærendam permiserunt editores, ita propono legendum, μὴ καὶ φοβηθῇς αὐτὸν ἐχθρὸν γενόμενον. Symeon Sethi alia dabit exempla pp. 152, 348, 372. Adde quæ notavi ad Aristænetum p. 659. Et sic mysterium pro secreto usurpavit Cicero ad Atticum 4, 18: « neque sunt eæ epistolæ nostræ, quæ si « perlatæ non sint nihil ea res nos offen« sura sit, quæ tantum habent mysteriorum « ut eas ne librariis quidem fere committamus ».

[2] G B, ἠώρητο.. πεφόβητο. Ex A mutatum tempus.

[3] G B, ἡμῖν τε. A, τι, qui mox habet γίγνεται et συνθέσεως. G B, γίνεται et συνέσεως.

[4] G B, ἀπλανῆ σφαῖραν. A sine σφαῖραν, ipsi neglectum auctori, ni fallor. Jam p. 349, quum plene dixisset ἀπλανῆ σφαῖραν, usus est ellipsi ἡ ἀπλανής. Fixus orbis, est circulus firmamenti, ἡ ἀπλανὴς σφαῖρα Psello, ἡ τῶν ἀπλανῶν σφαῖρα Aristoteli de mundo 2, 7: « orbis inerrabilis » Apuleio Aristotelem interpretanti p. 58.

[5] G B, πέμπτον σῶμα ὑποτιθέμενον. Transposui ex A, ubi et ὑποτιθέμενοι. Apuleius p. 57 Aristotelem augens: « cœlum... æther vocatur;... elementum « vero non unum ex quatuor quæ nota « sunt cunctis, sed longe aliud, numero « quintum, ordine primum ». Conferenda « quinta illa natura » de qua Cicero Acad. 1, 12, ubi Davisius.

[6] A B, πῦρ. G, πρίν. Eadem confusio superius occurrebat. Mox G B, ἄνθρωπον. A, ἄνθρωπος.

[7] Addidi τοῦτο et ἡμῶν ex A.

κεῖν· εἰ γὰρ θεοὶ τούτων οἱ πλάνητες, τούτοις δὲ ἀγχωμάλως τὸ πῦρ παροικεῖ[1]· ὁμοδίαιτον ἄρα τοῦτο τοῖς ἐκείνων θεοῖς. Ἔκπυστα δὲ τὰ ἐκείνων πεποίηκεν, ὅτι φωτὶ πάντα καταλαμβάνεται, τὰ μὲν θεῖα τῷ θείῳ, τὰ δὲ σωματικὰ τῷ σωματικῷ. Ἀκόλαστος δὲ τῷ πυρὶ ἡ γλῶσσα, ὅτι τοῦτο μόνον τῶν στοιχείων[2] παφλάζει τῇ φύσει καὶ εἰς τὸ ἀεὶ συνηχεῖ· ἥ τε γὰρ γῆ στάσιμος οὖσα καὶ ἀμετάθετος, καὶ ἤχου ἐστέρηται· τό τε ὕδωρ, εἰ μή τι εἴη τὸ δονοῦν[3] ἠρεμεῖ ἐπικεχυμένον τῇ γῇ· ὅ τε ἀὴρ ἀψόφῳ βαίνει κελεύθῳ κατὰ τὴν ποίησιν[4]· τὸ δὲ πῦρ, ἀεὶ τῷ ἐγκειμένῳ ἐσαεὶ[5] στενοχωρούμενον πνεύματι, περισαλπίζει τὰ ὦτα οἷς ἂν προσεγγίσειε.

Τοιαύτη μὲν ἡ κεκρυμμένη τοῦ μύθου διάνοια· ὑμῖν[6] δὲ τὰ ἐνταῦθα εἰρημένα μὴ ἀμετακίνητα δόγματα ἔστωσαν. Πρὸς γὰρ τὸ χρειῶδες τοῦ λόγου τὰς τῶν ὀνομάτων φύσεις ἐξειλήφαμεν· ἐπείπερ ἐφ' ἑτέρῳ μύθῳ, ἐν ᾧ δὴ ὁ μὲν Κρόνος τὸν Δία γεννᾷ, οὗτος δὲ τὸν πατέρα δεσμεῖ, ἄλλως ἂν ἐκδεξαίμεθα ἐκεῖνον τὸν παῖδα τοῦ Κρόνου[7]· Χρόνον γὰρ τὸν Κρόνον ἐκεῖσε νομίσαντες, δώσομεν αὐτῷ πάντα καταβροχθίζειν τὰ ἐκ τῆς ὀσφύος αὐτοῦ[8] γεννώμενα. Τοιοῦτος γὰρ ὁ χρόνος, δαπανητικὸς τῆς οὐσίας τῶν

[1] G B, οἱ γὰρ θεοὶ τούτοις οἱ πλάνητες, ἀγχωμ. Sequor A.

[2] G B, γλῶσσα.. τὸ στοιχεῖον. A, γλῶττα.. τῶν στοιχείων.

[3] G, τὸ δὲ ὕδωρ... τις.. δονῶν. A B, τό τε.. τι. B, τις δονοῦν. A, κινοῦν.

[4] Euripides ore Hecubæ philosophatur Troasin 894: Ὦ γῆς ὄχημα, κἀπὶ γῆς ἔχων ἕδραν, Ὅστις ποτ' εἶ σὺ, δυστόπαστος εἰδέναι Ζεὺς, εἴτ' ἀνάγκη φύσεος, εἴτε νοῦ βροτῶν, Προσευξάμην σε· πάντα γὰρ, δι' ἀψόφου βαίνων κελεύθου, κατὰ δίκην τὰ θνήτ' ἄγεις. Quem locum multi respexerunt, in his Synesius De Regno p. 20: οὐ γὰρ σκηνοβατῶν, οὐδὲ τερατουργῶν ὁ θεὸς, ἀλλὰ δι' ἀψόφου βαίνων κελεύθου, κατὰ δίκην τὰ θνητὰ ἄγει, παντί τε ἁπανταχοῦ παρεστάναι τῷ πεφυκότι μετέχειν ἕτοιμος. Reperi ἁπανταχῆ in codice 3035, ad μετέχειν scholium μετουσίαν ἔχειν in cod. 1038.

[5] Ex A additum ἐσαεί, ac mox περι junctum vulgato σαλπίζει,

[6] G B, ἡμῖν. A, ὑμῖν.

[7] A, ἐπεὶ γάρ. Statim G B, ἐν ἑτ. A, ἐφ'. Mox A, ἂν ἐκδεξώμεθα ἐκ. παῖδα. Scripsit Psellus Allegoriam de Saturno teste Bibliotheca Gr. t. 10, p. 45; eam tenet codex Venetus

[8] G, δώημεν. B, δώομεν. A, δώσομεν. — A, τῆς ἐκείνου ὀσφύος.

αἰσθητῶν. Ἔμελλε δὲ καὶ αὐτὸς τῷ συνεχεῖ τῆς οἰκείας φύσεως ῥεύματι, παραρρεῖν τε καὶ παραπόλλυσθαι· ἀλλ' ἡ ἐκ διαδοχῆς τῶν ὄντων ζωὴ, ἥ τις δὴ Ζεὺς ἐν ἐκείνῳ τῷ μύθῳ προσηγόρευται, τὴν τούτου ῥοὴν[1] ἀνέχει καὶ οἷον δεσμεῖ, ὥστε μὴ παραπόλλυσθαι. Ἐπεὶ δὲ καὶ ἡ τοῦ καθ' ἕκαστον ζωὴ κινουμένη καὶ παραρρέουσα, διὰ τοῦτο καὶ Ῥέαν τῷ Διῒ ὁ μῦθος ἐπέστησε μητέρα· ἔδοξε γὰρ καὶ τοῦτον καταπιεῖν ὁ Κρόνος, ἀλλ' οὐ καταπέπωκε. Τῷ μὲν γὰρ τὰς μερικὰς ζωὰς καταφθείρειν[2], διολλύων ἡμᾶς τοῖς πέρασι τοῦ εἱμαρμένου βίου, ὑφήρπασε τῷ λαιμῷ τὸν Δία· ἐφ' ᾧ δὲ μὴ πᾶσαν τῶν ὄντων τὴν ζωὴν κατηνάλωσεν, ἀλλὰ μένει συντηρούμενος ταῖς διαδοχαῖς, ἠλευθέρωται[3] ὁ παῖς τοῦ παιδοκτόνου πατρός.

Ἐπεὶ οὖν ὑμῖν τὴν ὁδὸν[4] νῦν πρώτως τῶν ἑλληνικῶν μύθων ἠνοίξαμεν, καὶ ὑφηγησάμεθα ὅπως δεῖ τούτους ἀλληγορεῖν, τῷ ἐν-

[1] G B, ζωήν. A, ῥοήν. Mox G B, μητέρα τῷ.. ἐπέστησεν. ἔδ. γὰρ τ. ὁ Κρ. κατ. οὐ καταπέπωκε δέ. Sequor A. Vidimus quidem p. 345, οὐ διαφθέρει δέ.

[2] B G, διαφθείρειν.

[3] G A, ἐφ' ᾧ δὲ μή. B. ἐφ' ὧ μὴ δέ. Tum A, καταναλύει. G B, ἠλευθέρωτο.

[4] G B, sine τὴν ὁδόν. Isto quod sequitur verbo στοιχεῖν usus est Psellus De oper. dæmonum p. 6: ὀλέθρῳ προφανεῖ στοιχοῦσιν. Et ad discipulos Opusc. p. 140: τοῖς νόμοις στοιχεῖτε. Nilus Narrat. 3, p. 31, editionis Possini, quæ una nunc est ad manus: οἱ δὲ πολλοὶ λαχάνων ὠμῶν καὶ ἀκροδρύων στοιχῶσι διαίτῃ, τράπεζαν ἀκαρύκευτον ἀγαπῶντες. Possinus: « quid illud στοιχῶσι? Cod. Tolosanus, στοιχοῦσι· nullo « sensu ». Et proponit στοιχάζων διαίτῃ, conjecturam ipse contemnens suam. Recepto στοιχοῦσιν, sententia est optima, prandium pessimum: « leguminibus « crudis ac nucibus utuntur ». Significare στοιχεῖν translate sequi, persequi, obsequi, uti, jam est notissimum. Theophylactus Bulg. in Mingarellii Anecdotis § 10: ὄψει πάντας τῷ αὐτῷ κανόνι στοιχοῦντας, bene vertente Mingarellio: « omnes eidem regulæ insistere videbis. » Auctor Vitæ Euthymii in Monumentis Cotelerii t. 2, § 72: εἰ καὶ αὐτὸς στοιχοίη τοῖς γεγραμμένοις μαθεῖν ἐθέλοντες.... et statim sequitur verbum συνᾴδοντα synonymum τῷ στοιχοῦντα· rursus ibidem: ἡ φήμη πανταχοῦ τῆς ἐρήμου διέβαινεν ὅτι ὁ μέγας Ἀθανάσιος τῇ ἐν Χαλκηδόνι στοιχοίη συνόδῳ. Glycas Epist. in Lamii Deliciis eruditorum t. 1, p. 13: σφάλλουσι λοιπὸν οἱ δογματίζοντες οἴκοθεν ἕτερα, καὶ μὴ τὸ τῆς ἐκκλησίας δόγμα ὀρθοδόξῳ στοιχοῦντες φρονήματι· quæ verba quum Lamius sic convertisset latine ac pessime: « reliquum « est ut toto cœlo aberrent, qui diversa « privatim sentiunt, neque ecclesiæ dogma « orthodoxa cogitatione conjiciunt », severe fuit castigatus a Riccio professore linguæ Græcæ, qui serius innotuit Dissertationibus Homericis. Melior quidem interpretatio Riccii, « neque secundum ec- « clesiæ dogma orthodoxa cogitatione am-

ταῦθα κανόνι στειχοῦντες καὶ ὑμεῖς τι τοῖς ἐπιλείποις συνεισενέγκειτε[1].

« bulant », sed quæ tamen non faciat satis; nec placet ejus conjectura κατὰ δόγμα. Respondit fuse Lamius Deliciarum t. 3, p. XXXVIII seqq., ac jam meliora doctus exemplis biblicis præcipue verbum στοιχεῖν illustravit, non sine conviciorum in criticum aspersione, neque tamen bene vertit, ceterum in hoc prudens quod κατὰ propositum rejiciat Integerrima enim est sententia, nec difficilis si δογματίζοντες mente repetatur post μὴ, « et non asse- « rentes ac prædicantes ecclesiæ dogma, « orthodoxam sequuti opinionem ».

[1] Sic Gesneri editio ac codex B. Codex autem A, τι τῶν ἐπὶ λόγοις συνεισενέγκατε.

ΤΟΥ ΑΥΤΟΥ

# ΑΛΛΗΓΟΡΙΑ ΕΙΣ ΤΗΝ ΣΦΙΓΓΑ[1].

Ἐπὶ τῶν λεγομένων τελετῶν τὰ μὲν ἄδυτα ἔνδον[2] ἦν, ὡς δηλοῖ καὶ τοὔνομα, τὰ δὲ παραπετάσματα προεβέβληντο, ἀθέατα τὰ ἐν τοῖς ἀδύτοις φυλάττοντα. Ἐν δὲ τοῖς Ἐλευσινίοις[3] ἀνεώγνυντό τε ταῦτα καὶ ἀπεγυμνοῦτο[4] τὰ κεκρυμμένα· ἐγίγνετο δὲ τοῦτο ἐν περιόδῳ ἐτῶν[5], ἵνα μὴ τὰ ἀβέβηλα βεβήλοις πολλάκις ὀπτάνοιτο· ὑμεῖς δὲ καὶ τῆς ἡμέρας πολλάκις τὸν ἱεροφάντην καταβιάζεσθε τὰ κελύφανα τοῦ μύθου περιρρηγνύειν, ἵνα τὸ ἀποκείμενον τῷ ἐλύτρῳ ἀπόρρητον ἐκεῖθεν ἀναλαβόντες καταβροχθίσησθε[6]. Ἐγὼ δὲ ἀπώκνησα[7] ἂν τοῦτο ποιεῖν, εἰ μὴ αἱ μὲν ἀρχαῖαι κατήργηνται τελεταί, θεῖα δὲ ἐκρατύνθη δόγματα, ἀναπεταννύοντα μὲν τὰ παραπετάσματα, ἔνδον δὲ τοῦ ἀδύτου πολλάκις εἰσάγοντα τὸν τελούμενον. Διὰ τοῦτο περιρ-

[1] G B, περὶ τῆς σφιγγός. Sumsi lemma ex A.

[2] G B sine ἔνδον. Mysteriorum comparatione jam usus est p. 347.

[3] G B, προβέβληνται... ταῖς ἐλευσινίαις. A, προεβέβληντο... τοῖς ἐλευσινίοις. Hoc sumsi. Præcedens quidem nomen τελετῶν ac ταῖς ἐλευσινίαις concordant; sed et neutrum τοῖς ἐλευσινίοις bene habet, quum τὰ ἐλευσίνια magno sit in usu per ellipsin τοῦ μυστήρια, cujus cum illo vocabulo non meminerunt ellipseon collectores.

[4] G B, ἀνεμίγνυντό τε τ. A, ἀνεώγνυντο ταῦτα. Mox G, ἀνεγυμνοῦτο. A B, ἀπεγυμνοῦτο. Sic persona singulari cum pluralis præcedat.

[5] B G, ἐγίνετο γὰρ τοῦτο. A, ἐγίγνετο δὲ τ. G B, περιόδοις ἐτῶν. In B ὀκτὼ ante ἐτῶν est obductum lineola. Sed nec ἐν περιόδῳ ἐτῶν verum est, quum quotannis Eleusinia celebrarentur mysteria. — A sine πολλάκις.

[6] G, ἡμετέρας. A B, ἡμέρας. — G B, καταβιάζετε. A, βιάζεσθε. — G B, κελύφανα. A, κέλυφα. — G, ἀπόρημα. B, ἀπόρρημα, priore ρ tibiam lineola notato. A, ἀπόρρητον. — A, ἐκεῖ. — A, ἀναβροχθίσησθε. G B, καταβρ.

[7] Idem usus verbi ἀπώκνησα supra

*ρηγνύσθω τὸ τοῦ μύθου τῆς σφιγγὸς ἔλυθρον, τὸ δὲ κεκρυμμένον ἀνακεκαλύφθω φιλοσοφίαν ἔχον ἀπόρρητον.*

*Πλάττει δὲ ταύτην ὁ μῦθος κόρην εὐπρόσωπον οὐ μέχρι ποδῶν, ἀλλ' ὀμφαλοῦ, τὸ δὲ μετὰ ταῦτα δασὺ τῇ τριχὶ, καὶ πόδας θηρὸς καὶ οὐρὰν μακράν. Ἡ δὲ γλῶττα ἀττικίζουσά τε καὶ πυθαγόρειος, αἰνιττομένη τὰ πράγματα. Τῷ γὰρ ἀνθρώπῳ τὸν λόγον προσάπτουσα, ἑτέροις τοῦτον, ὡς ἴστε, ἡρμήνευε τοῖς ὀνόμασι. Καὶ τοιοῦτον μὲν τὸ τοῦ μύθου τέρας, καὶ δεδέσθω τοῖς ποιηταῖς ἐπ' ἐξουσίας πλάττειν ἅπερ καὶ βούλοιντο· ἀλλ' ὁ φιλόσοφος νοῦς μὴ τῷ φαινομένῳ προσκείσθω, ἀλλὰ τῷ αἰνισσομένῳ διὰ τοῦ τέρατος. Ὁ τοίνυν ἐμὸς λόγος περὶ τῆς σφιγγὸς τοιοῦτος*[1].

*Ἡ σφίγξ οὐδὲν ἄλλο ἐστὶν ἢ ἄνθρωπος ἐξ ἀνομοίων συγκείμενος· πολυμερὲς γὰρ χρῆμα ἡ οὐσία ἡμῶν. Τὰ μὲν γὰρ τῇ λογικῇ δυνάμει*[2] *συναπτόμεθα, τὰ δὲ τῆς ἀλόγου μετέχομεν φύσεως· τὸ μὲν γὰρ ἐν ἡμῖν ἕν, καὶ ὁ μετ' ἐκεῖνο νοῦς, καὶ ἡ μετὰ τοῦτον διφυὴς διάνοια, ἥ τε ἀληθὴς δόξα τὸ τῆς διανοίας συμπέρασμα, λογικὰ πάντα καὶ θεῖα· ἡ δὲ φαντασία καὶ ἡ αἴσθησις καὶ ὅσα σώματος δεῖται πρὸς τὴν ὑπόστασιν, ἄλογα καὶ κτηνώδη, καὶ πρὸς τὸ ἐκτὸς νενευκότα*[3]. *Ἔστι μὲν οὖν ταῦτα καὶ καθ' αὐτὰ τῷ λόγῳ διαιρετά· ἀλλ' ἡ τοῦ ἀνθρώπου πλάσις συγχεῖ πάντα, καὶ τέως πέφυκεν ἀφανῆ. Εἰ μὲν οὖν εὐθὺς τῷ φρονεῖν φιλόσοφόν τις σχοίη νοῦν, καὶ γνοίη τι ὄντα*

p. 344. Mox G B, κατηγόρηνται. A, κατήργηνται. — G B, τοῖς ἀδύτοις εἰσάγ. A, τοῦ ἀδ. πολλ. εἰσάγ. — A, παραρρηγνύσθω. G B, περιρρ. — G, ἔχων. A B, ἔχον.

[1] G, πόδες θ. κ. οὐρὰ μακρά. In B ἀ ἀ supra ἀν ἀν. G B, ἑτέρω... ἡρμήνευσε τῷ ὀνόματι. τοιοῦτο μέν τὸ. A, ἑτέροις... ἡρμήνευε τοῖς ὀνόμασι, τοιοῦτον μὲν τό. — A sine ἐπ' ἐξ. — A, ἃ καὶ βουλ. — A B, αἰνισσ. G, αἰνιττ. — G B, τοιοῦτός ἐστι. B sine ἐστι.

[2] G B, σφίγξ sine ἡ. — G, τὰ μὲν γὰρ ἐν ἡμῖν. A B sine ἐν ἡμῖν. G B, ταῖς λογικαῖς δυνάμεσι. A, λογικῇ δυνάμει. B, τῆς τοῦ ἀλ.

[3] Sic A B. G, ἐν ἡμῖν πρῶτον. B, νοῦς δεύτερον. — G B, μέτα τοῦτο φυσικὴ διάνοια. — G B, καὶ αἴσθησις. — G B, ἀλόγῳ καὶ κτηνώδει... νενευκότι.

νοῦς[1], καὶ ψυχή ποι γέγονε, μισεῖ μὲν τὴν ὕλην, ἀποστρέφεται δὲ τὸ σῶμα, βύσας δὲ τὰς αἰσθήσεις καὶ πολλὰ χαίρειν εἰπὼν τῇ φαντασίᾳ, πρῶτον μὲν τὴν ψυχὴν ἐπὶ τῆς οἰκείας οὐσίας τηρεῖ, ἔπειτα δὲ ἔνδον χωρεῖ πρὸς τὸν νοῦν, καὶ διὰ τοῦ νοῦ συγγίνεται τῷ θεῷ· εἰ δ' ὡς ἔτυχε μείνῃ ἐπὶ τῆς γενήσεως, καὶ χρῷτο μὲν ταῖς αἰσθήσεσι, φαντασιώδη δὲ κέκτηται ζωήν, πρὸς τὴν τῶν θηρίων φύσιν ταῖς προαιρέσεσιν ηὐτομόλησεν· ἔνθα δὴ γενόμενος τῶν μὲν κυρίως ὄντων οὐδὲν οἴεται εἶναι, ἐκεῖνα δὲ ὑφίστασθαι μόνα δοκεῖ ὧν ἂν ἀπρὶξ ταῖν χεροῖν ἐπιλάβηται. Ἐν τῷ τοιούτῳ γὰρ βίῳ[2] καὶ κύνες ἐνεοὶ[3], καὶ ἐκ δρυμοῦ σύες καὶ μονιοὶ ἄγριοι[4], καὶ χρεμετίζοντες ἵπποι[5] ἐπὶ τὴν γειτνιῶσαν παρὰ τῆς θείας γραφῆς κατονομαζόμενοι[6]. Ἐπὶ δὲ θατέρου βίου ἄγγελοι καὶ παῖδες θεοῦ, εἰπὼ δὲ καὶ θεοί, ὡς τό, « ἐγὼ εἶπα, θεοί ἐστε[7] ». Ἀλλ' ἐπεὶ ἐς τοσοῦτον ἀφεστᾶσι τὰ ἀντικείμενα[8] (μέγα γὰρ χάσμα ἐστήρικται μεταξὺ θεοῦ καὶ θηρός), δεῖ καὶ μέσην ἀμφοτέρων[9] δοῦναι ζωήν, ἣν τὰ μὲν τῶν Χαλ-

[1] G B, καθ' ἑαυτά. — G B sine οὖν. — G B, τοῦ φρονεῖν... καὶ γνοίη τι τῶν (B tamen sine τῶν) ὄντων νοῦς.

[2] G B ἔπειτα ἔνδον. — G B, γεννήσεως. — A, φαντασιώδει δὲ κέχρηται τῇ ζωῇ. Addidi τὴν ductus articulo τῇ alterius lectionis. — G B, γενομένη. — G B, ὧν ἀπρὶξ τ. χ. ἐπιλάβοιτο. — G B, ἐν γὰρ τῷ τοι. βίῳ.

[3] Isaias 56, 10: κύνες ἐνεοὶ οὐ δυνήσονται ὑλακτεῖν.

[4] Psalm. 79, 14: ἐλυμήνατο αὐτὴν σῦς ἐκ δρυμοῦ καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν. De μονιός vide Coray. ad Plut. Demosth. c. 14; Jacobs. ad Leonid. Tar. Ep. 6, in Analectis; Anecd. Gr. mea t. 1, p. 372; Aug. Meinek. Curis criticis p. 71, proponentem ante hos sex et triginta annos novam in Plutarcho De Solertia anim. c. 9, lectionem eamque certissimam, σῦν μονιὸν (vel μόνιον) pro vulgata σῦν μόνον, quæ in ordinem nondum recepta est.

[5] Refero verba χρεμετ. ἵππ. ἐπὶ τὴν γειτν. ad Jeremiæ c. 5, 8: ἵπποι θηλυμανεῖς ἐγενήθησαν· ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζον. Memoriter scripsit Psellus, qui τὴν γειτνιῶσαν substituit lectioni biblicæ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ.

[6] In A syllabæ κατο versum claudunt; sequentis initium evanidum est, tum exhibetur compendium in quo sunt perspicuæ litteræ ομθ, quod ducit probabiliter ad integrum participium κατονομασθέντες.

[7] Verba ὡς τὸ—ἐστὲ desunt in A. Psalmus 81, 6: ἐγὼ εἶπα, θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες.

[8] B G, ἀλλ' ἐπειδὴ ἐς τοσοῦτον δεῖ ἀφεστάναι τὰ ἀντικείμενα. Sequutus sum A.

[9] A, ἀμφοτέροις. Optima est genitivi syntaxis. Pachymeres Declam. 4, p. 74: οὐ φονεύειν καὶ μέσον ὑμῶν ἔμελλε; ad quem vide notam meam p. 68. Hora.

δαίων λόγια ἑτεροφανῆ φασὶν καὶ ἑτεροκνεφῆ [1] κατὰ τὴν πρὸς θάτερα τῶν ἄκρων ἀπόκλισιν [2] καὶ ἐγγύτητα, ἐγὼ δὲ ἁπλῶς οὕτως ἀνθρωπίνην κατονομάσαιμι [3]. Τριττὴν [4] οὖν, ὡς ὁ λόγος ἡρμήνευσεν, ἐφωράσαμεν τὴν ζωήν, θηριώδη, ἀνθρωπίνην, καὶ θεοειδῆ. Ἀλλ' ἐν μὲν τῇ θηριώδει σωματικὰ πάντα καὶ θεῖον οὐδέν, ἐν δὲ τῇ θείᾳ φιλόσοφος ἡ διεξαγωγὴ καὶ κατάργησις [5] τῶν αἰσθήσεων, ἐν δὲ τῇ μέσῃ καὶ ἀνθρωπίνῃ, σύμμιξις ἐξ ἀμφοῖν.

tius: « idem Pacis eras mediusque belli ». Ibi Turnebus. Mox A φασὶν ἢ ἑτ. B G sine φασίν.

[1] Vocabula ipsa ἑτεροφανῆ καὶ ἑτεροκνεφῆ non potuerunt reperiri in oraculis. Ibi scriptum potius fuit ἀμφιφαῆ et ἀμφικνεφῆ. Et est hoc quidem in fragmento Oraculi apud Synesium Insomn. p. 140, illud in alio loco p. 141, manifestissime ista oracula respiciente: ἔσχαται μὲν αὗται αἱ δύο λήξεις ἡ μὲν ἀμφικνεφής, ἡ δε ἀμφιφαὴς οὖσα, εὐμοιρίας τε καὶ κακοδαιμονίας τὰ ἄκρα νειμάμεναι· πόσας δε οἴει μεταξὺ χώρας ἐν τῷ κύτει τοῦ κόσμου, ἑτεροφαεῖς τε καὶ ἑτεροκνεφεῖς... ubi vocibus metricis, orationis variandæ causa, et synonymis usus est. Psellus Expositione Oraculorum Chaldaicorum p. 53 de anima: καθαρθεῖσα δι' ἀρετῆς ἐν τῷ βίῳ ἄνεισιν εἰς τὸν ὑπὲρ σελήνην τόπον μετὰ τὴν διάλυσιν τῆς τοῦ ἀνθρώπου ζωῆς, καὶ ἀποκληροῦται εἰς τὸν ἀμφιφαῆ (codex quem jam indicavi in Anecd. Gr. t. 5, p. 22, εἰς τόπον ἀμφ.) τουτέστιν ἀμφοτέρωθεν λάμποντα (cod. ἀμφ. φαίνοντα, melius) καὶ ὁλολαμπῆ· ὁ μὲν γὰρ ὑπὸ σελήνην τόπος ἀμφικνεφής ἐστι, τουτέστιν, ἀμφοτέρωθεν σκοτεινός, ὁ δὲ σεληνιακὸς ἑτεροφαὴς ἢ ἑτεροκνεφής, τουτέστι τῷ ἡμίσει περιλάμπων (codices quos vidi, melius: τῷ μὲν ἡμίσει μέρει λάμπων), τῷ δὲ ἡμίσει σκότους μεστός. Cf. Pletho initio Expositionis Oraculorum.

[2] De illis ἄκροις Synesius loco quem modo allegavi.

[3] Addidi οὕτως ex B, jamque de addendo monueram Anecd. Gr. t. 5, p. 399. Est scilicet plurimus usus adverbii οὕτως sic abundantis. Eunapius: Συρίας οὕτω δὴ καλουμένης θεοῦ· ubi mea nota p. 529. Maximus Tyr. Diss. 14, 2: περὶ λίμνην Ἄορνον οὕτω καλουμένην· Davisio proponente, περὶ Ἄορνον, λίμνην οὕτω καλουμένην, a quo errore sibi cavisset si optimam de hoc idiotismo cognovisset Warrenii notam ad Hieroclem p. 5, quam descripsit Schæferus integram Appendice Bastianæ Epistolæ p. 8; scilicet ob raritatem Warrenii libri, aut Ashtonii potius. Alius Maximi loci Diss. 24, 3, ex eadem formula interpunctionem tentavi ad Marinum p. 146. Scholiastes Theocriti 6, 18, de zatricio ludo, nobis *échecs*: κινοῦσι καὶ τὸν ἀπὸ γραμμῆς λίθον, τὸν οὕτω βασιλέα καλούμενον. Ibi Geel. Argumentum Persarum Æschyli p. 136 extrema meæ: Ξέρξου μέλλοντος διαβαίνειν τὰς ἐν τῇ Ἑλλάδι οὕτω καλουμένας Πύλας. Anonymus auctor Expositionis Totius Mundi, inter J. Gothofredi Opuscula p. 88: « Africa multas et differentes civitates possidens, unam præcipuam et admirabilem nimium habet, quæ sic vocatur Karthago ». Sed non inde credendum est Latinos scriptores adverbio *sic* Græcorum more cum verbis nominandi usos esse. Expositor ille Græcum librum hodie non superstitem convertebat latine, græcæ orationi pressius adhærens. Gothofredus qui eum correxit, scripsit latinius: « quæ dicitur Karthago ». Intelligo αὕτως eodem atque οὕτως modo apud Aratum Phæn. 65: ἀλλά μιν αὕτως Ἐνγόνασιν καλέουσι.

[4] Dedi pro vulgata τρίτην e codice saltem uno τριττήν. A, ἡρμήνευσε τ. ζ. ἐφωρ. θ. καὶ ἀνθρ.

[5] A, κατάργησις. B G, κατέργα-

Ἐνταῦθα γὰρ οὔτε θηρίον ἐσμέν, οὔτε θεός, ἀλλ' ἀμφότερον, καὶ οὐδὲν ἑκάτερον καθαρῶς. Ἐν τίνι γοῦν τῶν τριῶν ζώων εὑρηκέναι τὴν σφίγγα οἰόμεθα; ἢ δῆλον ἐν τῇ μέσῃ καὶ ἀνθρωπίνῃ. Οὔτε γὰρ ἄνθρωπος αὕτη τελέως ὅτι θηρίον τὰ μετὰ τὴν ἰξύν, οὔτε θηρίον[1] ἀκριβῶς ὅτι τὰ πρὸ τοῦ ὀμφαλοῦ ἄνθρωπος. Ἐβούλετο μὲν γὰρ πᾶσαν τὴν κάτω γένεσιν[2] καταλιπεῖν, καὶ διόλου παρθένος εἶναι καλή· ἀλλ' ἡ φαντασιώδης ζωή, οἷον ἀφιπταμένη τοῦ σώματος, κατασχοῦσα ταύτην, τὸ κάτω μέρος ἀπεκτήνωσε. Διὰ τοῦτο ὁμιλεῖ μὲν ἀνθρωπίνῃ φωνῇ, ἀσαφῆ δὲ φθέγγεται καὶ δυσνόητα, ὅτι μὴ διόλου σοφὴ ἵνα καὶ σαφής· ἐντεῦθεν γὰρ ἡ σοφία[3] ἠτυμολόγηται[4], ὡς καὶ τῷ Ἀριστοτέλει ἐν ταῖς Θεολογίαις[5] δοκεῖ· ἣ μὲν γὰρ ἐκπέφευγε τὸ

σις. Mox A, τῇ μ. καὶ ἀνθρ... ἀμφότερα. G B, τῇ μ. τῇ ἀνθρ.

[1] G ac B, puto, τελέως οὔτε θ. κατὰ τ. ἰξ. Mox A, οὔτε θὴρ ἀκρ.

[2] Ex A accessit κάτω.

[3] G B, ἡ φιλοσοφία.

[4] G et A B, ἐτυμολόγηται, si bene enotavi. Ceterum scripsi grammaticæ parens, ἠτυμ. In Thesauro Stephani sub Ἐτυμολογέω allatum est ex Gregorio Naz. exemplum: ἡ μὲν γὰρ θεοῦ κλῆσις κἂν ἀπὸ τοῦ θέειν ἢ αἴθειν ἐτυμολόγηται. In editione nova correctio proposita fuit ἠτυμ. Atque ita legitur in Billyanæ Orat. 86, p. 589, et Orat. 30 § 18 editionis nuperæ, curis et sumptibus hominis cujusdam qui ait fuisse « pluribus extraneo« rum ordinum insignibus decoratus », quæ fastosa declaratio quid ad operis commendationem valeat non intelligo. Billyus igitur et *publicator* decoratus et corrector errant indicativo ἠτυμ. usi, quum particula ἂν omnino postulet scripturam ἐτυμολογῆται. Ibidem Lud. Dindorf., qui insigni decoratus est doctrina, adfert locum Gemini ubi ἐτυμολογήθη (*sic*), et addit Geminum illum, ab Yriarte olim vulgatum fuisse inter Crameri AnecdotaOxoniensia nuper repetitum. Addam Cramerum opusculum invenisse auctoris nomine carens proque inedito habuisse, atque mihi videri Theodoro Prodromo tribuendum, qua de re non semel monui ad Anecdota Gr. Nova. Ceterum potest Psello dari ἐτυμολογεῖται.

[5] Addidi καὶ τῷ ex A, ac pro vulgata κατηγορίαις scripsi θεολογίαις, hoc quidem propter codicis præstantiam; nam ipsum fontem monstrare non valeo. Sed probabiliter nomini obscurissimo θεολογίαις facilis correctio κατηγορίαις fuerit substituta. Testimonia de Aristotelis τοῖς θεολογουμένοις, τῇ θεολογίᾳ, τῇ θεολογικῇ πραγματείᾳ, τῇ θεολογικῇ συγγραφῇ, collecta quæresis in Bibliotheca Græca t. 3, p. 394, ubi dicitur Rasario sic metaphysicam nuncupatam fuisse videri. Ipse philosophus Metaph. 5, 1, p. 123, 8: τρεῖς ἂν εἶεν φιλοσοφίαι θεωρητικαί, μαθηματική, φυσική, θεολογική. Cf. similia 10, 6, p. 226, 20. Micheletus Berolinensis Critico Examine Metaphysicæ Aristotelis ultimos libros Theologiam peculiarius vocat, quem vide et p. 24. Ex illa Aristotelis sententia, τὸ σοφὸν et τὸ σαφὲς arcte jungi, Sallustii locus c. 3, poterit vindicari: αὐτοὺς μὲν οὖν τοὺς θεοὺς κατά τε τὸ ῥητὸν καὶ ἄρρητον, ἀφανές τε καὶ φανερόν, σοφόν τε καὶ κρυπτόμενον, οἱ μῦθοι μιμοῦνται. Orellius, qui de legendo σαφὲς pro σοφὸν cogitat, forsan non audien-

θὴρ εἶναι[1] ἔναρθρος αὐτῇ ἡ φωνή, ᾗ δὲ μὴ πρὸς τὴν θείαν ζωὴν τελέως μετεσχήνωσεν ἀσαφῆ καὶ συγκεχυμένα τὰ φθέγματα.

Ἔχει γὰρ οὕτως, ἵνα τι τῶν ἀπορρήτων ὑμῖν παραδηλώσω. Ὁ νοῦς πάντων ἔχει τὰ εἴδη τῶν ὄντων· εἰ δὲ καὶ τῶν γινομένων ἡ ψυχή, ὥς τις ἔφη, ἄλλος οὗτος λόγος καὶ δεόμενος ἐξηγήσεως. Φαντασία δὲ πλάνου χρῆμα καὶ ἀνόητον καθ' ἑαυτήν. Κεχωρισμένα δὲ ἀπ' ἀλλήλων, νοῦς λέγω καὶ φαντασία, ὡς ἐπὶ ἀγγέλου καὶ θηρός, ὁ μὲν ὁμοῦ πάντα νοεῖ, ἄνωθεν δεχόμενος τὰς πηγάς· φαντασία δὲ οὐδὲν ἂν τῶν ὄντων λογίσαιτο. Ἄμφω δὲ ἐπὶ τοῦ ἀνθρώπου μιγνύμενα καὶ θάτερον θατέρου ἀνεμπιπλάμενα, ὁ μὲν νοῦς φαντασιοῦται, ἡ δὲ φαντασία νενόωται[2]. Διὰ τοῦτο καὶ κατὰ νοῦν ἐνεργοῦντες οἱ ἄνθρωποι οὐκ ἀφάνταστον τὴν νόησιν ἔχομεν, καὶ φαντασιούμενοι τῆς νοερᾶς ἐνεργείας οὐκ ἐστερήμεθα. Ταῦτα δὲ γίνεται ὁπόταν μάχη ἐν ἡμῖν εἴη σώματός τε καὶ πνεύματος· ἐπινικήσαντος μὲν τοῦ σώματος, φαντασιαστικοὶ πάντως γινόμεθα, ὑπερισχύσαντος δὲ τοῦ πνεύματος, νοεροί· ἔστ' ἂν δὲ παρὰ μέρος ἑκάτερον κρατῇ καὶ κρατῆται, σφίγγες ἐσμὲν ἀτεχνῶς. Ἔστι δὲ τὸ

dus. Respiciebat, ni fallor, Aristotelem Synesius initio libri De insomn.: εἰ δέ εἰσιν ὕπνοι προφῆται καὶ τὰ ὄναρ θεάματα τοῖς ἀνθρώποις ὀρέγουσι τῶν ὕπαρ ἐσομένων αἰνίγματα, σοφοὶ μὲν ἂν εἶεν, σαφεῖς δὲ οὐκ ἂν εἶεν, ἢ σοφὸν αὐτῶν καὶ τὸ μὴ σαφές. Ibi Gregoras homo litteratissimus: συμπεραίνει καὶ τὸ μὴ σαφὲς εἶναι σοφόν, ἐναντία λέγων τῷ Εὐριπίδῃ· ἐκεῖνος γὰρ ἐν τῷ τοῦ Ὀρέστου (codex ἐν Ὀρέστῃ, quod malim), παράγει Μενέλαον λέγοντα [v. 391]: « σοφὸν το σαφές, οὐ τὸ μὴ σαφές ». Quem versum obversatum Aristoteli fuisse Psellus innuere videtur ex conjunctione καί, καὶ Ἀριστοτέλει. Quum Apollonius Tyanensis, apud Philostratum v. 1, 9, salutare consilium verbis perspicuis juveni cuidem dedisset, laudatur ab historico ut σοφὰ σαφῶς ἑρμηνεύσας, non σοφὰ σοφῶς quod temere scripsit Olearius, de quo obiter monebam ad Orestæ locum inter Matthiæ notas; cf. Bekkeri Badensis Specimen Philostrateum p. 39. Accedat Gregorius Palamas ex Testimoniis ante Gregoræ historiam: κατὰ τὴν ὑγιᾶ δήπουθεν ἀντιστροφήν, ἄσοφον τὸ ἀσαφές, ὥσπερ τὸ σοφὸν σαφές.

[1] G B, θηρίον. A, αὐτὴ ἡ φωνή. A, ἡμῖν. G B, ἵνα τὸ πᾶν δηλώσω τῶν ἀπ. ὑμῖν. A, ἡμῖν. G B, πάντα ἔχει. B, ὥς τις οὕτως φησίν. G sic, sed cum οὕτω. A, ἀλλ' οὗτος.

[2] A, νοῦ λ. κ. φαντασίας. G B, φαντασία δὲ ἑνὸς ἄν. G B, ἀναπιμπλάμενα. A, ἀνεμπιπλαμένα. Gesnerus et codex B, νενόηται.

ὄνομα τοῦ πράγματος δηλωτικόν[1] · μελλούσης γὰρ ἀποπτῆναι τοῦ σώματος τῆς ψυχῆς, τὸ μὲν ἄνω μέρος αὐτῆς ἐκπέφευγε, τὸ δὲ κάτω συσφίγγεταί πως ὑπὸ τῆς φαντασίας, καὶ ἐπέχεται πρὸς τὴν γένεσιν. Διὰ τοῦτο ὃ μὲν ἀπέπτη εὐπρόσωπος παρθένος γίνεται, οἷον ἀδιάφθορος νοῦς καὶ ἀκήρατος, καὶ γυμνὸς τῆς ἔξω περιβολῆς · ὃ δὲ κατεσχέθη θηρίον ἐστὶ τετριχωμένον τοὺς πόδας, καὶ ἀκμάζον τοῖς ὄνυξιν, ὡς εἶναι τὸ ξύμπαν τῆς σφιγγός, ἡ φαντασία νοῦ μετέχουσα, ἢ νοῦς ἐπισυρόμενος ταῖς κάτω γενέσεσιν[2] · ἀσαφὴς οὖν αὐτὴ καὶ ἡ φύσις καὶ ἡ φωνή. Διὰ ταῦτα καὶ τὸν ἄνθρωπον ὑπαινίττεται[3], δίπουν αὐτὸν τερατολογοῦσα καὶ τετράπουν καὶ τρίπουν.

Τοῦτο δὲ τοιοῦτόν ἐστιν· οἱ ἀριθμοὶ[4] κατὰ τοὺς Πυθαγορείους τῶν πραγμάτων εἰσὶ δηλωτικοί[5] · εἴδη γὰρ αὐτῶν εἰσὶν οὗτοι, οὐχ, ὡς Ἀριστοτέλης οἴεται, ἀχώριστα, ἀλλὰ χωριστοὶ καὶ καθ' ἑαυτούς[6]. Δύναται οὖν αὐτοῖς ὁ τέσσαρα ἀριθμός, ὡς μὲν τετράγωνος τὴν θείαν φύσιν, διότι προσέοικε τῇ μονάδι, ὡς δὲ ἄρτιος τὴν κάτω γένεσιν, ὅτι διαιρετός ἐστιν. Ἀλλ' ἐνταῦθα ὁ τέσσαρα τὴν χείρονα ἡμῖν φύσιν δηλούτω, τὴν σωματικήν φημι καὶ στοιχειώδη· ὁ δὲ τρία, ἐπειδὴ μονάδος τοῦ

[1] A, φανταστικοὶ πάντη. G B, ἑκάτερον ἑκατέρου κρ. κ. κρ. καὶ σφίγγες. G B, ὄνομα τοῦτο δηλ.

[2] G B, εἰσπέφευγε... ὑπὸ φαντ... ἀπέπτη παρθ. ἐγένετο, καὶ οἷον... ἔξωθεν... κατέχεται, B ut A, ἐπέχ... ἀκμάζων... ταῖς ὄνυξιν.. σύμπαν τ. σφ. φαντ... ἐπισυρόμενός τι τῆς κ. γενέσεως.

[3] G, διὰ τ. τὸν. A, ὑπαινίσσεται.

[4] G B, καὶ τοῦτό ἐστιν οἱ ἀρ.

[5] G B, δηλωτικοί, ἔχειν εὑρισκομένου τοῦ πάθους οὐκ ἀντιλήψεσθε τῆς ἀληθοῦς εὐδαιμονίας, οὐδ' αὐτοὺς ἀπολύσετε βίου ταλαιπωρίας καὶ δουλοπρεποῦς ἀνάγκης; ἀλλ' εἰ μὴ καθ' ἕνα, μὴ κατὰ συμμορίας καὶ δήμους εὑρεθῇ τι τὸν ὅλον διαλυμηναμένη; τὸν βίον ἀνοίας, νῦν ὅτε κοινὸν ὑμᾶς ἅπαν ὑποδέδεκται θέατρον, ἐνταῦθά που κατάθεσθε τὰ πάθη, καὶ καθαρὰς ἔχοντες ἀληθῶς τὰς ψυχὰς ἄπιθε. Γραφέσθω δόγμα καινόν. Quæ verba nescio quo errore huc ex oratione quadam oratoris vel sophistæ translata sunt quam claudebant. Exhibeo lectionem A.

[6] Aristoteles de anima 1, 2, 8: εἴδη δ' οἱ ἀριθμοὶ οὗτοι τῶν πραγμάτων. Ibi Trendelenburg lectorem amandat ad suum de Platonis ideis et numeris ex Aristotele illustratis librum, quem non potuisse legere me valde piget. Metaphysicæ libro 12, 9, p. 285 concludit philosophus esse φανερὸν ὅτι ἀδύνατον εἶναι τὸν ἀριθμὸν καὶ τὰ μεγέθη χωριστά.

τέσσαρα ἀπολείπεται, κρείττων ἐστὶν ἐκείνου καὶ τελεώτερος. Ὁ δὲ δύο τὴν ἀμφίβολον δεικνύτω προαίρεσιν, πρὸς ἑκατέρους τοὺς βίους ῥέπουσάν τε καὶ μεταχλινομένην. Γεννώμενος οὖν ὁ ἄνθρωπος πρῶτον μὲν τετραδικός ἐστι, σωματικὸς τὸ ὅλον καὶ στοιχειώδης, μηδὲν μὲν ἐννοῶν νοερὸν, πρὸς δὲ τὴν γῆν ἰλυσπώμενος· ἁπτόμενος δὲ τοῦ φρονεῖν δυαδικὸς γίνεται, ἐνταῦθα ἢ ἐνταῦθα μεταχλινόμενος, καὶ πρὸς ἑκάτερον τῶν βίων μετατιθέμενος, τοῦ χείρονος φημὶ καὶ τοῦ κρείττονος. Γηράσκων δὲ καὶ πρὸς τὴν φρονοῦσαν ἡλικίαν προκόπτων τριαδικὸς εὑρίσκεται ἀπηκριβωμένος τῷ ὄντι καὶ τέλειος. Ὑποβάλλεται γὰρ αὐτῷ ἔξωθεν οἷά τις βακτηρία ὁ ἀκήρατος νοῦς, ἐν ᾧ δὴ σκηριπτόμενος ἀνέχει τὴν κεφαλὴν καὶ συνέχει τὴν οὐσίαν τῆς φύσεως. Τοιοῦτός ἐστιν ὁ τετράπους καὶ δίπους καὶ τρίπους ἄνθρωπος.

Εἰ μὲν οὖν καὶ ἡμῶν[1] θεὸς τοιοῦτον ἐβούλετο ἀγνοῶ. Εἰ δ' ἐγὼ περιττόν τι ἐνόησα, καὶ τοῦτο φιλόσοφόν τε καὶ πυθαγόρειον.

[1] Vocabulum ἡμῶν divinavi, at non sum Œdipus. Litteræ non supersunt, sed spiritus tantum et accentus. Pro θεὸς est in codice θο, et post πυθ charta lacera est.

ΤΟΥ ΑΥΤΟΥ

# ΕΚΦΡΑΣΙΣ Η ΑΛΛΗΓΟΡΙΑ ΕΙΣ ΤΗΝ ΚΙΡΚΗΝ

## ΒΟΥΛΟΜΕΝΗΝ ΤΟΝ ΟΔΥΣΣΕΑ ΜΕΤΑΜΟΡΦΟΥΝ[1].

Βούλεται μὲν ἡ Κίρκη καὶ τὸν Ὀδυσσέα μεταμορφοῦν, καὶ εἰσελαύνειν εἰς συφεόν· εὐτρέπισται γὰρ αὐτῇ ὁ κυκεὼν, καὶ ὅσα ἐς τὴν τῆς μεταποιήσεως δύναμιν, πάντα συγκέκραται[2]. Ἀποτυγχάνει δὲ τοῦ βουλήματος, σπασαμένου ἐπ' αὐτὴν τὸ ξίφος τοῦ ἥρωος[3]· πολύμητις γὰρ ὢν καὶ δεινότατος ταῖς φρεσὶν, οὐκ ἐπείθετο ἑτοίμως τισίν[4]· ὅθεν μικροῦ δεῖν καὶ ἀποπεπνεύκει ἡ παμπόνηρος ἐκείνη μαχλὰς ἀπὸ τὴν τοῦ φασγάνου περιωπήν· ἠλλοίωται γὰρ, ὡς ὁρᾷς[5], τὴν μορφήν. Ὁ δὲ ἔτι

[1] Lemma G, Ἀναγωγὴ εἰς τὴν Κίρκην. B, Ἀν. ε. τ. Κ. βουλ. τ. Ὀ. μετ. Lemma A, Ἔκφρασις ἢ ἀλληγορία. Ex utroque novum feci. Est ἔκφρασις omnino optima lectio. Psellus enim tabulam pictam describit, quam habuit ante oculos, et ad quam auditorem quemdam advertit, quod patet ex verbis ὡς ὁρᾷς, et compellatione ὦ παῖ, ὦ ξένε.

[2] Ulysses de se narrans ac Circe, Odyss. 10, 316: Τεῦξε δέ μοι κυκεῶ χρυσέῳ δέπα' ὄφρα πίοιμι· Ἐν δέ τε φάρμακον ἧκε, κακὰ φρονέουσ' ἐνὶ θυμῷ· Αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπιον, οὐδέ μ' ἔθελξεν, Ῥάβδῳ πεπληγυῖα, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν· Ἔρχεο νῦν συφεόνδε, μετ' ἄλλων λέξο ἑταίρων. — B G, ἐλαύνειν. Addendam præpositionem monueram olim ad Pselli Opuscula p. 227. Et accedunt nunc ex A verba εὐτρ. γ. α. ὁ κυκ.

[3] Ulysses deinceps: Ὣς φάτ', ἐγὼ δ' ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ, Κίρκῃ ἐπήϊξα, ὥστε κτάμεναι μενεαίνων.

[4] Sunt πολύμητις ac πολύφρων inter Homerica Ulyssis epitheta. Verba πολ... τισίν desunt in A. — B, τισι.

[5] Odyss. 10, 323: Ἡ δὲ μέγα ἰάχουσα ὑπέδραμε, καὶ λάβε γούνων.— Syntaxis præpositionis ἀπὸ cum περιωπὴν est solœca omnino. Nunc quidem sic scribunt, sed ætate Pselli linguam litteratam ille solœcismus non invaserat. Ad Theodori Prodromi verba ἐκ τὸν ἴαμβον, ἐκ τὸν πυῤῥίχιον, σὺν τὴν ζήτησιν, animadvertit Corayus Atactis t. 1, ἀπὸ etiam sic fuisse tunc accusativo

μᾶλλον θαρσεῖ καὶ φοβερῷ βλέπει τῷ βλέμματι. Περὶ δὲ τῶν ἑταίρων οὔπω τούτῳ μέλει· ὑπὲρ ἑαυτοῦ γὰρ παρεσκεύασται· οἱ δὲ ἑστᾶσιν. Ἀλλὰ βαβαὶ τῶν προσώπων! ἐκαλλωπίσατο δὲ ἐπ' αὐτοῖς ἡ τέχνη. Τὸν μὲν γὰρ ἤδη μεταπειθέντα[1] πεποίηκε, τὸν δὲ ἔτι μεταμορφούμενον, τὸν δὲ μέλλοντα[2]· ὅθεν τούτῳ μὲν ὁ μυκτὴρ ἀπομεμήκυνται[3], καὶ ὕειος αὐτῷ ἀτεχνῶς ἡ μορφή· ὁ δὲ τοὺς ὀφθαλμοὺς μὲν διήλλακται, καὶ βραχύ τι τοῦ προσώπου κεχάλασται, οὔπω δὲ ἡ ῥὶς κατέληξεν εἰς ὀξύ· τῷ δὲ

junctum, ac nunc adhuc jungi, quum ἐκ et σὺν casum legitimum recuperaverint. Sic et μετὰ, aut μέ (nam sic præpositionem passim mutilant) cum accusativo copulatum reperitur, vel apud auctores elegantissimos. Spyr. Τρικούπης oratione publica victoriam insignem celebrans de Turcica classe ab Hellenica maio 1825 reportatam, p. 36: Ἕλληνες, χαρῆτε· ῥίψετε κατὰ γῆς τὰ κυπαρισσένια στεφάνια, τὰ στεφάνια τῆς λύπης, ὅπου ἐφόρεσεν εἰς τὸ κεφάλι σας ἡ συμφορὰ τῆς Σφακτηρίας καὶ τοῦ Νεοκάστρου, καὶ ὅλοι στεφανωμένοι μὲ δάφνας, ὅλοι στεφανωμένοι μὲ ἀμάραντα ῥόδα, συμψάλλετε μαζῆ μου τὴν ᾠδὴν τῶν υἱῶν Ἰσραὴλ, τῶν ὁποίων σας βλέπω σήμερον ὡς ζωντανὴν εἰκόνα. Idem Laudatione funebri Byronis illius, magni poetæ et φιλελληνεστάτου: Πόσα ἄλλα καλὰ, πολὺ ἀκόμη μεγαλήτερα, ἠλπίζαμεν ἀπ' αὐτὸν τὸν ἄνδρα! καὶ σήμερον, ἀλλοίμονον! σήμερον ὁ πικρὸς τάφος καταπίνει καὶ αὐτὸν καὶ τὰς ἐλπίδας μας! Atque sic præpositione ἀπὸ cum accusativo usus est Πίκκολος Sampetri Indico Tugurio: Ποῦ πρέπει νὰ ζητῶμεν τὴν ἀλήθειαν; ἀπὸ ἡμᾶς κρέμεται νὰ ἔχομεν ἁπλὴν καρδίαν· πλὴν ἀπὸ τοὺς ἄλλους ἀνθρώπους κρέμεται ἡ ἀλήθεια. Panag. Σοῦτζος Ode ad Cretenses: Βρύσεις, τί μουρμουρίζετε; βρύσεις, τί μᾶς ζητεῖτε; Ἂν ἀπὸ αἵματα ἐχθρῶν σεῖς δὲν πορφυρωθῆτε, Σταῖς σμαραγδενίαις ὄχθαις σας δὲν θέλομεν πατήσει. Quæ exempla etsi longiuscula non displicebunt fortasse raritatis gratia librorum ac nominum. Ceterum in Pselli loco proponi ferme poterit ὑπὸ pro ἀπό. « Haud multum abfuit quin animam expiraverit sub insperatam corusci gladii visionem ». Neque est περιωπὴ ista significatione vocabulum e trivio.

[1] G B, ἐγκαλωπίσατο. Protuli jam, ad Opuscula Pselli p. 266, bonam lectionem A, ἐκαλλωπίσατο. Ibidem p. 262, correxi ex A barbarismum G B μεταπεποιηθέντα.

[2] Ad participium μέλλοντα subaudiendum mente μεταμορφοῦσθαι. Eadem brevitate Demosthenes Epistola 4: φλαῦρον δὲ μηδὲν μηδέποτ' ἐν παντὶ τῷ αἰῶνι μήτε παθεῖν, μήτε μελλῆσαι· mente repetito παθεῖν. Isocrates Paneg. 37: τὰ μὲν ἔχει, τὰ δὲ μέλλει· ubi Longuevillii nota. Procopius Gazæus Paneg. Anastasii § 7: ἡ μὲν (τῶν πόλεων) εἴχετο, ἡ δὲ ἔμελλεν· scilicet ἔχεσθαι. Libanius de vita sua p. 81: βαρβάρων δὲ τῶν μὲν ἡττημένων, τῶν δὲ μελλόντων, scilicet ἡττᾶσθαι. Idem oratione in Julianum p. 569: ὁ μὲν ἐβάλλετο, ὁ δὲ ἔμελλε· scilicet βάλλεσθαι. Moschus 2, 108: Ὣς φαμένη, νώτοισιν ἐφίζανε μειδιόωσα, Αἱ δ' ἄλλαι μέλλησκον· scilicet ἐφιζάνειν. Ibi Cogan. Malit Schwebel vertere « cunctabantur », minus bene. Euripides Oreste 1477: Νεκροὶ δ' ἔπιπτον, οἱ δ' ἔμελλον, οἱ δ' ἔκειντ'. Ibi poterit inspici mea notula in Matthiæ editione.

[3] G, ἀπομεμήκηται. B, e correctione ἀπομεμήκυται. A, ἀπομεμύκηται. Ad Pselli opuscula p. 266 proposui ἀπομεμήκυνται. Nam forma ἀπομεμήκυται, quo et lectio codicis A ducit, regulæ adversatur.

ἐξῴδηκεν ἤδη τὸ πρόσωπον, καὶ ἤρκται τοῦ μετασχηματισμοῦ.

Τί ποτ' οὖν ὁ κρατὴρ τῶν μὲν κεκράτηκεν, ὁ δὲ ὑπερίσχυσε; φιλόσοφον, ὦ παῖ[1], λόγον ἀκούσῃ, καὶ οὐ πάνυ τὴν περιβολὴν τοῦ μύθου μέμψῃ· ποιητικὸν γὰρ ὑφ' ἑτέρᾳ μορφῇ τὰ τῆς φιλοσοφίας κρύπτειν ἀπόρρητα.

Τὴν γάρ τοι Κίρκην ἡδονὴν ἄντικρυς νόησον, μεταποιοῦσαν ψυχὰς πρὸς ὃ ἑκάστη πάθος κεκίνηται[2]. Ὁ δὲ κυκεὼν σύγκρατόν ἐστι πόμα καὶ ἀτέχνως λήθης ποτήριον, καὶ ὁ τοῦτο πιὼν ἀπαλλοτριοῦται τοῦ νοῦ[3]. Ἐπιλανθάνονται γοῦν αἱ ψυχαὶ τῆς οἰκείας ἀξίας, πιοῦσαι τὸν τῆς ἁμαρτίας κυκεῶνα[4]. Ὅθεν τὸν ἔμφυτον ἀλογώσασαι λόγον εἰς τὴν κτηνώδη μετακεκίνηνται μόρφωσιν[5]. Δύναται γοῦν κατὰ τῶν τοιούτων ἡ Κίρκη ψυχῶν, καὶ δοκεῖ φοβερά τις εἶναι καὶ μετὰ τοῦ[6] κάλλους βλοσυρά τε καὶ σοβαρά. Αἱ δὲ ἡμίθεοι τῶν ψυχῶν, ἐν μέσῳ θνητοῦ τε σαλεύουσαι σώματος καὶ τῆς ἀκηράτου φύσεως, οὐ πάνυ δεδίασι τὴν τῆς Κίρκης μεταβολήν, οὐδὲ ἁλίσκονται τῆς μορφῆς[7], ἀλλὰ γενναιότερον ἀντιβλέψασαι τὴν μὲν καταδειμαίνουσιν, ἐκεῖναι δὲ τὴν εἰς τὰ πάθη ἀποφυγγάνουσι[8] μεταποίησιν. Τοιοῦτόν τι θεῖον καὶ δαιμόνιον χρῆμα ἡ φιλοσοφία, καὶ οὐ μόνον ἐκ πηγῶν ἀρύεται ὕδατα πότιμα, ἀλλὰ καὶ ἀπὸ ἀκροτόμων πετρῶν μέλι γλυκάζον εἴωθε νάειν[9].

[1] G B, ξεῖνε.

[2] G, κρύπτει. — A, κεκίνητο, qua de varietate monueram ad Pselli Opuscula p. 332. Quod ibi scripsi ἕκαστος lapsu scripsi calami.

[3] A, sine καὶ ὁ.....νοῦ.

[4] A, πιοῦσαι τοῦ νάματος.

[5] G B, ἀλογήσασα λόγον ἐς τ. κτ. G, μετακεκίνηται.

[6] Accedit τοῦ ex A.

[7] G B, δεδόασι.... ὁρμήν. A, memoratus ad Pselli Opuscula p. 257, δεδίασι... μεταβολήν. — G B, οὐδὲ ἠλλοίωνται τὴν μορφήν.

[8] G B, ἀποδιδράσκουσι.

[9] G, τι χρῆμα καὶ δαιμ. ἡ φιλοσ. Sequor B, nam verba τοιοῦτον... νάειν desunt in A. G, πυγῶν.

ΜΙΧΑΗΛ ΤΟΥ ΨΕΛΛΟΥ ΑΛΛΗΓΟΡΙΑ

# ΤΟΥ ΠΑΡ' ΟΜΗΡΩ ΙΘΑΚΗΣΙΟΥ ΑΝΤΡΟΥ [1].

Ἐζήτησας τίνα ποτὲ νοῦν τὸ ἐν τῇ Ὀδυσσείᾳ τῶν Νυμφῶν ἄντρον αἰνίττεται, τούτοις τοῖς ἔπεσιν ἐκπεφωνημένον τῷ ποιητῇ [2].

Αὐτὰρ ἐπὶ κρατὸς λιμένος τανύφυλλος ἐλαίη·
ἀγχόθι δ' αὐτῆς ἄντρον ἐπήρατον, ἠεροειδὲς, ἱρὸν
Νυμφάων, αἳ Νηϊάδες καλέονται·
ἐν τῷ κρητῆρές [3] τε καὶ ἀμφιφορῆες ἔασι
λάϊνοι· ἔνθα δ' ἔπειτα τιθαιβώσσουσι μέλισσαι.
Ἐν δ' ἱστοὶ λίθεοι περιμήκεες, ἔνθα τε Νύμφαι
φάρε' ὑφαίνουσιν ἁλιπόρφυρα θαῦμα ἰδέσθαι·
ἐν δ' ὕδατ' ἀενάοντα [4]. Δύω δέ τέ οἱ θύραι εἰσὶν,
αἱ μὲν πρὸς Βορέαο καταιβαταὶ ἀνθρώποισιν,
αἱ δ' αὖ πρὸς νότου εἰσὶ, θεώτεραι, οὐδέ τι κείνῃ
ἄνδρες ἐσέρχονται, ἀλλ' ἀθανάτων ὁδός ἐστι.

Τὰ μὲν περὶ τοῦ ἄντρου ἔπη τοῦ ποιητοῦ ταῦτα· κατὰ δὲ

[1] Descripsi e codice 1182 Bibliothecæ Parisinæ, notando ut superius littera A.

[2] Odyss. 13, 102-112. Exstat Porphyrii de eodem argumento libellus, cujus Psellus meminit in ipso Allegoriæ suæ fine, sed quem sæpe potuisset allegare, debuisset quoque; id enim et æquius fuisset et modestius, quam ex illaudato proficere. Ac statim utriusque simile initium. Sic enim Porphyrius: ὅτι ποτὲ Ὁμήρῳ αἰνίττεται τὸ ἐν Ἰθάκῃ ἄντρον, ὃ διὰ τῶν ἐπῶν τούτων διαγράφει.

[3] Edit., ἐν δὲ κρητῆρες. Mox habent ἔασιν.

[4] A, ὕδατα ἐννάοντα. Deleto uno ny habui vulgatam lectionem. Mox A sine οἱ.

τὰς Ἑλληνικὰς δόξας ἀφωσίωται[1] τὸ προκείμενον ἄντρον ψυχαῖς ταῖς εἰς γένεσιν κατιούσαις[2]. Αὗται γάρ εἰσιν αἱ Ναΐδες Νύμφαι· ταύταις γὰρ ἱερός[3] ἐστιν ὁ κόσμος, καὶ ἐπέραστος καὶ ἀεροειδής, καίπερ σκοτεινὸς ὢν φύσει καὶ ἀχλύος μεστός[4]. Σύμβολα δὲ Ὑδριάδων Νυμφῶν οἱ λίθινοι κρατῆρες καὶ οἱ ἀμφορεῖς[5], διότι ἐν ὀστοῖς καὶ περὶ ὀστᾶ ἡ σαρκοποιία. Τὰ δὲ ἁλιπόρφυρα φάρη ἄντικρυς ἡ ἐξ αἱμάτων ἂν εἴη ἐξυφαινομένη σάρξ, καὶ χιτὼν τὸ σῶμα τῇ ψυχῇ ὃ ἠμφίεσται, θαῦμα τῷ ὄντι ἰδέσθαι, εἴτε πρὸς τὴν σύστασιν ἀποβλέποις, εἴτε πρὸς τὴν σύνδεσιν τῆς ψυχῆς τὴν πρὸς τοῦτο[6].

Ἔστι δὲ τὰ μὲν βόρεια ψυχῶν εἰς γένεσιν κατιουσῶν. Διὰ

[1] Porphyirus c. 20: Σπήλαια τοίνυν καὶ ἄντρα τῶν παλαιοτάτων, πρὶν καὶ ναοὺς ἐπινοῆσαι, θεοῖς ἀφοσιούντων.

[2] Porphyrius c. 12: Ναΐδες οὖν Νύμφαι αἱ εἰς γένεσιν ἰοῦσαι ψυχαί. Intelligendum ἰοῦσαι et expressius κατιοῦσαι de platonico animarum descensu, quem philosophi dicunt κάθοδον, κατάβασιν. Porphyrius c. 6: Πέρσαι τὴν εἰς κάτω κάθοδον τῶν ψυχῶν καὶ πάλιν ἔξοδον μυσταγωγοῦντες. Ibi Goens p. 90, collato Rhœr. ad Porphyrii librum De abstin. 1, 30, p. 49. Eunapius Ædesio p. 40: Σωσιπάτρα εἰς τὸν περὶ καθόδου ψυχῆς, καὶ τί τὸ κολαζόμενον καὶ τί τὸ ἀθάνατον αὐτῆς ἐμπίπτουσα λόγον. Ibi interpretes. Mox opponentur αἱ ἀνιοῦσαι ψυχαί, quarum est ἄνοδος. Obiter memorare liceat conjecturam J. Clerici quæ, quum lateat in Bibliotheca Universali t. 12, p. 549, non indigna videtur quæ paululum innotescat. Suidas de Cebete ait ejus ferri dialogos tres, quorum unus Πίναξ· ἔστι δὲ τῶν ἐν ᾅδου διήγησις. Quæ definitio libello parum convenit. Proposuit Clericus novam lectionem τῆς ἀνόδου διήγησις. Atqui maxima libelli pars in describendo versatur hominum ascensu ad Veram Disciplinam. Adeat lector ipsum opusculum a capite 15: βουνός τις ὑψηλὸς δοκεῖ εἶναι, καὶ ἀνάβασις στενὴ πάνυ καὶ κρημνοὺς ἔχουσα ἔνθεν καὶ ἔνθεν βαθεῖς..... Philosophum vocabulum ἄνοδος aptissimum esse videtur; nam pictæ hominum ascendentium figuræ allegoriam ψυχῶν τῶν ἀνιουσῶν exhibent.

[3] Homeri syntaxin ἱρὸν Νυμφάων poterat servare et scribere τούτων γὰρ ἱερός. Non credidisse enim Psellum opinor poetici quid inesse genitivo; nam passim in prosa illa syntaxis reperitur estque etiam in scholiastis frequentissima. Scholiastes Euthydemi p. 96: κόρυδοι Γῆς καὶ Ἀθηνᾶς ἱεροί. Schol. Avium 1369: ἱερόν ἐστι χωρίον τοῦ Ἄρεως ἡ Θράκη. Schol. ad Pind. Ol. 129; Apollonii Rh. 1, 308. Vide Reitz. ad Luc. Paras. 43, et quæ monui ad Callimachi Delum 70, ad Theocritum 17, 112 edit. sec.

